Strabons Geographika

Mit Übersetzung und Kommentar
herausgegeben von

Stefan Radt

Dem Andenken meiner Frau Marguerite
»... und nur noch schlägt, für alles ihr zu danken«

Vandenhoeck & Ruprecht

Strabons Geographika

Band 4

Buch XIV–XVII: Text und Übersetzung

Vandenhoeck & Ruprecht

Bibliografische Information Der Deutschen Bibliothek

Die Deutsche Bibliothek verzeichnet diese Publikation in der Deutschen Nationalbibliografie; detaillierte bibliografische Daten sind im Internet über <http://dnb.ddb.de> abrufbar.

ISBN 3-525-25953-0

Gedruckt mit Unterstützung der Deutschen Forschungsgemeinschaft.

Gesamtherstellung: Hubert & Co., Göttingen

Gedruckt auf alterungsbeständigem Papier.

Buch XIV–XVII: Text und Übersetzung

ΙΔ

632C. Λοιπὸν δ' ἐστὶν εἰπεῖν περὶ Ἰώνων καὶ Καρῶν καὶ τῆς ἔξω τοῦ Ταύρου παραλίας, ἣν ἔχουσι Λύκιοί τε καὶ Πάμφυλοι καὶ Κίλικες· οὕτω γὰρ ἂν ἔχοι τέλος ἡ πᾶσα τῆς χερρονήσου περιήγησις ἧς ἰσθμὸν ἔφαμεν (534, 8 sqq.) τὴν ὑπέρβασιν τὴν ἐκ τῆς Ποντικῆς θαλάττης ἐπὶ τὴν Ἰσσικήν.

Ἔστι δὲ τῆς Ἰωνίας ὁ μὲν περίπλους ὁ παρὰ γῆν σταδίων που τρισχιλίων τετρακοσίων τριάκοντα διὰ τοὺς κόλπους καὶ διὰ τὸ χερρονησίζειν ἐπὶ πλεῖον τὴν χώραν, τὸ δ' ἐπ' εὐθείας μῆκος οὐ πολύ· αὐτὸ γοῦν τὸ ἐξ Ἐφέσου μέχρι Σμύρνης ὁδὸς μέν ἐστιν ἐπ' εὐθείας τριακόσιοι εἴκοσι στάδιοι — εἰς γὰρ Μητρόπολιν ἑκατὸν καὶ εἴκοσι στάδιοι, οἱ λοιποὶ δ' εἰς Σμύρναν ⟨διακόσιοι⟩ —, περίπλους δὲ μικρὸν ἀπολείπων τῶν δισχιλίων καὶ διακοσίων.

Ἔστι δ' οὖν ἀπὸ τοῦ Ποσιδείου τοῦ Μιλησίων καὶ τῶν Καρικῶν ὅρων μέχρι Φωκαίας καὶ τοῦ Ἕρμου τὸ πέρας τῆς Ἰωνικῆς παραλίας. ταύτης δέ φησι Φερεκύδης (FGrHist 3 F 155) Μίλητον μὲν καὶ Μυοῦντα καὶ τὰ περὶ Μυκάλην καὶ Ἔφεσον Κᾶρας ἔχειν πρότερον, τὴν δ' ἑξῆς παραλίαν μέχρι Φωκαίας καὶ Χίον καὶ Σάμον (ἧς Ἀγκαῖος ἦρχε) Λέλεγας· ἐκβληθῆναι δ' ἀμφοτέρους ὑπὸ τῶν Ἰώνων καὶ εἰς τὰ λοιπὰ μέρη τῆς Καρίας ἐκπεσεῖν. ἄρξαι δέ φησιν Ἄνδροκλον τῆς τῶν Ἰώνων ἀποικίας ὕστερον τῆς Αἰολικῆς, υἱὸν γνήσιον Κόδρου τοῦ Ἀθηνῶν βασιλέως, γενέσθαι δὲ τοῦτον Ἐφέσου κτίστην

7–11 *Greg. 18v marg. 12 sq. *Greg. 18v marg.

1 ante Strabonis verba τῶν Στράβωνος Γεωγραφικῶν τοῦ τεσσαρεσκαιδεκάτου (τεσσαρισ- C) βιβλίου κεφάλαια. τὸ τεσσαρεσκαιδέκατον περιέχει (C: περὶ BD) τὰς Κυκλάδας νήσους καὶ τὴν ἀντιπέραν (-ρα B) χώραν, ἐν ᾗ Παμφυλία, Ἰσαυρία, Λυκία, Πισιδία, Κιλικία ἕως Σελευκείας τῆς Συρίας καὶ τῆς Ἀσίας τῆς ἰδίως Ἰωνίας λεγομένης BCD. Στράβωνος Γεωγραφικῶν ιδ΄ BDF 2 Πάμφυλοι Kramer: παμφύλοι F, παμφύλιοι cett. 2 – 647,10 verba οὕτω — ἐστὶ desunt in D (quaternione ιγ΄ deperdito, cf. Diller 1975, 66) 4 θαλάσσ- E 5 παράπλους Cobet (Misc. 192) 7 γοῦν Korais: οὖν codd. 8 τριακοσίων .. σταδίων? 10 addidi παράπλους Cobet ms. 12 Ποσιδείου scripsi (vide comm.): ποσιδίου F, ποσειδίου BCE μιλησίου F ὅρων Groskurd: ὀρῶν F, ὀρῶν BCE 13 Φωκαίας EF: -κέας BC ταύτη F 15 sq. Φωκαίας F: -κέας BC 16 Χίον καὶ Σάμον H. K. Whitte (De rebus Chiorum publicis ante dominationem Romanorum ..., Hauniae 1838, 12[55]), Kramer: χίου καὶ σάμου codd. 18 φασιν F Αἰολικῆς ⟨* γενεαῖς⟩? Jacoby 19 ἀθηναίων X

XIV

632 Es bleibt noch übrig, von den Ioniern und den Karern zu reden und von der Küste jenseits des Tauros, die die Lykier, die Pamphylier und die Kiliker innehaben: denn damit wäre die ganze Führung um die Halbinsel deren Landenge, wie wir sagten (534, 8 ff.), der Übergang vom Schwarzen zum Issischen Meer bildet abgeschlossen.

Die Umschiffung Ioniens entlang der Küste beträgt infolge der Einbuchtungen und der Tatsache dass das Land größtenteils von Halbinseln gebildet wird etwa dreitausendvierhundertdreißig Stadien, die Länge in gerader Linie dagegen nicht viel: jedenfalls ist allein schon der Abschnitt von Ephesos bis Smyrna über Land in gerader Linie dreihundertzwanzig Stadien — denn bis Metropolis sind es hundertundzwanzig Stadien, und die übrigen bis Smyrna sind zweihundert —, mit dem Schiff dagegen nicht viel weniger als zweitausendundzweihundert.

Indessen reicht die ionische Küste vom Posideion der Milesier und den Grenzen Kariens bis Phokaia und an den Hermos. Von dieser Küste sind nach Pherekydes (FGrHist 3 F 155) Milet, Myus und das Gebiet um Mykale und Ephesos früher von Karern, die anschließende Küste bis Phokaia sowie Chios und Samos (über das Ankaios herrschte) von Lelegern bewohnt gewesen; beide seien von den Ioniern vertrieben worden und in die übrigen Teile Kariens ausgewichen. Den Anfang mit der Ionischen Kolonisation — die später stattfand als die Äolische — habe Androklos, ein echter Sohn des Kodros, des Königs von Athen, gemacht und dieser sei der Gründer von

633C. (διόπερ τὸ βασίλειον τῶν Ἰώνων ἐκεῖ συστῆναί φασι· καὶ ἔτι νῦν οἱ ἐκ τοῦ γένους ὀνομάζονται βασιλεῖς, ἔχοντές τινας τιμάς, προεδρίαν τε ἐν ⟨τοῖς⟩ ἀγῶσι καὶ πορφύραν ἐπίσημον τοῦ βασιλικοῦ γένους ⟨καὶ⟩ σκίπωνα ἀντὶ σκήπτρου καὶ τὰ ἱερὰ τῆς Ἐλευσινίας Δήμητρος). Μίλητον δ' ἔκτισε Νηλεὺς ἐκ Πύλου τὸ γένος ὢν (οἵ τε Μεσσήνιοι καὶ οἱ Πύλιοι συγγένειάν τινα προσποιοῦνται — καθ' ἣν καὶ Μεσσήνιον τὸν Νέστορα οἱ νεώτεροι ποιηταί φασι —, καὶ τοῖς περὶ Μέλανθον τὸν Κόδρου πατέρα πολλοὺς καὶ τῶν Πυλίων συνεξᾶραί φασιν εἰς τὰς Ἀθήνας· τοῦτον δὴ πάντα τὸν λαὸν μετὰ τῶν Ἰώνων κοινῇ στεῖλαι τὴν ἀποικίαν)· τοῦ δὲ Νηλέως ἐπὶ τῷ Ποσιδείῳ βωμὸς ἵδρυμα δείκνυται. Κυδρῆλος δέ, νόθος υἱὸς Κόδρου, Μυοῦντα κτίζει· Ἀνδρόπομπος δὲ Λέβεδον, καταλαβόμενος τόπον τινὰ Ἄρτιν· Κολοφῶνα δ' Ἀνδραίμων Πύλιος, ὥς φησι καὶ Μίμνερμος ἐν Ναννοῖ (fr. 10 West)· Πριήνην δ' Αἴπυτος ὁ Νηλέως, εἶθ' ὕστερον Φιλώτας ἐκ Θηβῶν λαὸν ἀγαγών· Τέω δὲ Ἀθάμας μὲν πρότερον (διόπερ Ἀθαμαντίδα καλεῖ αὐτὴν Ἀνακρέων [PMG 463]), κατὰ δὲ τὴν Ἰωνικὴν ἀποικίαν Ναῦκλος, υἱὸς Κόδρου νόθος, καὶ μετὰ τοῦτον Ποίκης καὶ Δάμαθος Ἀθηναῖοι καὶ Γέρην ἐκ Βοιωτῶν· Ἐρυθρὰς δὲ Κνῶπος, καὶ οὗτος υἱὸς Κόδρου νόθος· Φώκαιαν δ' οἱ μετὰ Φιλογένους Ἀθηναῖοι· Κλαζομενὰς δὲ Πάραλος· Χίον δὲ Ἐγέρτιος, σύμμικτον ἐπαγόμενος πλῆθος· Σάμον δὲ Τεμβρίων, εἶθ' ὕστερον Προκλῆς.

Αὗται μὲν ⟨αἱ⟩ δώδεκα Ἰωνικαὶ πόλεις. προσελήφθη δὲ χρόνοις ὕστερον καὶ Σμύρνα εἰς τὸ Ἰωνικὸν ἐναγαγόντων Ἐφεσίων· ἦσαν γὰρ αὐτοῖς σύνοικοι τὸ παλαιόν, ἡνίκα καὶ Σμύρνα ἐκαλεῖτο ἡ Ἔφεσος (καὶ Καλλῖνός που οὕτως ὠνόμακεν αὐτήν, Σμυρναίους τοὺς Ἐφεσίους καλῶν ἐν τῷ πρὸς τὸν Δία λόγῳ [fr. 2 West]

3 sq. Eust. Il. 25, 13 4 sq. *Eust. D. P. 362, 3 sq. 12 sq. *Eust. D. P. 362, 2
14 *St. B. 619, 16 sq.

3 articulum et coniunctionem addidi 4 καὶ ante Μίλητον add. codd.: del. Groskurd (3,31^{0}) 5 Νείλεως Cobet ms. 6 sq. νεώτεροί φασι ποιηταί q 8 φησιν (id quod fort. scribendum esse censuit Korais) C 9 Νείλεω Cobet ms. Ποσιδείῳ scripsi (vide 632, 12 comm.): ποσιδίῳ F, ποσειδίῳ BC 12 Ἀνδραίμων yz: ἀνδρέ- BCF Ναννοῖ C^s: ναννοί F, ναvοῖ C^i, ἀννοῖ B 13 Νείλεω Cobet ms. φιλωτᾶς F 14 πρῶτον St. B. ὅθεν pro διόπερ St. B. 16 Ποίκης F: ποίκνης BC; Ἄποικος Casaubonus Δάμασος Casaubonus Γέρην Wil. (SB Berlin 1906, 63^4 = Kl. Schr. V 1, 157^3): γὰρ ἦν codd.; Γέρης Casaubonus 17 Φώκαιαν Meineke: φωκέαν codd.; Φωκαίαν Xylander 17 sq. Φυλογένους Wil. (SB Berlin 1906, 57 = Kl. Schr. V 1, 150) 18 σύμμεικτον Wil. (SB Berlin 1906, 63^2 = Kl. Schr. V 1, 157^1) 19 ἐπαγαγόμενος Meineke Τεμβρίων Tzschucke: τημ- BF, τη.[C 20 addidi 21 ἐναγόντων X 22 ⟨δέ⟩ που? 23 ὠνόμασεν C^i

633 Ephesos gewesen (daher soll der Königssitz der Ionier dort entstanden sein; und noch heute werden die Angehörigen des Geschlechts 'Könige' genannt und besitzen bestimmte Privilegien: den Sitz auf dem ersten Rang bei Wettspielen, den Purpur als Kennzeichen ihres königlichen Geschlechts, einen Stab – anstelle des Zepters – und die Zeremonien der Eleusinischen Demeter). Milet wurde von Neleus gegründet, der aus Pylos stammte (die Messenier und die Pylier machen Anspruch auf eine gewisse Verwandtschaft – daher die jüngeren Dichter Nestor auch als Messenier bezeichnen – und behaupten dass zusammen mit Melanthos, dem Vater des Kodros, und seinen Leuten auch viele Pylier nach Athen ausgewandert seien: diese ganze Gefolgschaft habe dann gemeinsam mit den Ioniern die Kolonisierung unternommen); als eine Stiftung des Neleus wird ein Altar auf dem Posideion gezeigt. Kydrelos, ein unechter Sohn des Kodros, gründete Myus, Andropompos Lebedos (an einem Ort Artis, den er in Besitz genommen hatte). Kolophon wurde gegründet von dem Pylier Andraimon, wie auch Mimnermos in der *Nanno* sagt (fr. 10 West); Priëne von Neleus' Sohn Aipytos, dann später von Philotas mit einer Gefolgschaft aus Theben; Teos früher von Athamas (weshalb es von Anakreon [PMG 463] 'das Athamantische' genannt wird), bei der Ionischen Kolonisation von Nauklos, einem unechten Sohn des Kodros, und nach ihm von den Athenern Poikes und Damathos und von Geren aus Böotien; Erythrai von Knopos, ebenfalls einem unechten Sohn des Kodros; Phokaia von den Athenern unter Philogenes; Klazomenai von Paralos; Chios von Egertios, der eine gemischte Schar mitbrachte; Samos von Tembrion, dann später von Prokles.

Dies sind die zwölf ionischen Städte. Hinzugenommen in den Ionischen Bund wurde späterhin noch Smyrna. Das geschah auf Betreiben der Ephesier: sie wohnten nämlich vor alters mit ihnen zusammen, in der Zeit als Ephesos auch Smyrna hieß (und Kallinos gibt der Stadt gewissermaßen diesen Namen wenn er in der Rede zu Zeus die Ephesier Smyrnäer nennt [fr. 2 West]

Σμυρναίους δ' ἐλέησον

καὶ πάλιν [fr. 2a West]

μνῆσαι δ' εἴ κοτέ τοι μηρία καλὰ βοῶν

⟨Σμυρναῖοι κατέκηαν⟩).

Σμύρνα δ' ἦν Ἀμαζὼν ἡ κατασχοῦσα τὴν Ἔφεσον· ἀφ' ἧς τοὔνομα καὶ τοῖς ἀνθρώποις καὶ τῇ πόλει, ὡς καὶ ἀπὸ Σισύρβης Σισυρβῖταί τινες τῶν Ἐφεσίων ἐλέγοντο. καὶ τόπος δέ τις τῆς Ἐφέσου Σμύρνα ἐκαλεῖτο, ὡς δηλοῖ Ἱππῶναξ (fr. 50 West)·

οἴκει δ' ὄπισθε τῆς πόλιος †ἐν† Σμύρνῃ

μεταξὺ Τρηχέης τε καὶ Λεπρῆς ἀκτῆς.

ἐκαλεῖτο γὰρ Λεπρὴ μὲν ἀκτὴ ὁ Πρηὼν ὁ ὑπερκείμενος τῆς νῦν πόλεως, ἔχων μέρος τοῦ τείχους αὐτῆς (τὰ γοῦν ὄπισθεν τοῦ Πρηῶνος κτήματα ἔτι νυνὶ λέγεται 'ἐν τῇ | Ὀπισθολεπρίᾳ')· Τραχεῖα δ' ἐκαλεῖτο ἡ ὑπὲρ τὸν Κορησσὸν παρώρειος. ἡ δὲ πόλις ἦν τὸ παλαιὸν περὶ τὸ Ἀθήναιον τὸ νῦν ἔξω τῆς πόλεως ὂν κατὰ τὴν καλουμένην Ὑπέλαιον· ὥστε ἡ Σμύρνα ἦν κατὰ τὸ νῦν γυμνάσιον, ὄπισθεν μὲν τῆς τότε πόλεως, μεταξὺ δὲ 'Τρηχέης τε καὶ Λεπρῆς ἀκτῆς'. ἀπελθόντες δὲ παρὰ τῶν Ἐφεσίων οἱ Σμυρναῖοι στρατεύουσιν ἐπὶ τὸν τόπον ἐν ᾧ νῦν ἐστιν ἡ Σμύρνα, Λελέγων κατεχόντων, ἐκβαλόντες δ' αὐτοὺς ἔκτισαν τὴν παλαιὰν Σμύρναν διέχουσαν τῆς νῦν περὶ εἴκοσι σταδίους. ὕστερον δ' ὑπὸ Αἰολέων ἐκπεσόντες κατέφυγον εἰς Κολοφῶνα καὶ μετὰ τῶν ἐνθένδε ἐπιόντες τὴν σφετέραν ἀπέλαβον· καθάπερ καὶ Μίμνερμος ἐν τῇ Ναννοῖ φράζει (fr. 9 West), μνησθεὶς τῆς Σμύρνης ὅτι περιμάχητος ἀεί·

30 sq. *St. B. 572, 20 sq.

28 add. Scaliger (teste Tzschucke [cf. quae dixit in praefatione tom. 2 p. IX]), Casaubonus 29 ἡ pro ἦν F 30 Σισυρβῖταί yz (cf. St. B.): -ῆταί BCF; -ίταί q 33 οἴκει Schneidewin (Beitr. zur Kritik der Poetae Lyrici Graeci …, Göttingen 1844, 108): ᾤκει codd. 34 Τρηχέης Knox (Herodes, Cercidas and the Greek Choliambic Poets, London-New York 1929, 22): τρηχείης BC, τρηχείας F Λεπρῆς BC: λέπρης F 35 Πρηὼν BC: πρίων F; Πριὼν Bergk, Πίων Diehl (Anthologia lyrica 1, Lipsiae 1925, 278), Πείων West 36 ὄπισθε C Πρηῶνος BC: πρίωνος F; Πριῶνος Bergk, Πίονος Diehl l. c. (ad 35), Πείωνος West 634 1 περὶ pro ὑπὲρ Korais 2 παρώρειος Tzschucke: -ριος codd. Ἀθήναιον F: ἀθηναίων BC 3 Ὑπέλαιον: vocem κρήνην excidisse coniecit Salmasius (Plin. exerc. 810 E), post καλουμένην add. Groskurd 3 sq. {κατὰ τὸ νῦν γυμνάσιον} Engelmann (ZPE 89, 1991, 278–82) 4 τότε Kramer: ποτε F, νῦν BC Τρηχέης Knox l. c. (ad 633, 34): τρηχείης BC, τρηχείας F 5 Λεπρῆς yz, Casaubonus: λεπρίης codd. 9 ἐπανιόντες Korais 9 – 17 verba καθάπερ — Αἰολίδα suspecta habuit Kramer ('recte' Meineke 3, IV ad 885, 13)

Der Smyrnäer erbarm dich

und noch einmal [fr. 2a West]

Woll' es gedenken, wenn je herrliche Schenkel vom Rind

⟨Dir die Smyrnäer verbrannten⟩).

Smyrna war die Amazone die Ephesos in Besitz genommen hatte: von ihr hatten sowohl die Menschen als die Stadt ihren Namen, wie auch nach Sisyrba manche Ephesier Sisyrbiter genannt wurden. Es gab auch eine Örtlichkeit in Ephesos die Smyrna hieß, wie Hipponax zeigt (fr. 50 West):

Und wohnen tat er hinter der Stadt in Smyrna, in

Der Gegend zwischen Tracheia und Lepre Akte.

Lepre Akte wurde nämlich der Preon genannt, der sich über der heutigen Stadt erhebt und auf dem ein Teil ihrer Mauer steht (jedenfalls heißen die Güter hinter dem Preon noch jetzt 'im Hinterleprischen'), und Tracheia wurde der Hang oberhalb von Koressos genannt. Die Stadt lag ehemals bei dem Athenaheiligtum, das heute außerhalb der Stadt bei der sogenannten Hypelaios liegt: Smyrna lag also bei dem heutigen Gymnasion, hinter der damaligen Stadt und 'zwischen Tracheia und Lepre Akte'. Die Smyrnäer verließen dann die Ephesier und zogen gegen den Ort an dem jetzt Smyrna liegt und der von Lelegern bewohnt war. Nachdem sie diese vertrieben hatten, gründeten sie das alte Smyrna, das von dem heutigen rund zwanzig Stadien entfernt ist. Später von den Äolern vertrieben, flüchteten sie sich nach Kolophon, gingen zusammen mit den Leuten von dort zum Angriff über und eroberten ihr Land zurück, wie auch Mimnermos in der *Nanno* (fr. 9 West) angibt, nachdem er Smyrna erwähnt hat, das immer umkämpft gewesen sei:

12 ἔπειτε Πύλον Νηλήϊον ἄστυ λιπόντες
ἱμερτὴν Ἀσίην νηυσὶν ἀφικόμεθα,
ἐς δ' ἐρατὴν Κολοφῶνα βίην ὑπέροπλον ἔχοντες
ἑζόμεθ', ἀργαλέης ὕβριος ἡγεμόνες,
16 κεῖθεν †διαστήεντος† ἀπορνύμενοι ποταμοῖο
θεῶν βουλῇ Σμύρνην εἵλομεν Αἰολίδα.

Ταῦτα μὲν περὶ τούτων. ἐφοδευτέον δὲ πάλιν τὰ καθ' ἕκαστα, τὴν ἀρ-
χὴν ἀπὸ τῶν ἡγεμονικωτέρων τόπων ποιησαμένους, ἐφ' ὧνπερ καὶ πρῶτον αἱ
20 κτίσεις ἐγένοντο, λέγω δὲ τῶν περὶ Μίλητον καὶ Ἔφεσον· αὗται γὰρ ἄρισ-
ται πόλεις καὶ ἐνδοξόταται.

Μετὰ δὴ τὸ Ποσίδειον τὸ Μιλησίων ἑξῆς ἐστι τὸ μαντεῖον τοῦ Διδυ- 5
μέως Ἀπόλλωνος τὸ ἐν Βραγχίδαις ἀναβάντι ὅσον ὀκτωκαίδεκα σταδίους.
24 ἐνεπρήσθη δ' ὑπὸ Ξέρξου, καθάπερ καὶ τὰ ἄλλα ἱερὰ πλὴν τοῦ ἐν Ἐφέσῳ,
οἱ δὲ Βραγχίδαι τοὺς θησαυροὺς τοῦ θεοῦ παραδόντες τῷ Πέρσῃ φεύγοντι
συναπῆραν τοῦ μὴ τεῖσαι δίκας τῆς ἱεροσυλίας καὶ τῆς προδοσίας. ὕστε-
ρον δ' οἱ Μιλήσιοι μέγιστον νεὼν τῶν πάντων κατεσκεύασαν, διέμεινε δὲ
28 χωρὶς ὀροφῆς διὰ τὸ μέγεθος· κώμης γοῦν κατοικίαν ὁ τοῦ σηκοῦ περίβολος
δέδεκται, καὶ ἄλσος ἐντός τε καὶ ἐκτὸς πολυτελές. ἄλλοι δὲ σηκοὶ τὸ
μαντεῖον καὶ τὰ ἱερὰ συνέχουσιν. ἐνταῦθα δὲ μυθεύεται τὰ περὶ τὸν Βράγ-
χον καὶ τὸν ἔρωτα τοῦ Ἀπόλλωνος. κεκόσμηται δ' ἀναθήμασι τῶν ἀρχαίων
32 τεχνῶν πολυτελέστατα. ἐντεῦθεν δ' ἐπὶ τὴν πόλιν οὐ πολλὴ ὁδός ἐστιν
οὐδὲ πλοῦς.

Φησὶ δ' Ἔφορος (FGrHist 70 F 127) τὸ πρῶτον κτίσμα εἶναι Κρητικόν, 6
ὑπὲρ τῆς θαλάττης τετειχισμένον, ὅπου νῦν ἡ Παλαιμίλητός ἐστι, Σαρπη-
635C. δόνος ἐκ Μιλήτου τῆς Κρητικῆς ἀγαγόντος οἰκήτορας | καὶ θεμένου τοὔνο-
μα τῇ πόλει τῆς ἐκεῖ πόλεως ἐπώνυμον, κατεχόντων πρότερον Λελέγων τὸν
τόπον· τοὺς δὲ περὶ Νηλέα ὕστερον τὴν νῦν τειχίσαι πόλιν. ἔχει δὲ τέτ-

22 sq. *Anon. Urb. 38ᵛ I **27 sq.** *Eust. Il. 313, 9 **35–635, 2** Eust. Il. 313, 4–6

12 ἔπειτε F: αἰπύτε BC; Αἰπὺ (⏑ –) τε West, alii alia **14** ἐρατὴν Wyttenbach (Bibl. critica 1, 1789, 2, 32): ἄρα τὴν codd. **15** ἑζόμεθ' F: ἐζώμεθ' B, ἑζώμεθ' C; ἐζόμεθ' q **17** Σμύρνην Bach (Mimnermi Colophonii carminum quae supersunt ..., Lipsae 1826, 45): -αν codd. εἵλομεν Clavier (Hist. des premiers temps de la Grèce ... 2, Paris 1809, 81⁰), Gaisford (Poetae minores Graeci 1, Oxonii 1814, 424): εἴδομεν codd. **19** ἐφ' Korais: ἀφ' codd. πρώτων Korais **22** δὴ scripsi: δὲ codd. Ποσίδειον scripsi (vide 632, 12 comm.): ποσίδιον F, ποσείδιον BCE Μιλησίων Korais: μιλήσιον codd. **26** τεῖσαι scripsi (vide 621, 26 comm.): τίσαι codd.; τῖσαι (quod iam ap. Kramerum legebatur, sed ab ipso 3, 680 ad III 96, 5 improbatum erat) Meineke **35** Παλαιμίλητός scripsi: πάλαι μίλητός codd. 635 **3** Νείλεων Cobet ms.

12 ... als wir, Pylos, des Neleus Veste, verlassend,
Mit unsern Schiffen erreicht Asiens reizendes Land
Und mit Waffengewalt uns niedergelassen im holden
Kolophon, Anführer wir ruchloser Brutalität,
16 Zogen von dort wir fort vom Flusse * * und
Nahmen nach Götterbeschluss Smyrna in Aiolis ein.

Soviel hierüber. Wir müssen nun wieder das Einzelne in Augenschein neh-
men, wobei wir den Anfang mit den führenden Orten machen, an denen die
20 Gründungen auch zuerst stattgefunden haben, ich meine Milet und Ephesos
mit ihrer Umgebung: denn das sind hervorragende und sehr berühmte Städ-
te.

Nach dem milesischen Posideion denn kommt anschließend das Orakel 5
des Apollon Didymeus in Branchidai, etwa achtzehn Stadien landeinwärts.
24 Es wurde von Xerxes in Brand gesteckt (ebenso wie die übrigen Heiligtümer
außer dem ephesischen), und die Branchiden, die die Schätze des Gottes
dem Perser übergeben hatten, zogen bei seiner Flucht zusammen mit ihm
fort, um sich der Strafe für ihren Tempelraub und ihren Verrat zu entziehen.
Später haben die Milesier dort den größten aller Tempel gebaut, doch blieb
28 er wegen seiner Größe ohne Dach: jedenfalls umfasst die Umfriedung der
Cella das Wohngebiet eines Dorfes, und sowohl innerhalb als außerhalb ist
ein kostbar ausgestatteter Hain; und andere Kammern enthalten das Orakel
und die heiligen Gegenstände. Hier lässt man die Geschichte von Branchos
und der Liebe Apollons spielen. Das Heiligtum ist aufs kostbarste ge-
32 schmückt mit Weihgeschenken alten Stils. Von dort ist es zur Stadt über
Land nicht weit, und auch mit dem Schiff nicht.

Ephoros sagt (FGrHist 70 F 127), die erste Gründung sei kretisch gewe- 6
sen, oberhalb des Meeres angelegt, dort wo jetzt Alt-Milet liegt: Sarpedon
635 habe aus dem kretischen Milet Siedler dorthin gebracht und die Stadt nach
jener benannt (der Ort sei vorher von Lelegern bewohnt gewesen); Neleus
und die Seinen hätten dann später die heutige Stadt angelegt. Die heutige

ταρας λιμένας ἡ νῦν, ὧν ἕνα καὶ στόλῳ ἱκανόν. πολλὰ δὲ τῆς πόλεως ἔργα ταύτης, μέγιστον δὲ τὸ πλῆθος τῶν ἀποικιῶν· ὅ τε γὰρ Εὔξεινος πόντος ὑπὸ τούτων συνῴκισται πᾶς καὶ ἡ Προποντὶς καὶ ἄλλοι πλείους τόποι. Ἀναξιμένης γοῦν ὁ Λαμψακηνὸς οὕτως φησὶν (FGrHist 72 F 26) ὅτι καὶ Ἴκαρον τὴν νῆσον καὶ Λέρον Μιλήσιοι συνῴκισαν καὶ περὶ Ἑλλήσποντον ἐν μὲν τῇ Χερρονήσῳ Λίμνας, ἐν δὲ τῇ Ἀσίᾳ Ἄβυδον, Ἄρισβαν, Παισόν, ἐν δὲ τῇ Κυζικηνῶν νήσῳ Ἀρτάκην, Κύζικον, ἐν δὲ τῇ μεσογαίᾳ τῆς Τρῳάδος Σκῆψιν· ἡμεῖς δ' ἐν τοῖς καθ' ἕκαστα λέγομεν καὶ τὰς ἄλλας τὰς ὑπὸ τούτου παραλελειμμένας.

Οὔλιον δ' Ἀπόλλωνα καλοῦσί τινα καὶ Μιλήσιοι καὶ Δήλιοι, οἷον ὑγιαστικὸν καὶ παιωνικόν (τὸ γὰρ οὔλειν ὑγιαίνειν· ἀφ' οὗ καὶ τὸ οὐλὴ καὶ τὸ 'οὖλέ τε καὶ μέγα χαῖρε' [Hom. ω 402])· ἰατικὸς γὰρ ὁ Ἀπόλλων· καὶ ἡ Ἄρτεμις ἀπὸ τοῦ ἀρτεμέας ποιεῖν. καὶ ὁ ἥλιος δὲ καὶ ἡ σελήνη συνοικειοῦνται τούτοις, ὅτι τῆς περὶ τοὺς ἀέρας εὐκρασίας αἴτιοι. καὶ τὰ λοιμικὰ δὲ πάθη καὶ τοὺς αὐτομάτους θανάτους τούτοις ἀνάπτουσι τοῖς θεοῖς.

7 Ἄνδρες δ' ἄξιοι μνήμης ἐγένοντο ἐν τῇ Μιλήτῳ Θαλῆς τε εἷς τῶν Ἑπτὰ σοφῶν, ὁ πρῶτος φυσιολογίας ἄρξας ἐν τοῖς Ἕλλησι καὶ μαθηματικῆς, καὶ ὁ τούτου μαθητὴς Ἀναξίμανδρος καὶ ὁ τούτου πάλιν Ἀναξιμένης· ἔτι δ' Ἑκαταῖος ὁ τὴν ἱστορίαν συντάξας, καθ' ἡμᾶς δὲ Αἰσχίνης ὁ ῥήτωρ, ὃς ἐν φυγῇ διετέλεσε παρρησιασάμενος πέρα τοῦ μετρίου πρὸς Πομπήϊον Μάγνον.

Ἠτύχησε δ' ἡ πόλις ἀποκλείσασα Ἀλέξανδρον καὶ βίᾳ ληφθεῖσα, καθάπερ καὶ Ἁλικαρνασσός, ἔτι δὲ πρότερον ὑπὸ Περσῶν (καί φησί γε Καλλισθένης [FGrHist 124 F 30] ὑπ' Ἀθηναίων χιλίαις δραχμαῖς ζημιωθῆναι Φρύνιχον τὸν τραγικόν, διότι δρᾶμα ἐποίησε Μιλήτου ἅλωσιν ὑπὸ Δαρείου). πρόκειται δ' ἡ Λάδη νῆσος πλησίον καὶ τὰ περὶ τὰς Τραγαίας νησία, ὑφόρμους ἔχοντα λῃσταῖς.

8 Ἑξῆς δ' ἐστὶν ὁ Λατμικὸς κόλπος, ἐν ᾧ Ἡράκλεια ἡ ὑπὸ Λάτμῳ λεγομένη, πολίχνιον ὕφορμον ἔχον. ἐκαλεῖτο δὲ πρότερον Λάτμος ὁμωνύμως τῷ

13–6 Eust. Il. 32, 31–3. *577, 43–5 14 sq. *Eust. Il. 1057, 1 sq. 23 sq. *Eust. Il. 313, 10 sq. 28 sq. *Anon. Urb. 38v I

5 ἀποικιῶν x: ἀποίκων BCF 7 οὔτω q 13 Τήνιοι pro τινα G. Koen (Gregorius, Corinthi metropolita, de dialectis …, Lugduni Bat. 1766, 234) 16 Ἄρτεμις ⟨δ'⟩? 17 τῆς F: τοῖς BC 18 αἰφνιδίους pro αὐτομάτους? Jacoby (FGrHist 244 F 99b 13) 23 συντάξας C: συγγραψας (sic) B, συντάξας συγγράψας F; συντάξας ⟨καὶ Κάδμος⟩? Korais 24 μέτρου F 26 ἁλικαρνασός F 29 τὰ E: om. cett. (unde {καὶ} Korais) 31 Λατμικὸς E (coniecit Xylander): λατομικὸς BC, λατομηκὸς F

Stadt hat vier Häfen, von denen einer groß genug ist für eine ganze Flotte. Zahlreich sind die Leistungen dieser Stadt, doch die größte ist die Menge ihrer Kolonien: ist doch das Schwarze Meer ganz und gar von ihnen besiedelt worden, ebenso wie die Propontis und mehrere andere Gegenden. Jedenfalls sagt Anaximenes aus Lampsakos (FGrHist 72 F 26), die Milesier hätten auch die Insel Ikaros und Leros besiedelt und am Hellespont auf dem Cherrones Limnai, in Asien Abydos, Arisba und Paisos; ferner auf der Insel der Kyzikener Artake und Kyzikos, und im Binnenland der Troas Skepsis; und wir selber nennen in der Einzelbeschreibung noch die übrigen Städte, die er weggelassen hat.

Sowohl die Milesier als die Delier kennen einen Apollon den sie Ulios, d. h. Gesundmacher und Heiler, nennen (*ulein* ist nämlich 'gesund sein'; davon kommt auch das Wort *ulē* ['Narbe'] und 'Heil dir [*ule*] und Freude die Füll'' [Hom. Od. 24, 402]): Apollon ist ja ein heilender Gott; und Artemis heißt so weil sie die Menschen gesund (*artemeas*) macht. Auch werden die Sonne und der Mond mit ihnen in Verbindung gebracht weil sie die gesunde Mischung der Atmosphäre bewirken. Auch die epidemischen Krankheiten und unerklärbaren Sterbefälle führt man auf diese Gottheiten zurück.

7 Erwähnenswerte Männer aus Milet waren Thales, einer der Sieben Weisen, der als erster bei den Griechen den Anfang gemacht hat mit Naturerklärung und Mathematik, und sein Schüler Anaximander und wiederum dessen Schüler Anaximenes; ferner Hekataios, der Verfasser des Geschichtswerks, und zu unserer Zeit Aischines, der Redner, der bis zuletzt in der Verbannung gelebt hat, weil er in seiner Freimütigkeit gegen Pompeius Magnus zu weit gegangen war.

Unglück erlebte die Stadt als sie vor Alexander die Tore verschloss und mit Gewalt erobert wurde (ebenso wie Halikarnassos), und noch früher von den Persern (Kallisthenes sagt [FGrHist 124 F 30], Phrynichos der Tragiker sei von den Athenern zu einer Buße von tausend Drachmen verurteilt worden weil er ein Drama *Milets Eroberung durch Dareios* geschrieben hatte). Dicht vor der Stadt liegt die Insel Lade und die kleinen Tragaiai-Inseln, die Räubern Ankerplätze bieten.

8 Anschließend kommt der Latmische Golf, an dem das sogenannte Herakleia unter dem Latmos liegt, eine kleine Stadt mit einem Ankerplatz. Sie

ὑπερκειμένῳ ὄρει (ὅπερ Ἑκαταῖος μὲν [FGrHist 1 F 239] ἐμφαίνει τὸ αὐτὸ
εἶναι νομίζων τῷ ὑπὸ τοῦ ποιητοῦ [B 868] Φθειρῶν ὄρει λεγομένῳ· ὑπὲρ
γὰρ τῆς Λάτμου φησὶ τὸ Φθειρῶν ὄρος κεῖσθαι. τινὲς δὲ τὸ Γρίον φασίν,
636C. ὡς ἂν παράλληλον τῷ Λάτμῳ | ἀνῆκον ἀπὸ τῆς Μιλησίας πρὸς ἕω διὰ τῆς
Καρίας μέχρι Εὐρώμου καὶ Χαλκητόρων· ὑπέρκειται δὲ ταύτης ἐν ὄψει).
μικρὸν δ' ἄπωθεν διαβάντι ποταμίσκον πρὸς τῷ Λάτμῳ δείκνυται τάφος Ἐν-
4 δυμίωνος ἔν τινι σπηλαίῳ.

Εἶτα ἀφ' Ἡρακλείας ἐπὶ Πύρραν πολίχνην πλοῦς ἑκατόν που σταδίων,
μικρὸν δὲ πλέον τὸ ἀπὸ Μιλήτου εἰς Ἡράκλειαν ἐγκολπίζοντι· εὐθυπλοίᾳ 9
δ' εἰς Πύρραν ἐκ Μιλήτου τριάκοντα· τοσαύτην ἔχει μακροπορίαν ὁ παρὰ
8 γῆν πλοῦς (ἀνάγκη δ' ἐπὶ τῶν ἐνδόξων τόπων ὑπομένειν τὸ περισκελὲς τῆς
τοιαύτης γεωγραφίας).

Ἐκ δὲ Πύρρας ἐπὶ τὴν ἐκβολὴν τοῦ Μαιάνδρου πεντήκοντα· τεναγώδης 10
δ' ὁ τόπος καὶ ἑλώδης. ἀναπλεύσαντι δ' ὑπηρετικοῖς σκάφεσι τριάκοντα
12 σταδίους πόλις Μυοῦς, μία τῶν Ἰάδων τῶν δώδεκα, ἣ νῦν δι' ὀλιγανδρίαν
Μιλησίοις συμπεπόλισται. ταύτην ὄψον λέγεται Θεμιστοκλεῖ δοῦναι Ξέρξης,
ἄρτον δὲ Μαγνησίαν, οἶνον δὲ Λάμψακον. ἔνθεν ἐν σταδίοις τέτταρσι κώμη 11
Καρικὴ Θυμβρία, παρ' ἣν ἄορνόν ἐστι σπήλαιον ἱερόν, Χαρώνιον λεγόμενον,
16 ὀλεθρίους ἔχον ἀποφοράς. ὑπέρκειται δὲ Μαγνησία ἡ πρὸς Μαιάνδρῳ, Μαγνή-
των ἀποικία τῶν ἐν Θετταλίᾳ καὶ Κρητῶν, περὶ ἧς αὐτίκα (647, 7 sqq.) ἐροῦ-
μεν.

Μετὰ δὲ τὰς ἐκβολὰς τοῦ Μαιάνδρου ὁ κατὰ Πριήνην ἐστὶν αἰγιαλός, 12
20 ὑπὲρ αὐτοῦ δ' ἡ Πριήνη καὶ Μυκάλη τὸ ὄρος, εὔθηρον καὶ εὔδενδρον· ἐπί-
κειται δὲ τῇ Σαμίᾳ καὶ ποιεῖ πρὸς αὐτὴν ἐπέκεινα τῆς Τρωγιλίου καλου-
μένης ἄκρας ὅσον ἑπταστάδιον πορθμόν. λέγεται δ' ὑπό τινων ἡ Πριήνη
Κάδμη, ἐπειδὴ Φιλώτας ὁ ἐπικτίσας αὐτὴν Βοιώτιος ὑπῆρχεν. ἐκ Πριήνης δ'
24 ἦν Βίας, εἷς τῶν Ἑπτὰ σοφῶν, περὶ οὗ φησιν οὕτως Ἱππῶναξ (fr. 123 West)·

καὶ δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρέσσον.

34–6 Eust. Il. 368, 6 sq. 636 12 sq. *Anon. Urb. 38^{v} I 19–21 Eust. Il. 368, 22–4
22 sq. *Eust. D. P. 362, 1 sq. 23 sq. *Eust. D. P. 362, 2 sq.

34 Φθειρῶν E (coniecit Tzschucke): φθιρῶν cett. 35 Φθειρῶν Tzschucke: φθιρῶν
CF, φθιρὸν B 636 2 ταύτῃ F ὄψει Groskurd: ὕψει codd. 6 μικρῷ E 8 πε-
ρισκελὲς EF^{pc}: -σκελλὲς BC, -σκλελὲς F^{ac} 12 ἣ F: ἦν BC ὀλιγανδρίαν F: -δρείαν
BC 15 Χαρώνειον Plan., Korais 20 τὸ om. Eust. εὔθηρον ⟨ὂν⟩? 21 sq. τῆς
Τρ. ἄκρας καλουμένης E, fort. recte 23 φιλωτᾶς F 24 sq. verba περὶ — κρέσσον
del. Cobet (Misc. 188 sq.) 25 δικάζεσθαι D. L. 1, 84: δικάσασθαι codd. (unde δικάσ-
ασθαι Schneidewin) Πριηνέος Cobet (Misc. 189) κρέσσων Hopper

hieß früher Latmos, ebenso wie der Berg über ihr (den Hekataios [FGrHist
1 F 239], wie er erkennen lässt, für identisch hält mit dem den der Dichter
[Hom. Il. 2, 868] den Pinienkernberg nennt: sagt er doch, der Pinienkern-
berg liege über Latmos. Andere dagegen behaupten, er sei das Grion, das
636 sich ungefähr parallel zum Latmos vom Milesischen in östlicher Richtung
landeinwärts durch Karien bis Euromos und Chalketores hinzieht; es erhebt
sich über dieser Stadt, von der aus man es sieht). Etwas weiter wird einem
nach Überquerung eines kleinen Flusses am Latmos das Grab des Endymion
4 in einer Grotte gezeigt.

Dann sind es von Herakleia zu der kleinen Stadt Pyrrha mit dem Schiff 9
etwa hundert Stadien, und etwas mehr sind es von Milet nach Herakleia,
wenn man den Einbuchtungen folgt; schifft man dagegen in gerader Linie
von Milet nach Pyrrha, dann sind es dreißig: so groß ist der Umweg, wenn
8 man am Land entlang fährt (bei den berühmten Orten ist es unumgänglich
die Sprödigkeit solcher Landesbeschreibung zu ertragen).

Von Pyrrha zur Mündung des Mäander sind es fünfzig; die Stelle ist 10
seicht und sumpfig. Fährt man mit Ruderbooten dreißig Stadien stromauf-
12 wärts, dann kommt man in die Stadt Myus, eine der zwölf ionischen Städte;
sie ist heute wegen ihrer Bevölkerungsarmut zu Milet eingemeindet. Diese
Stadt soll Xerxes dem Themistokles als Speise gegeben haben, als Brot Ma-
gnesia und als Wein Lampsakos. Vier Stadien von dort liegt das karische 11
Dorf Thymbria, bei dem sich eine vogellose heilige Grotte, Charonion ge-
16 nannt, befindet, die tödliche Ausdünstungen enthält. Darüber liegt Magne-
sia am Mäander, eine Kolonie der thessalischen Magneten und der Kreter,
von der wir gleich (647, 7 ff.) sprechen werden.

20 Nach der Mündung des Mäander kommt der Strand bei Priëne und über 12
ihm Priëne und das Mykale-Gebirge, das reich an Wild und Wäldern ist; es
überragt das Samische und bildet mit ihm jenseits des sogenannten Trogili-
schen Vorgebirges einen etwa sieben Stadien breiten Sund. Von Manchen
wird Priëne Kadme genannt, weil Philotas, der zweite Gründer der Stadt,
24 ein Böoter war. Aus Priëne stammte Bias, einer der Sieben Weisen, von dem
Hipponax (fr. 123 West) so spricht:

Und ein bess'rer Richter als es Bias aus Priëne war.

Τῆς δὲ Τρωγιλίου πρόκειται νησίον ὁμώνυμον· ἐντεῦθεν δὲ τὸ ἐγγυτά- 13
τω δίαρμά ἐστιν ἐπὶ Σούνιον, σταδίων χιλίων ἑξακοσίων, κατ' ἀρχὰς μὲν
28 Σάμον ἐν δεξιᾷ ἔχοντι καὶ Ἰκαρίαν καὶ Κορσίας, τοὺς δὲ Μελαντίους σκο-
πέλους ἐξ εὐωνύμων, τὸ λοιπὸν δὲ διὰ μέσων τῶν Κυκλάδων νήσων. καὶ
αὐτὴ δ' ἡ Τρωγίλιος ἄκρα πρόπους τις τῆς Μυκάλης ἐστί. τῇ Μυκάλῃ δ' ὄρος
ἄλλο πρόσκειται τῆς Ἐφεσίας Πακτύης· καὶ ἡ Μεσωγὶς δὲ εἰς αὐτὴν κατα-
32 στρέφει.

Ἀπὸ δὲ τῆς Τρωγιλίου στάδιοι τετταράκοντα εἰς τὴν Σάμον· βλέπει 14
δὲ πρὸς νότον καὶ αὐτὴ καὶ ὁ λιμήν, ἔχων ναύσταθμον. ἔστι δ' αὐτῆς ἐν
637C. ἐπιπέδῳ τὸ πλέον, ὑπὸ τῆς θαλάττης κλυζόμενον, μέρος δέ τι καὶ εἰς τὸ
ὄρος ἀνέχει τὸ ὑπερκείμενον. ἐν δεξιᾷ μὲν οὖν προσπλέουσι πρὸς τὴν
πόλιν ἐστὶ τὸ Ποσίδειον, ἄκρα ἡ ποιοῦσα πρὸς τὴν Μυκάλην τὸν ἑπταστά-
4 διον πορθμόν (ἔχει δὲ νεὼν Ποσειδῶνος, πρόκειται δ' αὐτοῦ νησίδιον ἡ
Ναρθηκίς), ἐν ἀριστερᾷ δὲ τὸ προάστιον τὸ πρὸς τῷ Ἡραίῳ καὶ ὁ Ἴμβρασος
ποταμὸς καὶ τὸ Ἡραῖον, ἀρχαῖον ἱερὸν καὶ νεὼς μέγας, ὃς νῦν πινακοθήκη
ἐστί. χωρὶς δὲ τοῦ πλήθους τῶν ἐνταῦθα κειμένων πινάκων ἄλλαι πινακο-
8 θῆκαι καὶ ναΐσκοι τινές εἰσι πλήρεις τῶν ἀρχαίων τεχνῶν· τό τε ὕπαιθρον
ὁμοίως μεστὸν ἀνδριάντων ἐστὶ τῶν ἀρίστων, ὧν τρία Μύρωνος ἔργα κολοσ-
σικὰ ἱδρυμένα ἐπὶ μιᾶς βάσεως, ἃ ἦρε μὲν Ἀντώνιος, ἀνέθηκε δὲ πάλιν ὁ
Σεβαστὸς Καῖσαρ εἰς τὴν αὐτὴν βάσιν τὰ δύο, τὴν Ἀθηνᾶν καὶ τὸν Ἡρακλέα,
12 τὸν δὲ Δία εἰς τὸ Καπετώλιον μετήνεγκε κατασκευάσας αὐτῷ ναΐσκον.

Περίπλους δ' ἐστὶ τῆς Σαμίων νήσου σταδίων ἑξακοσίων. ἐκαλεῖτο δὲ 15
Παρθενία πρότερον, οἰκούντων Καρῶν, εἶτα Ἀνθεμοῦς, εἶτα Μελάμφυλλος,
εἶτα Σάμος, εἴτ' ἀπό τινος ἐπιχωρίου ἥρωος εἴτ' ἐξ Ἰθάκης καὶ Κεφαλλη-
16 νίας ἀποικήσαντος. καλεῖται μὲν οὖν καὶ ἄκρα τις Ἄμπελος (βλέπουσά πως
πρὸς τὸ τῆς Ἰκαρίας Δρέπανον), ἀλλὰ καὶ τὸ ὄρος ἅπαν ὃ ποιεῖ τὴν ὅλην

637 **2–5** *St. B. 469, 16 sq. **13** *Greg. 18^{v} marg. **13 sq.** *Eust. D. P. 322, 8 sq.

26 τὸ E: τῷ cett. **28** Κορασσίας Tzschucke Μελαντίους Is. Vossius (Periplus Scylacis Caryandensis ..., Amstelodami 1639, 25 [tertia paginarum series]): μελανθίους codd.; Μελαντείους Müller (1028 ad 544, 2) **29** εὐωνύμου E **30** τρώγιλος E^{s} **31** πρόκειται E **33** τρωγίλου E τεσσ- B 637 **3** Ποσίδειον Bürchner (RE s. v. Samos 2172, 1 sq. 46) (vide 632, 12 comm.): ποσίδιον F, ποσείδιον BCE **5** ἐν E^{t}: ἐπ' cett. προάστειον E **14** Παρθενία X (coniecit Tzschucke): παρθενιὰς BCF, παρθενιεὺς E Ἀνθεμίς Tzschucke coll. 457, 14 sq., Ἀνθεμοῦσα? Kramer, Ἀνθεμοῦσσα? Meineke (Vind. 218) Μελάμφυλλος Korais: -φυλος BCF, -φυ^{λ} E **15** ἥρωος F: ἥρως BC **16** {πως} Korais **17** Δράκανον Madvig (Adv. 1, 561) coll. 639, 11

Vor dem Trogilischen Vorgebirge liegt eine gleichnamige kleine Insel; 13
von dort hat man die kürzeste Überfahrt nach Sunion – eintausendsechs-
28 hundert Stadien –, wobei man anfänglich Samos, Ikaria und die Korsiai
zur Rechten und die Melantischen Klippen zur Linken hält und dann weiter
mitten durch die Kykladen-Inseln steuert. Auch das Trogilische Vorgebirge
selber ist ein Ausläufer der Mykale. An die Mykale stößt ein weiteres Gebir-
ge des Ephesischen, der Paktyes; und auch die Mesogis endet bei der My-
32 kale.

Von dem Trogilischen Vorgebirge sind es vierzig Stadien nach Samos. 14
Die Stadt blickt nach Süden, ebenso wie ihr Hafen, der eine Schiffsstation
637 hat. Der größte Teil der Stadt liegt zu ebener Erde und wird vom Meer be-
spült, doch ein Teil reicht auch noch den Berg hinan, der sich über ihr er-
hebt. Wenn man zu der Stadt heranschifft, liegt rechts das Posideion, das
4 Vorgebirge das mit der Mykale den sieben Stadien breiten Sund bildet (dar-
auf steht ein Poseidontempel, davor liegt die kleine Insel Narthekis). Links
liegt das Gebiet vor der Stadt beim Heraion, der Fluss Imbrasos und das
Heraion, ein altes Heiligtum mit einem großen Tempel, der jetzt Gemälde-
galerie ist. Abgesehen von der großen Zahl der dort aufbewahrten Gemälde
8 gibt es noch weitere Gemäldegalerien und ein paar kleine Tempel voll alter
Kunstwerke; und das offene Gelände ist ebenso angefüllt mit den hervorra-
gendsten Statuen, darunter drei kolossale auf *einem* Sockel aufgestellte
Werke Myrons, die Antonius fortgenommen, aber von denen Caesar Augu-
stus zwei, die Athena und den Herakles, wieder auf demselben Sockel auf-
12 gestellt hat; den Zeus hat er auf das Kapitol versetzt, wo er einen kleinen
Tempel für ihn bauen ließ.

Die Fahrt um die Insel der Samier beträgt sechshundert Stadien. Sie hieß 15
früher, als sie von Karern bewohnt wurde, Parthenia, dann Anthemus, dann
Melamphyllos, dann Samos, sei's nach einem einheimischen Heros, sei's
16 nach einem der aus Ithaka und Kephallenia ausgewandert war. Es gibt auch
ein Vorgebirge das Ampelos ('Rebe') genannt wird (es blickt etwa nach Dre-
panon auf Ikaria), doch wird auch der ganze Berg, der die gesamte Insel ge-

νῆσον ὀρεινήν, ὁμωνύμως λέγεται· ἔστι δ' οὐκ εὔοινος καίπερ εὐοινουσῶν
τῶν κύκλῳ νήσων καὶ τῆς ἠπείρου σχεδόν τι τῆς προσεχοῦς πάσης τοὺς
20 ἀρίστους ἐκφερούσης οἴνους (οἷον Χίου καὶ Λέσβου καὶ Κῶ· καὶ μὴν καὶ
ὁ Ἐφέσιος καὶ ὁ Μητροπολίτης ἀγαθοί· ἥ τε Μεσωγὶς καὶ ὁ Τμῶλος καὶ ἡ
Κατακεκαυμένη καὶ Κνίδος καὶ Σμύρνα καὶ ἄλλοι ἀσημότεροι τόποι διαφό-
ρως χρηστοινοῦσιν ἢ πρὸς ἀπόλαυσιν ἢ πρὸς διαίτας ἰατρικάς). περὶ μὲν
24 ⟨οὖν⟩ οἴνους οὐ πάνυ εὐτυχεῖ Σάμος, τὰ δ' ἄλλα εὐδαίμων, ὡς δῆλον ἔκ
τε τοῦ περιμάχητον γενέσθαι καὶ ἐκ τοῦ τοὺς ἐπαινοῦντας μὴ ὀκνεῖν ἐφ-
αρμόττειν αὐτῇ τὴν λέγουσαν παροιμίαν ὅτι φέρει καὶ ὀρνίθων γάλα, καθ-
άπερ που καὶ Μένανδρος (fr. 880 K.-A.) ἔφη. τοῦτο δὲ καὶ τῶν τυραννίδων
28 αἴτιον αὐτῇ κατέστη καὶ τῆς πρὸς Ἀθηναίους ἔχθρας.

Αἱ μὲν οὖν τυραννίδες ἤκμασαν κατὰ Πολυκράτη μάλιστα καὶ τὸν ἀδελ- **16**
φὸν αὐτοῦ Συλοσῶντα. ἦν δ' ὁ μὲν καὶ τύχῃ καὶ δυνάμει λαμπρός, ὥστε καὶ
638C. θαλαττοκρατῆσαι. τῆς δ' εὐτυχίας αὐτοῦ σημεῖον τιθέασιν | ὅτι ῥίψαντος
εἰς τὴν θάλασσαν ἐπίτηδες τὸν δακτύλιον λίθου καὶ γλύμματος πολυτελοῦς
ἀνήνεγκε μικρὸν ὕστερον τῶν ἁλιέων τις τὸν καταπιόντα ἰχθὺν αὐτόν, ἀνα-
4 τμηθέντος δ' εὑρέθη ὁ δακτύλιος. πυθόμενον δὲ τοῦτο τὸν Αἰγυπτίων βα-
σιλέα φασὶ μαντικῶς πως ἀποφθέγξασθαι ὡς ἐν βραχεῖ καταστρέψοι τὸν
βίον εἰς οὐκ εὐτυχὲς τέλος ὁ τοσοῦτον ἐξηρμένος ταῖς εὐπραγίαις. καὶ
δὴ καὶ συμβῆναι τοῦτο· ληφθέντα γὰρ ἐξ ἀπάτης ὑπὸ τοῦ σατράπου τῶν
8 Περσῶν κρεμασθῆναι. τούτῳ συνεβίωσεν Ἀνακρέων ὁ μελοποιός· καὶ δὴ καὶ
πᾶσα ἡ ποίησις πλήρης ἐστὶ τῆς περὶ αὐτοῦ μνήμης. ἐπὶ τούτου δὲ καὶ
Πυθαγόραν ἱστοροῦσιν ἰδόντα φυομένην τὴν τυραννίδα ἐκλιπεῖν τὴν πόλιν
καὶ ἀπελθεῖν εἰς Αἴγυπτον καὶ Βαβυλῶνα φιλομαθείας χάριν· ἐπανιόντα δ'
12 ἐκεῖθεν ὁρῶντα ἔτι συμμένουσαν τὴν τυραννίδα πλεύσαντα εἰς Ἰταλίαν ἐκεῖ
διατελέσαι τὸν βίον. περὶ Πολυκράτους μὲν ταῦτα.

Συλοσῶν δὲ ἀπελείφθη μὲν ἰδιώτης ὑπὸ τοῦ ἀδελφοῦ, Δαρείῳ δὲ τῷ Ὑσ- **17**
τάσπεω χαρισάμενος ἐσθῆτα, ἧς ἐπεθύμησεν ἐκεῖνος φοροῦντα ἰδών (οὔπω
16 δ' ἐβασίλευε τότε), βασιλεύσαντος ἀντέλαβε δῶρον τὴν τυραννίδα. πικρῶς

23 sq. *Eust. D. P. 322, 7 sq. **24–6** *Eust. D. P. 321, 42–4 **30–638, 8** *Eust. D. P. 322, 3–7 638 **14–8** *Eust. D. P. 321, 44–322, 2

20 ἐκφερούσης z: -φερουσῶν BCF verba οἷον — Κῶ post 19 νήσων transponenda esse coniecit Kramer, del. Meineke (Vind. 218) **21** ὁ posterius C: om. BF **24** add. dubitanter Korais, confidenter Meineke (Vind. 218) εὐτυχὴς ἦν Eust. εὐδαιμονεῖ? Meineke (ibid.), εὐδαίμων ⟨ἐστίν⟩? **26 sq.** {καθάπερ — ἔφη} Meineke (Vind. 218 sq.) 638 **2** θάλατταν q **4** τὸν F: τῶν BC **5** βασιλέα ⟨Ἄμασιν⟩ Plan., Ἄμασιν pro φασι Hemsterhuis ms. ('φασι orationem onerat') καταστρέψει F **7** ὑπ' Ὀ⟨ροί⟩του Hemsterhuis ms. **14** δ' Casaubonus ἀπελείφθη B: -λήφθη CF

birgig macht, mit demselben Namen bezeichnet. Tatsächlich aber hat Samos
keinen guten Wein, obwohl die Inseln ringsum guten Wein produzieren und
20 fast das ganze benachbarte Festland die besten Weine hervorbringt (z. B.
Chios, Lesbos und Kos; und auch die Weine von Ephesos und Metropolis
sind gut; und die Mesogis, der Tmolos, die Katakekaumene, Knidos, Smyr-
na und andere, unbedeutendere Orte haben außerordentlich gute Weine,
24 entweder zum Genuss oder zu medizinischem Gebrauch). Was Weine be-
trifft hat Samos also gar kein Glück. Mit allem anderen dagegen ist es geseg-
net, wie daraus hervorgeht dass es schwer umkämpft gewesen ist und dass
seine Lobredner nicht zögern, auf Samos die Redensart anzuwenden dass es
'sogar Vogelmilch hervorbringt', wie auch Menander irgendwo (fr. 880 K.-
28 A.) gesagt hat. Diesem Umstand hatte die Insel auch die Gewaltherrschaften
und die Feindschaft mit den Athenern zu verdanken.

Die Gewaltherrschaften hatten ihren Höhepunkt besonders zur Zeit des **16**
Polykrates und seines Bruders Syloson. Ersterer glänzte sowohl durch
Glück als durch Macht, so dass er sogar die Herrschaft zur See erlangte.
638 Als Zeichen seines Glücks betrachtet man dass, als er absichtlich seinen
Ring mit einem kostbaren und prachtvoll geschnittenen Stein ins Meer ge-
worfen hatte, kurz danach ein Fischer den Fisch ans Land brachte der ihn
4 verschluckt hatte, und, als er aufgeschnitten wurde, man den Ring fand. Als
der König der Ägypter das hörte, soll er wie ein Prophet ausgerufen haben
dass einer der vom Glück dermaßen begünstigt worden sei in Kürze ein un-
glückliches Ende finden werde. Und das sei denn auch geschehen: mit Hin-
8 terlist gefangen genommen sei er von dem Satrapen der Perser gekreuzigt
worden. Mit ihm lebte Anakreon der Liederdichter zusammen, und so ist
denn auch seine ganze Dichtung voller Hinweise auf ihn. Unter ihm auch,
so berichtet man, habe Pythagoras, als er die Gewaltherrschaft emporwach-
sen sah, die Stadt verlassen und sei aus Wissbegierde nach Ägypten und Ba-
12 bylon gegangen; als er von dort zurückkehrte und sah dass die Gewaltherr-
schaft sich noch immer hielt, sei er nach Italien gefahren und dort bis an
sein Lebensende geblieben. Dies über Polykrates.

Was Syloson betrifft: er wurde von seinem Bruder als Privatmann zurück- **17**
gelassen; da er aber dem Dareios, dem Sohn des Hystaspes, ein Kleid ge-
schenkt hatte, nach dem es diesen verlangt hatte als er es ihn tragen sah (da-
16 mals war er noch kein König), bekam er von diesem, als er König geworden

δ' ἦρξεν, ὥστε καὶ ἐλιπάνδρησεν ἡ πόλις κἀκεῖθεν ἐκπεσεῖν συνέβη τὴν παροιμίαν (Zenob. Ath. 2, 21. vulg. 3, 90) 'ἕκητι Συλοσῶντος εὐρυχωρίη'.

18 'Αθηναῖοι δὲ πρότερον μὲν πέμψαντες στρατηγὸν Περικλέα καὶ σὺν αὐτῷ
20 Σοφοκλέα τὸν ποιητὴν πολιορκίᾳ κακῶς διέθηκαν ἀπειθοῦντας τοὺς Σαμίους, ὕστερον δὲ καὶ κληρούχους ἔπεμψαν δισχιλίους ἐξ ἑαυτῶν· ὧν ἦν καὶ Νεοκλῆς ὁ 'Επικούρου τοῦ φιλοσόφου πατήρ (γραμματοδιδάσκαλος, ὥς φασι)· καὶ δὴ καὶ τραφῆναί φασιν ἐνθάδε καὶ ἐν Τέῳ καὶ ἐφηβεῦσαι 'Αθήνησι· γενέσθαι
24 δ' αὐτῷ συνέφηβον Μένανδρον τὸν κωμικόν. Σάμιος δ' ἦν καὶ Κρεώφυλος, ὅν φασι δεξάμενον ξενίᾳ ποτὲ Ὅμηρον λαβεῖν δῶρον τὴν ἐπιγραφὴν τοῦ ποιήματος ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν. Καλλίμαχος δὲ τοὐναντίον ἐμφαίνει δι' ἐπιγράμματός τινος (6 Pf. HE 1293–6) ὡς ἐκείνου μὲν ποιήσαντος, λεγο-
28 μένου δ' Ὁμήρου διὰ τὴν λεγομένην ξενίαν·

> τοῦ Σαμίου πόνος εἰμὶ δόμῳ ποτὲ θεῖον Ὅμηρον
> δεξαμένου, κλείω δ' Εὔρυτον, ὅσσ' ἔπαθεν,
> καὶ ξανθὴν 'Ιόλειαν, Ὁμήρειον δὲ καλεῦμαι
> 32 γράμμα· Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα·

639C. τινὲς δὲ διδάσκαλον Ὁμήρου τοῦτόν φασιν, οἱ δ' οὐ τοῦτον, ἀλλ' 'Αριστέαν τὸν Προκοννήσιον.

19 Παράκειται δὲ τῇ Σάμῳ νῆσος 'Ικαρία, ἀφ' ἧς τὸ 'Ικάριον πέλαγος. αὐτὴ
4 δ' ἐπώνυμός ἐστιν 'Ικάρου τοῦ Δαιδάλου παιδός, ὅν φασι τῷ πατρὶ κοινωνήσαντα τῆς φυγῆς, ἡνίκα ἀμφότεροι πτερωθέντες ἀπῆραν ἐκ Κρήτης, πεσεῖν ἐνθάδε μὴ κρατήσαντα τοῦ δρόμου· μετεωρισθέντι γὰρ πρὸς τὸν ἥλιον ἐπὶ πλέον περιρρυῆναι τὰ πτέρα τακέντος τοῦ κηροῦ. τριακοσίων δ' ἐστὶ τὴν
8 περίμετρον σταδίων ἡ νῆσος ἅπασα καὶ ἀλίμενος πλὴν ὑφόρμων, ὧν ὁ κάλλιστος 'Ιστοὶ λέγονται (ἄκρα δ' ἐστὶν ἀνατείνουσα πρὸς ζέφυρον). ἔστι δὲ καὶ 'Αρτέμιδος ἱερόν, καλούμενον Ταυροπόλιον, ἐν τῇ νήσῳ καὶ πολισμάτιον Οἰνόη καὶ ἄλλο Δράκανον ὁμώνυμον τῇ ἄκρᾳ ἐφ' ῇ ἵδρυται, πρόσορμον ἔχον·
12 ἡ δὲ ἄκρα διέχει τῆς Σαμίων ἄκρας τῆς Κανθαρίου καλουμένης ὀγδοήκοντα

24–639, 2 Eust. Il. 330, 44–331, 8 **639 3** *Eust. D. P. 332, 36–8. *Greg. 18v marg. **3–7** Eust. Il. 193, 3–6 **7 sq.** *Anon. Urb. 39r II. *Greg. 18v marg. **10** St. B. 608, 14 **11** St. B. 238, 8 sq.

17 λειπανδρ- E, Eust. in paraphrasi; vide 364, 36 comm. **18** εὐρυχωρία Eust. **27 sq.** λεγομένην δ' Ὁ. διὰ τὴν ξενίαν Korais **29–32** del. Cobet (Misc. 189) **30** κλείω Casaubonus: καίω codd. ('ΚΑΙΩ pro ΚΛΙΩ' Pfeiffer); κλαίω Plan., Xylander **639 1** 'Αριστέαν Casaubonus (*Aristeam* iam vertit Xylander quamquam 'Αριστέα scribens cum ed. pr.): ἀρισταῖα codd., ἀρισταῖον Eust.; ἀριστέα q **3** αὐτὴ Eust.: αὕτη codd. **4** ἐστιν om. Eust. 'Ικάρου παιδὸς Δ. Eust.; 'Ικάρου παιδὸς τοῦ Δ. ed. pr. **6** τὸν om. Eust. **11** δρέκανον F, δράκονον St. B. **12** καθαρίου F

war, die Herrschaft als Gegengeschenk. Seine Herrschaft war so hart dass die Stadt sich entvölkerte und daher das Sprichwort in Umlauf kam (Zenob. Ath. 2, 21. vulg. 3, 90) 'Dank Syloson ist Platz geworden weit und breit'.

18 Die Athener haben erst Perikles als General geschickt und zusammen mit
20 ihm Sophokles, den Dichter, und durch eine Belagerung die Samier, die rebellierten, hart mitgenommen. Später haben sie noch aus ihrer Mitte zweitausend Kleruchen geschickt. Unter diesen befand sich auch Neokles, der Vater des Philosophen Epikur (ein Schullehrer, wie man sagt); er soll denn auch hier und in Teos aufgewachsen sein und als Ephebe in Athen gedient
24 haben, wo Menander, der Komiker, sein Mitephebe gewesen sein soll. Samier war auch Kreophylos, von dem man sagt, er habe einst, als er Homer gastlich aufgenommen hatte, als Geschenk die Ehre bekommen, seinen Namen über das Gedicht zu setzen das *Oichalias Eroberung* genannt wird. Kallimachos dagegen gibt umgekehrt in einem Epigramm (6 Pf. HE 1293–6) zu
28 verstehen, jener habe es gedichtet, werde aber wegen der Gastfreundschaft, von der man erzählt, Homer genannt:

> Bin des Samiers Werk, der Homer, den göttlichen, aufnahm
> Einst bei sich. Ich besing' Eurytos, was er erlitt,
> Und Ioleia, die blonde. Man nennt ein Homerisches Buch mich:
> 32 Ungemein, lieber Zeus, ehrt den Kreophylos dies;

639 und nach Manchen ist er Homers Lehrer gewesen, nach Anderen dagegen war es nicht er, sondern Aristeas von Prokonnesos.

19 Neben Samos liegt die Insel Ikaria, von der das Ikarische Meer seinen
4 Namen hat. Selber ist sie benannt nach Ikaros, dem Sohn des Daidalos, von dem man erzählt, er sei bei der gemeinsamen Flucht mit seinem Vater, als beide mit Flügeln versehen aus Kreta fortgeflogen waren, hier abgestürzt weil er den Kurs nicht hielt: als er nämlich zu hoch zur Sonne hinanstieg, seien ihm die Flügel abgefallen, da das Wachs schmolz. Die ganze Insel
8 misst dreihundert Stadien im Umkreis und ist hafenlos, abgesehen von Ankerplätzen, von denen der beste Histoi heißt (es ist ein Vorgebirge, das nach Westen hinausreicht). Es gibt auch ein Artemisheiligtum, Tauropolion genannt, auf der Insel und ein Städtchen Oinoë und ein weiteres, Drakanon, das denselben Namen trägt wie das Vorgebirge auf dem es liegt, und einen
12 Ankerplatz hat. Das Vorgebirge ist von dem Kantharion genannten Vorge-

σταδίους, ὅπερ ἐστὶν ἐλάχιστον δίαρμα τὸ μεταξύ. νυνὶ μέντοι λιπαν-
δροῦσαν Σάμιοι νέμονται τὰ πολλὰ βοσκημάτων χάριν.

Μετὰ δὲ τὸν Σάμιον πορθμὸν τὸν πρὸς Μυκάλῃ πλέουσιν εἰς Ἔφεσον ἐν **20**
16 δεξιᾷ ἐστιν ἡ Ἐφεσίων παραλία· μέρος δέ τι ἔχουσιν αὐτῆς καὶ οἱ Σάμιοι.
πρῶτον δ' ἐστὶν ἐν τῇ παραλίᾳ τὸ Πανιώνιον, τρισὶ σταδίοις ὑπερκείμενον
τῆς θαλάττης, ὅπου τὰ Πανιώνια, κοινὴ πανήγυρις τῶν Ἰώνων, συντελεῖται
τῷ Ἑλικωνίῳ Ποσειδῶνι καὶ θυσία· ἱερῶνται δὲ Πριηνεῖς (εἴρηται δὲ περὶ
20 αὐτῶν ἐν τοῖς Πελοποννησιακοῖς [384, 21 sqq.]). εἶτ' Ἄναια πόλις, ἡ πρό-
τερον μὲν ἦν Ἐφεσίων, νῦν δὲ Σαμίων διαλλαξαμένων πρὸς τὸ Μαραθήσιον,
τὸ ἐγγυτέρω πρὸς τὸ ἀπωτέρω. εἶτα Πύγελα πολίχνιον, ἱερὸν ἔχον Ἀρτέμι-
δος Μουνυχίας, ἵδρυμα Ἀγαμέμνονος, οἰκούμενον ὑπὸ μέρους τῶν ἐκείνου
24 λαῶν· πυγαλγέας γάρ τινας καὶ γενέσθαι καὶ κληθῆναι, κάμνοντας δ' ὑπὸ
τοῦ πάθους καταμεῖναι, καὶ τυχεῖν οἰκείου τοῦδε τοῦ ὀνόματος τὸν τόπον.
εἶτα λιμὴν Πάνορμος καλούμενος, ἔχων ἱερὸν τῆς Ἐφεσίας Ἀρτέμιδος, εἶθ'
ἡ πόλις.

28 Ἐν δὲ τῇ αὐτῇ παραλίᾳ μικρὸν ὑπὲρ τῆς θαλάττης ἐστὶ καὶ ἡ Ὀρτυγία,
διαπρεπὲς ἄλσος παντοδαπῆς ὕλης, κυπαρίττου δὲ τῆς πλείστης· διαρρεῖ
δ' ὁ Κέγχριος ποταμός, οὗ φασι νίψασθαι τὴν Λητὼ μετὰ τὰς ὠδῖνας. ἐν-
ταῦθα γὰρ μυθεύουσι τὴν λοχείαν καὶ τὴν τροφὸν τὴν Ὀρτυγίαν καὶ τὸ
32 ἄδυτον, ἐν ᾧ ἡ λοχεία, καὶ τὴν πλησίον ἐλαίαν, ᾗ πρῶτον ἐπαναπαύσασθαί
φασι τὴν θεὸν ἀπολυθεῖσαν τῶν ὠδίνων. ὑπέρκειται δὲ τοῦ ἄλσους ὄρος ὁ
640C. Σολμισσός, | ὅπου στάντας φασὶ τοὺς Κουρῆτας τῷ ψόφῳ τῶν ὅπλων ἐκπλῆξαι
τὴν Ἥραν ζηλοτύπως ἐφεδρεύουσαν καὶ λαθεῖν συμπράξαντας τὴν λοχείαν
τῇ Λητοῖ. ὄντων δ' ἐν τῷ τόπῳ πλειόνων ναῶν, τῶν μὲν ἀρχαίων, τῶν δ'
4 ὕστερον γενομένων, ἐν μὲν τοῖς ἀρχαίοις ἀρχαῖά ἐστι ξόανα, ἐν δὲ τοῖς
ὕστερον Σκόπα ἔργα· ἡ μὲν Λητὼ σκῆπτρον ἔχουσα, ἡ δ' Ὀρτυγία παρέστηκεν
ἑκατέρᾳ τῇ χειρὶ παιδίον ἔχουσα. πανήγυρις δ' ἐνταῦθα συντελεῖται κατ'
ἔτος, ἔθει δέ τινι οἱ νέοι φιλοκαλοῦσι μάλιστα περὶ τὰς ἐνταῦθα εὐω-

18 Anon. Scor. 298^{r} 8 sq. **22** *Anon. Urb. 38^{v} I **28 sq.** *Anon. Urb. 38^{v} I

13 sq. λειπ- z, Xylander **20** εἶτ' Ἄναια πόλις Wil. (Kl. Schr. V 1, 136[1]): εἶτα νεάπολις codd. ἣ Casaubonus: ὃ codd. **22** ἀπωτέρω F: ἀπο- BC πύγελλα BC, Anon. Urb. **24** πυγαλγέας J. G. Schneider (Kritisches Griech.-D. Handwörterbuch … 2, Jena-Leipzig 1798, 464 a): πυγαλίας EFX, πυγαλλίας BC; πυγαλγίας Lobeck (Pathol. prol. 491[8]) τινάς ⟨φασι⟩ Jones **30** δὲ pro δ' q **640 2** {καὶ} λαθεῖν συμπρᾶξαι? **5** Σκόπα B^{mg} (coniecerunt Hemsterhuis ms., Tyrwhitt [37]): σκολιὰ B^{t}C, σκολιὰ σκō F

birge der Samier achtzig Stadien entfernt, was die kürzeste Überfahrt zwischen den beiden Inseln ist. Heute jedoch ist Ikaria verlassen und wird von den Samiern größtenteils als Viehweide benutzt.

Nach dem Sund zwischen Samos und Mykale kommt, wenn man nach **20**
16 Ephesos fährt, rechts die Küste der Ephesier; ein Teil davon gehört auch den Samiern. Das erste an dieser Küste ist das drei Stadien über dem Meer gelegene Panionion, wo die Panionien, ein gemeinsames Fest der Ionier, und ein Opfer für den Helikonischen Poseidon abgehalten werden; das
20 Priesteramt versehen die Priëner (es war von ihnen schon in dem Abschnitt über den Peloponnes [384, 21 ff.] die Rede). Dann kommt die Stadt Anaia, die früher den Ephesiern gehört hat, jetzt aber im Besitz der Samier ist, die sie gegen Marathesion – das Nähere gegen das Fernere – ausgetauscht haben). Dann die kleine Stadt Pygela mit einem Heiligtum der Artemis Munychia, eine Gründung Agamemnons, die von einem Teil seiner Leute bewohnt
24 wurde. Manche von ihnen sollen nämlich Schmerzen am Hintern bekommen haben und deswegen Pygalger genannt worden sein; geplagt von ihrem Leiden seien sie dort geblieben, und so habe der Ort diesen passenden Namen bekommen. Dann kommt der 'Panormos' genannte Hafen mit einem Heiligtum der Ephesischen Artemis, dann die Stadt.

28 An derselben Küste, etwas über dem Meer, liegt auch Ortygia, ein herrlicher Hain aller möglichen Baumarten, vor allem Zypressen; ihn durchfließt der Fluss Kenchrios, mit dessen Wasser Leto sich nach ihrer Entbindung gewaschen haben soll. Hierher nämlich verlegt die Fabel die Niederkunft, die
32 Amme Ortygia, das Allerheiligste, in dem die Niederkunft stattgefunden, und den Olivenbaum in der Nähe, an dem die Göttin sich nach der Entbindung zuerst ausgeruht haben soll. Über dem Hain erhebt sich der Berg Sol-
640 missos, auf dem die Kureten gestanden und mit dem Lärm ihrer Waffen Hera, die eifersüchtig auf der Lauer lag, abgeschreckt und so Leto geholfen haben sollen dass ihre Niederkunft unbemerkt blieb. An dem Ort befinden
4 sich mehrere Tempel, manche alt, andere später entstanden. In den alten sind alte Kultstatuen, in den späteren Werke des Skopas: Leto, ein Zepter haltend, und neben ihr steht Ortygia mit einem kleinen Kind in jedem Arm. Es wird dort jedes Jahr ein Fest abgehalten, bei dem nach einem bestimmten Brauch die jungen Männer sich hervortun (sie legen es besonders auf die

8 χίας λαμπρυνόμενοι· τότε δὲ καὶ ⟨τὸ⟩ τῶν Κουρήτων ἀρχεῖον συνάγει συμ-
πόσια καί τινας μυστικὰς θυσίας ἐπιτελεῖ.

Τὴν δὲ πόλιν ᾤκουν μὲν Κᾶρές τε καὶ Λέλεγες, ἐκβαλὼν δ' ὁ Ἄνδρο- **21**
κλος τοὺς πλείστους ᾤκισεν ἐκ τῶν συνελθόντων αὐτῷ περὶ τὸ Ἀθήναιον
12 καὶ τὴν Ὑπέλαιον προσπεριλαβὼν καὶ τῆς περὶ τὸν Κορησσὸν παρωρείας.
μέχρι μὲν δὴ τῶν κατὰ Κροῖσον οὕτως ᾠκεῖτο, ὕστερον δ' ἀπὸ τῆς παρω-
ρείου καταβάντες περὶ τὸ νῦν ἱερὸν ᾤκησαν μέχρις Ἀλεξάνδρου. Λυσίμαχος
δὲ τὴν νῦν πόλιν τειχίσας, ἀηδῶς τῶν ἀνθρώπων μεθισταμένων, τηρήσας
16 καταρράκτην ὄμβρον συνήργησε καὶ αὐτὸς καὶ τοὺς ῥινούχους ἐνέφραξεν,
ὥστε κατακλύσαι τὴν πόλιν· οἱ δὲ μετέστησαν ἄσμενοι. ἐκάλεσε δ' Ἀρσινόην
ἀπὸ τῆς γυναικὸς τὴν πόλιν, ἐπεκράτησε μέντοι τὸ ἀρχαῖον ὄνομα. ἦν δὲ
γερουσία καταγραφομένη, τούτοις δὲ συνῄεσαν οἱ ἐπίκλητοι καλούμενοι καὶ
20 διῴκουν πάντα.

Τὸν δὲ νεὼν τῆς Ἀρτέμιδος πρῶτος μὲν Χερσίφρων ἠρχιτεκτόνησεν, **22**
εἶτ' ἄλλος ἐποίησε μείζω. ὡς δὲ τοῦτον Ἡρόστρατός τις ἐνέπρησεν, ἄλλον
ἀμείνω κατεσκεύασαν συνενέγκαντες τὸν τῶν γυναικῶν κόσμον καὶ τὰς ἰδίας
24 οὐσίας, διαθέμενοι δὲ καὶ τοὺς προτέρους κίονας. τούτων δὲ μαρτύριά
ἐστι τὰ γενηθέντα τότε ψηφίσματα, ἅπερ ἀγνοοῦντά φησιν ὁ Ἀρτεμίδωρος
(fr. 126 Stiehle) τὸν Ταυρομενίτην Τίμαιον — καὶ ἄλλως βάσκανον ὄντα
καὶ συκοφάντην, διὸ καὶ Ἐπιτίμαιον κληθῆναι — λέγειν (FGrHist 566
28 F 150b) ὡς ἐκ τῶν Περσικῶν παρακαταθηκῶν ἐποιήσαντο τοῦ ἱεροῦ τὴν
ἐπισκευήν. οὔτε δὲ ὑπάρξαι παρακαταθήκας τότε εἴ τε ὑπῆρξαν, συνεμπε-
πρῆσθαι τῷ ναῷ. μετὰ δὲ τὴν ἔμπρησιν τῆς ὀροφῆς ἠφανισμένης ἐν ὑπαίθρῳ
τῷ σηκῷ τίνα ἂν ἐθελῆσαι παρακαταθήκην κειμένην ἔχειν; Ἀλέξανδρον δὲ
641C. τοῖς Ἐφεσίοις ὑποσχέσθαι τὰ γεγονότα καὶ τὰ μέλλοντα ἀναλώματα | ἐφ' ᾧ
τε τὴν ἐπιγραφὴν αὐτὸν ἔχειν, τοὺς δὲ μὴ ἐθελῆσαι, πολὺ μᾶλλον οὐκ ἂν
ἐθελήσαντας ἐξ ἱεροσυλίας καὶ ἀποστερήσεως φιλοδοξεῖν (ἐπαινεῖ τε τὸν
4 εἰπόντα τῶν Ἐφεσίων πρὸς τὸν βασιλέα ὡς οὐ πρέποι θεῷ θεοῖς ἀναθήματα

14–8 *Eust. D. P. 363, 16–9 **21–3** Anon. Scor. 298r 9–11

8 add. v. Herwerden (449), Usener (RhM 49, 1894, 466[1]) ('[die] Genossenschaft' iam Groskurd); τό τε {δὲ καὶ} z, Korais **12** Ὑπέλαιον ⟨κρήνην⟩? Palmerius (344) Κορησσὸν xy: κορρησὸν BCF παρωρείας xz: -ρίας BCF **13** Κροῖσον C: κροῖσσον B, κρεῖσον F; Κροῖσον ⟨χρόνων⟩ Korais **13 sq.** παρωρείου xz: -ρίου BCF **17** μετανέστησαν F **21** πρῶτον F (frustra def. Aly 1, 144*) Χερσίφρων F: χαρσίφρων C, χερσίφρον B **22** ἄλλος Xylander: -ον codd., Anon. Scor. **24 sq.** μαρτύριά ἐστι BC: μαρτυρία ἐστὶν F **27** Ἐπιτίμαιον F: -τίμιον BC **28** ἐποιήσαντο B: -σατο CF **30** ⟨ἂν⟩ τῷ Jones **31** δὴ pro δὲ Xylander; τε? vide comm. 641 **2** τε om. C **4** πρέποι F: -ει BC

8 glänzende Gestaltung der dortigen Festschmäuse an); bei dieser Gelegenheit
veranstaltet auch die Körperschaft der Kureten Trinkgelage und vollzieht
gewisse geheime Opfer.

Die Stadt war bewohnt von Karern und Lelegern, doch Androklos ver- **21**
trieb sie und siedelte die meisten der mit ihm Gekommenen bei dem Athena-
12 heiligtum und der Hypelaios an, wobei er auch ein Stück von dem Berghang
bei Koressos zu der Stadt zog. Bis zu den Ereignissen zur Zeit des Kroisos
wurde die Stadt so bewohnt, später aber kamen sie von dem Berghang herab
und wohnten bis Alexander um das heutige Heiligtum. Lysimachos legte die
heutige Stadt an; da die Leute nur ungern umsiedelten, wartete er einen
16 Sturzregen ab und half dabei auch selber mit indem er die Kloaken zu-
sperrte, so dass die Stadt überschwemmt wurde: da siedelten sie mit Freuden
um. Er nannte die Stadt Arsinoë nach seiner Frau, doch der alte Name be-
hauptete sich. Es gab einen Rat der Alten aus eingetragenen Mitgliedern,
20 und mit dem kamen die sogenannten Epikleten zusammen und erledigten
alle Geschäfte.

Den Tempel der Artemis hat zuerst Chersiphron entworfen, danach hat **22**
ein Anderer ihn vergrößert. Als ein gewisser Herostratos diesen Tempel in
Brand gesteckt hatte, errichteten sie einen anderen, besseren, wozu sie den
24 Schmuck ihrer Frauen und ihr eigenes Vermögen zusammentrugen und auch
die alten Säulen verkauften. Das bezeugen die damals gefassten Beschlüsse,
die, so sagt Artemidor (fr. 126 Stiehle), der Tauromeniter Timaios – ohne-
hin ein Nörgler und Querulant, weshalb er auch Epitimaios genannt worden
28 sei – nicht kannte als er behauptete (FGrHist 566 F 150b), sie hätten die
Wiederherstellung des Heiligtums mit den von den Persern hinterlegten
Geldern finanziert: es seien damals überhaupt keine hinterlegten Gelder
vorhanden gewesen, und falls welche vorhanden waren, seien sie zusammen
mit dem Tempel verbrannt. Und als nach dem Brand das Dach verschwun-
den war – wer hätte in der dem freien Himmel geöffneten Cella ein Deposi-
tum liegen haben wollen? Ferner habe Alexander sich bereit erklärt die be-
641 reits gemachten und die künftigen Unkosten zu übernehmen unter der Be-
dingung dass die Inschrift auf seinen Namen lauten würde, doch die Ephe-
sier hätten das nicht gewollt: viel weniger noch wären sie bereit gewesen
durch Tempelraub und Unterschlagung nach Ruhm zu trachten (und er lobt
4 den Ephesier der zu dem König sagte, es stehe einem Gott nicht an, Tempel

κατασκευάζειν). μετὰ δὲ τὴν τοῦ νεὼ συντέλειαν, ὅν φησιν εἶναι Χειρο- **23**
κράτους ἔργον (τοῦ δ᾽ αὐτοῦ καὶ τὴν ᾿Αλεξανδρείας κτίσιν· τὸν δ᾽ αὐτὸν
ὑποσχέσθαι ᾿Αλεξάνδρῳ τὸν ῎Αθω διασκευάσειν εἰς αὐτόν, ὡσανεὶ ἐκ πρόχου
8 τινὸς εἰς φιάλην καταχέοντα σπονδήν, ποιήσαντα πόλεις δύο, τὴν μὲν ἐκ
δεξιῶν τοῦ ὄρους, τὴν δ᾽ ἐν ἀριστερᾷ, ἀπὸ δὲ τῆς ἑτέρας εἰς τὴν ἑτέραν
ῥέοντα ποταμόν) — μετὰ δ᾽ οὖν τὸν νεὼν τὸ τῶν ἄλλων ἀναθημάτων πλῆθος
εὑρέσθαι τῇ ἐκτιμήσει τῶν δημιουργῶν, τὸν δὲ δὴ βωμὸν εἶναι τῶν Πραξι-
12 τέλους ἔργων ἅπαντα σχεδόν τι πλήρη. ἡμῖν δ᾽ ἐδείκνυτο καὶ τῶν Θράσωνός
τινα, οὗπερ καὶ τὸ ῾Εκατήσιόν ἐστι καὶ ἡ †κρήνη† Πηνελόπη καὶ ἡ πρεσβῦ-
τις ἡ Εὐρύκλεια. ἱερέας δ᾽ εὐνούχους εἶχον, οὓς ἐκάλουν μεγαβύξους (καὶ
ἀλλαχόθεν μετιόντες ἀεί τινας ἀξίους τῆς τοιαύτης προστασίας) καὶ ἦγον
16 ἐν τιμῇ μεγάλῃ· συνιερᾶσθαι δὲ τούτοις ἐχρῆν παρθένους. νυνὶ δὲ τὰ μὲν
φυλάττεται τῶν νομίμων, τὰ δ᾽ ἧττον, ἄσυλον δὲ μένει τὸ ἱερὸν καὶ νῦν
καὶ πρότερον. τῆς δ᾽ ἀσυλίας τοὺς ὅρους ἀλλαγῆναι συνέβη πολλάκις, ᾿Αλεξ-
άνδρου μὲν ἐπὶ στάδιον ἐκτείναντος, Μιθριδάτου δὲ τόξευμα ἀφέντος ἀπὸ
20 τῆς γωνίας τοῦ κεράμου καὶ δόξαντος ὑπερβαλέσθαι μικρὰ τὸ στάδιον, ᾿Αν-
τωνίου δὲ διπλασιάσαντος τοῦτο καὶ συμπεριλαβόντος τῇ ἀσυλίᾳ μέρος τι
τῆς πόλεως· ἐφάνη δὲ τοῦτο βλαβερὸν καὶ ἐπὶ τοῖς κακούργοις ποιοῦν τὴν
πόλιν, ὥστ᾽ ἠκύρωσεν ὁ Σεβαστὸς Καῖσαρ.

24 ῎Εχει δ᾽ ἡ πόλις καὶ νεώρια καὶ λιμένα· βραχύστομον δ᾽ ἐποίησαν οἱ **24**
ἀρχιτέκτονες συνεξαπατηθέντες τῷ κελεύσαντι βασιλεῖ. οὗτος δ᾽ ἦν ῎Ατта-
λος ὁ Φιλάδελφος· οἰηθεὶς γὰρ οὗτος βαθὺν τὸν εἴσπλουν ὁλκάσι μεγάλαις
ἔσεσθαι καὶ αὐτὸν τὸν λιμένα τεναγώδη ὄντα πρότερον διὰ τὰς ἐκ τοῦ
28 Καΰστρου προσχώσεις, ἐὰν παραβληθῇ χῶμα τῷ στόματι πλατεῖ τελέως ὄντι,
ἐκέλευσε γενέσθαι τὸ χῶμα. συνέβη δὲ τοὐναντίον· ἐντὸς γὰρ ἡ χοῦς εἰρ-
γομένη τεναγίζειν μᾶλλον ἐποίησε τὸν λιμένα σύμπαντα μέχρι τοῦ στόματος·
πρότερον δ᾽ ἱκανῶς αἱ πλημμυρίδες καὶ ἡ παλίρροια τοῦ πελάγους ἀφῄρει

5 sq. anon. in Plutarchi codice Laur. Conv. Soppr. 206 fol. 317 (vide Diller 1975, 87). Anon. Scor. 298^{r} 13 sq. **29. 32** Eust. Il. 305, 43 sq. Od. 1390, 60. 1504, 38

5 φασὶν F (frustra def. Aly 1, 144* sq.) **5 sq.** Δεινοκράτης o^{mg}, unde Δεινοκράτους Salmasius (Plin. exerc. 812a) **7** διασκευάζειν E πρόχου C^{pc}E: προύχου BC^{ac}F **8** ποιήσοντα F; ποιήσειν τε Korais **13** κρήνη BC: κηρίνη F; κρήνη ⟨ἐν ᾗ⟩? Müller (1028 ad 547, 40), κορίνη ('vel fort. κούρη vel κουριδία') id., κόρη Meyer (1890, 11), κοιράνη? Holwerda; Καρίνη? **14** {ἡ} Korais μεγαβύξους F: μεγαλοβύξους C, μεγαλοβύζους B ἄλλους pro καὶ Korais **17** νῦν ⟨καθὰ⟩ pot. qu. νῦν ⟨ᾗ⟩ Korais, νῦν ⟨ὡς⟩ Kramer **21** διπλασιάσαντος C^{pc}F: πλησιάσαντος BC^{ac} **22** βλαβερὸν ⟨ὂν⟩ Cobet ms. **26** βαθὺν om. B τόν ⟨τε⟩? **27** ἐκ om. B **28** προσχώσεις E: προχ- cett.; cf. 59, 16 comm.

für Götter zu bauen). Nach der Vollendung des Tempels, den er ein Werk **23**
des Cheirokrates nennt (von demselben stamme auch der Grundplan Ale-
xandriens; und derselbe habe sich gegen Alexander anheischig gemacht,
8 den Athos zu seinem Ebenbild zu gestalten, das gleichsam aus einer Kanne
ein Trankopfer in eine Schale gösse, indem er zwei Städte anlegen wollte,
die eine zur Rechten, die andere zur Linken des Berges, und einen Fluss,
der von der einen zu der anderen fließen würde) — nach dem Tempel indes-
sen hätten sie sich die große Zahl der übrigen Weihgaben durch die Hoch-
12 schätzung der Künstler erworben, der Altar aber sei fast ganz angefüllt mit
Werken des Praxiteles. Uns wurden auch einige Werke Thrasons gezeigt,
von dem auch die Hekate-Statue ist und die * * Penelope und die Alte, die
Eurykleia. Als Priester hatten sie Eunuchen, die sie *megabyxoi* nannten (sie
holten sich auch von auswärts ständig welche die eines solchen Amtes wür-
16 dig waren) und in hohen Ehren hielten; zusammen mit ihnen mussten Jung-
frauen das Priesteramt versehen. Heute werden manche dieser Gebräuche
noch eingehalten, andere nicht, doch ein Asyl ist das Heiligtum heute noch
ebenso wie ehedem. Nur sind die Grenzen der Asylie oft geändert worden:
20 Alexander dehnte sie auf ein Stadion aus, Mithridates schoss einen Pfeil von
der Ecke des Daches ab und übertraf so, wie man meinte, das Stadion um
ein weniges, Antonius verdoppelte dies und schloss einen Teil der Stadt mit
in die Asylie ein; das stellte sich aber als schädlich heraus, da es die Stadt
den Übeltätern auslieferte, und wurde daher von Caesar Augustus rückgän-
gig gemacht.

24 Die Stadt hat Schiffswerften und einen Hafen; seinen Eingang haben die **24**
Baumeister untief gemacht weil sie sich ebenso täuschten wie der König der
ihnen den Auftrag gab. Das war Attalos Philadelphos: der meinte nämlich,
die Einfahrt werde tief genug für große Frachter sein, und ebenso der Hafen
28 selber, der vorher durch die Anschwemmungen aus dem Kaystros seicht
war, wenn man dem Eingang, der ganz breit ist, einen Damm vorlegen wür-
de, und so befahl er den Damm zu bauen. Das Resultat war jedoch das Ge-
genteil: der Schlick, nunmehr auf das Innere beschränkt, machte den gesam-
ten Hafen bis zum Eingang noch seichter — vorher hatten die Fluten und

32 τὴν χοῦν καὶ ἀνέσπα πρὸς τὸ ἐκτός. ὁ μὲν οὖν λιμὴν τοιοῦτος, ἡ δὲ
πόλις τῇ πρὸς τὰ ἄλλα εὐκαιρίᾳ τῶν τόπων αὔξεται καθ' ἑκάστην ἡμέραν,
642C. ἐμπόριον οὖσα μέγιστον τῶν κατὰ τὴν Ἀσίαν τὴν ἐντὸς τοῦ Ταύρου.

Ἄνδρες δ' ἀξιόλογοι γεγόνασιν ἐν αὐτῇ τῶν μὲν παλαιῶν Ἡράκλειτός 25
τε ὁ σκοτεινὸς καλούμενος καὶ Ἑρμόδωρος, περὶ οὗ ὁ αὐτὸς οὗτός φησιν
4 (22 B 121 D.-K.)· 'ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι, οἵτινες Ἑρμόδωρον
ἄνδρα ἑωυτῶν ὀνήϊστον ἐξέβαλον φάντες 'ἡμέων μηδεὶς ὀνήϊστος ἔστω·
εἰ δὲ μή, ἄλλῃ τε καὶ μετ' ἄλλων' '· δοκεῖ δ' οὗτος ὁ ἀνὴρ νόμους τινὰς
Ῥωμαίοις συγγράψαι. καὶ Ἱππῶναξ δ' ἐστὶν ὁ ποιητὴς ἐξ Ἐφέσου καὶ Παρ-
8 ράσιος ὁ ζωγράφος καὶ Ἀπελλῆς, τῶν δὲ νεωτέρων Ἀλέξανδρος ῥήτωρ ὁ
Λύχνος προσαγορευθείς, ὃς καὶ ἐπολιτεύσατο καὶ συνέγραψεν ἱστορίαν καὶ
ἔπη κατέλιπεν, ἐν οἷς τά τε οὐράνια διατίθεται καὶ τὰς ἠπείρους γεω-
γραφεῖ, καθ' ἑκάστην ἐκδοὺς ποίημα.

12 Μετὰ δὲ τὴν ἐκβολὴν τοῦ Καΰστρου λίμνη ἐστὶν ἐκ τοῦ πελάγους ἀνα- 26
χεομένη — καλεῖται δὲ Σελινουσία — καὶ ἐφεξῆς ἄλλη σύρρους αὐτῇ,
μεγάλας ἔχουσαι προσόδους, ἃς οἱ βασιλεῖς μὲν ἱερὰς οὔσας ἀφείλοντο
τὴν θεόν, Ῥωμαῖοι δ' ἀπέδοσαν· πάλιν δ' οἱ δημοσιῶναι βιασάμενοι περι-
16 έστησαν εἰς ἑαυτοὺς τὰ τέλη, πρεσβεύσας δὲ ὁ Ἀρτεμίδωρος, ὥς φησι
(fr. 127 Stiehle), τάς τε λίμνας ἀπέλαβε τῇ θεῷ καὶ τὴν Ἡρακλεῶτιν ἀφ-
ισταμένην ἐξενίκησε κριθεῖσαν ἐν Ῥώμῃ· ἀντὶ δὲ τούτων εἰκόνα χρυσῆν
ἀνέστησεν ἡ πόλις ἐν τῷ ἱερῷ. τῆς δὲ λίμνης ἐν τῷ κοιλοτάτῳ Βασιλέως
20 ἐστὶν ἱερόν· φασὶ δ' Ἀγαμέμνονος ἵδρυμα.

Εἶτα τὸ Γαλλήσιον ὄρος καὶ ἡ Κολοφών, πόλις Ἰωνική, καὶ τὸ πρὸ 27
αὐτῆς ἄλσος τοῦ Κλαρίου Ἀπόλλωνος, ἐν ᾧ καὶ μαντεῖον ἦν ποτε παλαιόν.
λέγεται δὲ Κάλχας ὁ μάντις μετ' Ἀμφιλόχου τοῦ Ἀμφιαράου κατὰ τὴν ἐκ
24 Τροίας ἐπάνοδον πεζῇ δεῦρο ἀφικέσθαι, περιτυχὼν δ' ἑαυτοῦ κρείττονι

642 **4–6** Anon. Scor. 298^{r} 14–6 **12 sq.** *Anon. Urb. 38^{v} I **15 sq.** Anon. Scor. 298^{r} 11 **21** *Anon. Urb. 38^{v} I

642 **1** ἐμπορεῖον C^{s} **3–6** περὶ — ἄλλων del. Cobet (Misc. 189; 'ex Diogene Laertio IX. 1. 2.') **5** ἑαυτῶν Anon. Scor. μηδὲ εἷς e D. L. Meineke **6** τε om. Anon. Scor. **7** Ῥωμαίοις F: -ους BC **7 sq.** Παρράσιος Xylander: παρά- codd. **8** ⟨Ἀρτεμίδωρος καὶ⟩ Ἀλέξανδρος? Korais ὁ ante ῥήτωρ add. xz **11** ποίημα F: ποιήματα BC **17 sq.** ἀφεσταμένην v. Herwerden (449) **18** κριθεῖσαν v. Herwerden (449): κριθεὶς codd. **21** γαλήσιον C, Anon. Urb. Κολοφών E: -φῶν cett. **22** καρίου F τὸ pro ποτε F (unde τό τε πάλαι ⟨καὶ νῦν ἔτι⟩ ὃν scribi iussit Aly 1, 144*) ἐστι pro ἦν ποτε (aut {ἦν ποτε}) Meineke (Vind. 220) **23** Ἀμφιλόχου Xylander (*Amphiloco* [sic] iam Tifernate): ἀντι- codd. **24** δὲ αὐτοῦ F

32 der Rückstrom des Meeres den Schlick hinlänglich beseitigt und nach außen
gesogen. So ist es mit dem Hafen bestellt. Die Stadt aber nimmt dank ihrer
642 in allen übrigen Hinsichten günstigen Lage täglich an Bedeutung zu: sie ist
das größte Handelszentrum in Asien diesseits des Tauros.

Bedeutende Männer aus der Stadt sind gewesen: unter den Alten Hera- 25
klit, 'der Dunkle' genannt, und Hermodoros, von dem eben dieser sagt
4 (22 B 121 D.-K.) 'Die Ephesier sollten sich Mann für Mann aufhängen: ha-
ben sie doch Hermodoros, ihren trefflichsten Mann, hinausgeworfen mit
den Worten 'Von uns soll keiner der trefflichste sein; und wenn schon, dann
woanders und bei Anderen' '; dieser Mann soll gewisse Gesetze für die Rö-
mer verfasst haben. Auch Hipponax, der Dichter, stammt aus Ephesos, so-
8 wie Parrhasios, der Maler, und Apelles, und von den Jüngeren der Rhetor
Alexandros mit dem Beinamen Lychnos ('Lampe'), der sich auch politisch
betätigt, ein Geschichtswerk verfasst und epische Dichtung hinterlassen hat,
in der er nicht nur die Himmelserscheinungen behandelt sondern auch die
Erdteile beschreibt, jeden in einem besonderen Gedicht.

12 Nach der Mündung des Kaystros kommt ein aus dem Meer ins Land hin- 26
einreichender See – er wird der Selinusische genannt – und anschließend
noch einer, der mit ihm in Verbindung steht; sie bringen große Einkünfte,
welche, obwohl sie geweiht sind, die Könige der Göttin entzogen, die Rö-
mer aber wieder zurückgegeben haben. Doch brachten die Steuerpächter
16 die Abgaben wiederum mit Gewalt an sich; da ging Artemidor, wie er sagt
(fr. 127 Stiehle), als Gesandter nach Rom und gewann nicht nur der Göttin
die Seen zurück sondern triumphierte auch in einem Prozess über das sich
selbständig machende Gebiet von Herakleia; zum Dank dafür stellte die
Stadt im Heiligtum eine goldene Statue auf. An der tiefsten Einbuchtung des
20 Sees liegt ein Heiligtum des Basileus; es soll von Agamemnon gestiftet wor-
den sein.

Dann kommt der Berg Gallesion und Kolophon, eine ionische Stadt, und 27
der vor ihr gelegene Hain des Klarischen Apollon, in dem einst auch ein al-
tes Orakel war. Es heißt, der Seher Kalchas sei zusammen mit Amphilo-
24 chos, dem Sohn des Amphiaraos, auf dem Rückweg aus Troja über Land

μάντει κατὰ τὴν Κλάρον, Μόψῳ τῷ Μαντοῦς τῆς Τειρεσίου θυγατρός, διὰ λύπην ἀποθανεῖν. Ἡσίοδος μὲν οὖν (fr. 278 M.-W.) οὕτω πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα·

28 θαῦμά μ' ἔχει κατὰ θυμόν, ἐρινεὸς ὅσσος ὀλύνθους
οὗτος ἔχει, μικρός περ ἐών· εἴποις ἂν ἀριθμόν;

τὸν δ' ἀποκρίνασθαι·

μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος·
32 εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο.
ὣς φάτο, καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου.
καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψεν.

643C. Φερεκύδης δέ φησιν (FGrHist 3 F 142) ὗν προβαλεῖν ἔγκυον τὸν Κάλχαντα, πόσους ἔχει χοίρους, τὸν δ' εἰπεῖν ὅτι δέκα, ὧν ἕνα θῆλυν· ἀληθεύσαντος δ' ἀποθανεῖν ὑπὸ λύπης. οἱ δὲ τὸν μὲν Κάλχαντα τὴν ὗν προβαλεῖν φασι, 4 τὸν δὲ τὸν ἐρινεόν, καὶ τὸν μὲν εἰπεῖν τἀληθές, τὸν δὲ μή, ἀποθανεῖν δὲ ὑπὸ λύπης καὶ κατά τι λόγιον· λέγει δ' αὐτὸ Σοφοκλῆς (F 180) ἐν Ἑλένης ἀπαιτήσει, ὡς εἱμαρμένον εἴη ἀποθανεῖν ὅταν κρείττονι ἑαυτοῦ μάντει περιτύχῃ (οὗτος δὲ καὶ εἰς Κιλικίαν μεταφέρει τὴν ἔριν καὶ τὸν 8 θάνατον τοῦ Κάλχαντος).

Τὰ μὲν παλαιὰ τοιαῦτα. ἐκτήσαντο δέ ποτε καὶ ναυτικὴν ἀξιόλογον **28** δύναμιν Κολοφώνιοι καὶ ἱππικήν, ἐν ᾗ τοσοῦτον διέφερον τῶν ἄλλων ὥσθ' ὅπου ποτὲ ἐν τοῖς δυσκαταλύτοις πολέμοις τὸ ἱππικὸν τῶν Κολοφωνίων 12 ἐπικουρήσειε λύεσθαι τὸν πόλεμον· ἀφ' οὗ καὶ τὴν παροιμίαν ἐκδοθῆναι τὴν λέγουσαν 'τὸν Κολοφῶνα ἐπέθηκεν' (Zenob. Ath. 2, 1), ὅταν τέλος ἐπιτεθῇ βέβαιον τῷ πράγματι.

Ἄνδρες δ' ἐγένοντο Κολοφώνιοι τῶν μνημονευομένων Μίμνερμος, αὐλη-16 τὴς ἅμα καὶ ποιητὴς ἐλεγείας, καὶ Ξενοφάνης ὁ φυσικός, ὁ τοὺς Σίλλους

23–643, 2 Eust. Il. 51, 2–6

25 Τειρεσίου EX: τη- cett. **27** τοιοῦτον B **28** ὅσσος Plan., v. Herwerden (450), Sittl (Ἡσιόδου τὰ ἅπαντα ..., Ἀθήνησιν 1889, 612): ὅσσους X, ὅσους cett. ὀλόνθ- Eust.; ὀλύνθος Sittl ὅσσον ὀλύνθων Xylander **29** δ' ante ἂν add. X **30** ὅτι post ἀποκρίνασθαι add. X **32** ἐπενθέμεν οὔ κε δύναιο F. A. G. Spohn (Dissertationis de extrema Odysseae parte ... pars prior, Lipsiae 1815, 72[††] [οὔ κε δύναιο etiam Meineke, De Euphorionis Chalcidensis vita ..., Gedani 1823, 103. J. H. Voss, Anmerkungen u. Randglossen, Leipzig 1838, 81]): ἐπελθέμεν οὐκ ἐδύναιο codd.; ἐπενθέμεν οὔτι δύναιο Plan. **34** κάλυψεν FX: -ε BC **643 1** σῦν X **2** δέκα J. Schwartz (Pseudo-Hesiodea ..., Leiden 1960, 221): τρεῖς codd. **3** προβαλεῖν τὴν ὗν q **4** τὸν secundum Plan., x, Papabasileiou (223): om. BCF q **5** ⟨καὶ⟩ ὑπὸ? {καὶ} Plan., Korais **9** καὶ om. E **13** ἐπέθετο X

hierher gekommen und als er in Klaros einem Seher begegnete der besser war als er selbst, nämlich Mopsos, dem Sohn der Manto, der Tochter des Teiresias, sei er vor Schmerz gestorben. Hesiod (fr. 278 M.-W.) gibt der Fabel etwa folgende Form: Kalchas habe dem Mopsos diese Frage vorgelegt:

28 Staunen erfasst mich im Geiste wie viele Feigen der Baum hier
Trägt, so klein wie er ist; kannst du die Zahl mir wohl sagen?

Und der habe geantwortet:

Zehntausend sinds an der Zahl, dem Maß nach aber ein Scheffel;
32 Eine jedoch bleibt übrig: die kannst du nicht mehr hinzutun.
Sprachs, und des Maßes Zahl erwies sich ihnen als richtig.
Da denn geschah's dass Kalchas der Schlaf des Todes umhüllte.

643 Pherekydes dagegen sagt (FGrHist 3 F 142), Kalchas habe ihm die Frage vorgelegt wieviele Ferkel eine trächtige Sau trage, worauf jener gesagt habe 'zehn, worunter ein Weibchen', und als sich zeigte dass das stimmte, sei er vor Schmerz gestorben. Andere sagen, Kalchas habe die Frage über die Sau 4 gestellt und der Andere die über den Feigenbaum, und der eine habe die richtige Antwort gegeben, der andere nicht und sei gestorben vor Schmerz und kraft einer Prophezeiung; sie wird erwähnt von Sophokles (F 180) in der *Zurückforderung Helenas*: es sei ihm beschieden zu sterben wenn er einem Seher begegne der besser sei als er selbst (dieser verlegt den Streit und 8 den Tod des Kalchas auch nach Kilikien).

So lauten die alten Geschichten. Die Kolophonier haben einst auch eine **28** bedeutende Flotten- und Kavalleriemacht besessen, in der sie den Anderen so überlegen waren dass wo immer in schwer zu beendenden Kriegen die 12 Kavallerie der Kolophonier zu Hilfe kam, der Krieg ein Ende hatte; daher soll auch die Redensart in Schwang gekommen sein 'er hat den Kolophon draufgesetzt' (Zenob. Ath. 2, 1), wenn der Sache ein fester Abschluss gegeben worden ist.

Zu den Männern aus Kolophon von denen wir Kunde haben gehören 16 Mimnermos, Flötenspieler und Elegiendichter zugleich, und der Naturphi-

ποιήσας διὰ ποιημάτων· λέγει δὲ Πίνδαρος (fr. 188 Sn.-M.) καὶ Πολύ-
μναστόν τινα τῶν περὶ τὴν μουσικὴν ἐλλογίμων·

φθέγμα μὲν πάγκοινον ἔγνω-
20 κας Πολυμνάστου Κολοφωνίου ἀνδρός·

καὶ Ὅμηρον δέ τινες ἐντεῦθεν εἶναί φασιν. εὐθυπλοίᾳ μὲν οὖν ἑβδομή-
κοντα στάδιοί εἰσιν ἐξ Ἐφέσου, ἐγκολπίζοντι δὲ ἑκατὸν καὶ εἴκοσι.

Μετὰ δὲ Κολοφῶνα ὄρος Κοράκιον καὶ νησίον ἱερὸν Ἀρτέμιδος, εἰς ὃ **29**
24 διανηχομένας τίκτειν τὰς ἐλάφους πεπιστεύκασιν. εἶτα Λέβεδος, διέχουσα
Κολοφῶνος ἑκατὸν καὶ εἴκοσι. ἐνταῦθα τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν
ἡ σύνοδος καὶ κατοικία τῶν ἐν Ἰωνίᾳ μέχρι Ἑλλησπόντου, ἐν ᾗ πανήγυρίς
τε καὶ ἀγῶνες κατ' ἔτος συντελοῦνται τῷ Διονύσῳ. ἐν Τέῳ δὲ ᾤκουν πρό-
28 τερον, τῇ ἐφεξῆς πόλει τῶν Ἰώνων, ἐμπεσούσης δὲ στάσεως εἰς Ἔφεσον
κατέφυγον. Ἀττάλου δ' εἰς Μυόννησον αὐτοὺς καταστήσαντος μεταξὺ Τέω
καὶ Λεβέδου πρεσβεύονται Τήϊοι δεόμενοι Ῥωμαίων μὴ περιιδεῖν ἐπιτει-
χιζομένην σφίσι τὴν Μυόννησον, οἱ δὲ μετέστησαν εἰς Λέβεδον δεξαμένων
32 τῶν Λεβεδίων ἀσμένως διὰ τὴν κατέχουσαν αὐτοὺς ὀλιγανδρίαν. καὶ Τέως
δὲ Λεβέδου διέχει ἑκατὸν εἴκοσι· μεταξὺ δὲ νῆσος Ἀσπίς (οἱ δ' Ἀρκόν-
νησον καλοῦσι)· καὶ ἡ Μυόννησος δὲ ἐφ' ὕψους χερρονησίζοντος κατοικεῖ-
ται.

644C. Καὶ ἡ Τέως δὲ ἐπὶ χερρονήσῳ ἵδρυται, λιμένα ἔχουσα. ἔνθεν ἐστὶν **30**
Ἀνακρέων ὁ μελοποιός, ἐφ' οὗ Τήϊοι τὴν πόλιν ἐκλιπόντες εἰς Ἄβδηρα
ἀπῴκησαν, Θρᾳκίαν πόλιν, οὐ φέροντες τὴν Περσῶν ὕβριν, ἀφ' οὗ καὶ τοῦτ'
4 εἴρηται (PMG 505 a = adesp. iamb. 3 West)·

Ἄβδηρα, καλὴ Τηΐων ἀποικία

(πάλιν δ' ἐπανῆλθόν τινες αὐτῶν χρόνῳ ὕστερον). εἴρηται δὲ (609, 6) καὶ
περὶ Ἀπελλικῶντος ὅτι Τήϊος ἦν κἀκεῖνος, γέγονε δὲ καὶ ⟨ὁ⟩ συγγραφεὺς
8 Ἑκαταῖος ἐκ τῆς αὐτῆς πόλεως. ἔστι δὲ καὶ ἄλλος λιμήν, ὁ πρόσβορρος,
ἀπὸ τριάκοντα σταδίων τῆς πόλεως Γερραιίδαι.

32–4 *Anon. Urb. 38ᵛ I

18 τῶν F: τὸν BC {τὴν}? **19** πάγκοινον F: πᾶν κοινὸν BC **25** εἴκοσιν xy σταδίους post εἴκοσι add. ed. pr. **29** Μυόννησον Bˢ: μυόνη- cett. **30 sq.** τειχιζομένην F **31** μυόνη- F **32** ἡ ante Τέως add. z **33** Λεβέδου C: τῆς λεβέδου BF (cf. E) **33 sq.** ἀρκόνη- F **34** μυόνη- F δὲ om. E 644 **1** ἔνθεν E: ἔνθεν δ' cett., q; ἐνθένδ' Korais **3** τῶν ante Περσῶν add. q **5** ἀποικίη Meineke (Vind. 221), id quod poscit certe sermo Ionicus in voce κᾱλή manifestus; sed potest subesse ipsius Strabonis neglegentia (cf. Prolegomena B 3) **7** Ἀπελλικῶντος F: -λίκωντος BC addidi **8** δὲ F: om. BC πρόσβορρος Korais: -βορος codd. **9** γερραίδαι B

losoph Xenophanes, der die Sillen in Versen verfasst hat; Pindar (fr. 188 Sn.-M.) nennt auch einen gewissen Polymnastos als einen der namhaften musischen Künstler:

du kennst Polymnastos' abgedroschnes Wort,
20 des kolophonischen Mannes;

und auch Homer soll nach Manchen von dort stammen. In gerader Fahrt sind es siebzig Stadien von Ephesos; folgt man den Buchten, hundertundzwanzig.

Nach Kolophon kommt der Berg Korakion und eine der Artemis ge- **29**
24 weihte kleine Insel, wohin, so glaubt man, die Rehe zum Kalben hinüberschwimmen. Dann Lebedos, hundertundzwanzig von Kolophon entfernt. Dort ist der Verein und Wohnsitz der dionysischen Künstler in Ionien bis zum Hellespont, wo jedes Jahr ein Fest und Wettkämpfe für Dionysos ver-
28 anstaltet werden. Früher haben sie in Teos, der nächsten ionischen Stadt, gewohnt, aber als da ein innerer Streit ausbrach, flüchteten sie nach Ephesos. Attalos siedelte sie in Myonnesos, zwischen Teos und Lebedos, an, aber die Teier schickten eine Gesandtschaft zu den Römern mit der Bitte, nicht zuzulassen dass Myonnesos gegen sie befestigt werde: da siedelten diese sie
32 um nach Lebedos, dessen Bürger sie mit Freuden aufnahmen wegen des Einwohnermangels unter dem sie litten. Auch Teos ist von Lebedos hundertzwanzig entfernt; dazwischen liegt die Insel Aspis (Andere nennen sie Arkonnesos); auch Myonnesos liegt auf einer eine Halbinsel bildenden Höhe.

644 Auch Teos liegt auf einer Halbinsel; es hat einen Hafen. Von dort stammt **30**
der Liederdichter Anakreon, zu dessen Lebzeiten die Teier ihre Stadt verlassen haben und nach Abdera, einer thrakischen Stadt, ausgewandert sind,
4 da sie die Brutalität der Perser nicht ertrugen; daher heißt es auch (PMG 505 a = adesp. iamb. 3 West)

Abdera, schöne Tochterstadt der Teier

(eine Zeit danach sind einige von ihnen wieder zurückgekehrt). Auch von Apellikon ist bereits erwähnt worden (609, 6) dass er ein Teier war; und
8 auch der Historiker Hekataios stammte aus derselben Stadt. Es gibt auch noch einen anderen Hafen, den nördlichen, dreißig Stadien von der Stadt; er heißt Gerrhaiidai.

31 Εἶτα Χαλκιδεῖς ⟨καὶ⟩ ὁ τῆς χερρονήσου ἰσθμὸς τῆς Τηΐων καὶ Ἐρυθραίων. ἐντὸς μὲν οὖν τοῦ ἰσθμοῦ οἰκοῦσιν οὗτοι, ἐπ' αὐτῷ δὲ τῷ ἰσθμῷ Τήϊοι καὶ Κλαζομένιοι· τὸ μὲν γὰρ νότιον τοῦ ἰσθμοῦ πλευρὸν ἔχουσι Τήϊοι, τοὺς Χαλκιδέας, τὸ δὲ πρόσβορρον Κλαζομένιοι, καθ' ὃ συνάπτουσι τῇ Ἐρυθραίᾳ (κεῖται δ' Ὑπόκρημνος τόπος ἐπὶ τῇ ἀρχῇ τοῦ ἰσθμοῦ, ἐντὸς μὲν ἀπολαμβάνων τὴν Ἐρυθραίαν, ἐκτὸς δὲ τὴν τῶν Κλαζομενίων). ὑπέρκειται δὲ τῶν Χαλκιδέων ἄλσος καθιερωμένον Ἀλεξάνδρῳ τῷ Φιλίππου, καὶ ἀγὼν ὑπὸ τοῦ κοινοῦ τῶν Ἰώνων Ἀλεξάνδρεια καταγγέλλεται συντελούμενος ἐνταῦθα. ἡ δ' ὑπέρβασις τοῦ ἰσθμοῦ ἀπὸ τοῦ Ἀλεξανδρείου καὶ τῶν Χαλκιδέων μέχρι τοῦ Ὑποκρήμνου πεντήκοντά εἰσι στάδιοι, ὁ δὲ περίπλους πλείους ἢ χίλιοι· κατὰ μέσον δέ που τὸν περίπλουν αἱ Ἐρυθραί, πόλις Ἰωνικὴ λιμένα ἔχουσα καὶ νησῖδας προκειμένας τέτταρας, Ἵππους καλουμένας.

32 Πρὶν δ' ἐλθεῖν ἐπὶ τὰς Ἐρυθρὰς πρῶτον μὲν Αἶραι πολίχνιόν ἐστι Τηΐων, εἶτα Κώρυκος, ὄρος ὑψηλόν, καὶ λιμὴν ὑπ' αὐτῷ Κασύστης καὶ ἄλλος, Ἐρυθρᾶς λιμὴν καλούμενος, καὶ ἐφεξῆς πλείους ἕτεροι. φασὶ δὲ τὸν παράπλουν τοῦ Κωρύκου πάντα ληστήριον ὑπάρξαι τῶν Κωρυκαίων καλουμένων, εὑρομένων τρόπον καινὸν τῆς ἐπιβούλης τῶν πλωϊζομένων· κατεσπαρμένους γὰρ ἐν τοῖς λιμέσι τοῖς καθορμιζομένοις ἐμπόροις προσφοιτᾶν καὶ ὠτακουστεῖν τί φέροιεν καὶ ποῦ πλέοιεν, εἶτα συνελθόντας ἀναχθεῖσι τοῖς ἀνθρώποις ἐπιτίθεσθαι καὶ καθαρπάζειν. ἀφ' οὗ δὴ πάντα τὸν πολυπράγμονα καὶ κατακούειν ἐπιχειροῦντα τῶν λάθρᾳ καὶ ἐν ἀπορρήτῳ διαλεγομένων 'Κωρυκαῖον' καλοῦμεν καὶ ἐν παροιμίᾳ φαμέν (Men. fr. 137 Koerte. Zenob. Ath. 1, 51. vulg. 4, 75)

τοῦ δ' ἆρ' ὁ Κωρυκαῖος ἠκροάζετο,

20–37 *Anon. Urb. 38v I   25–36 *St. B. 402, 2–6

10 add. Siebelis (1803, 42)   13 ⟨κατὰ vel πρὸς⟩ τοὺς? Korais (Géogr. de Str. IV 2, 299⁰)   πρόσβορρον Korais: -βορον add.   καθ' ὃ E: καθὸ cett.   14 ὁ ante τόπος add. codd. (unde κ⟨αλ⟩εῖται Groskurd): del. Korais   17 ὑπὸ Korais: ἀπὸ codd.   18 ἀπὸ z: τοῦ ἀπὸ C (coniecit Siebelis 1803, 41), τὸ ἀπὸ cett., q   Ἀλεξανδρείου qxz: -δρίου BCF   19 sq. παράπλους ... παράπλουν Cobet (Misc. 192)   20 εἰσὶν ante αἱ add. F   23 Αἶραι Weber (MDAI (A) 29, 1904, 225 sq.) (recepit Ruge RE s. v. Teos 566, 6. 13): ἔραι codd.; Αἶραι Bergk (Archäol. Zeitung N. F. 1, 1847, 36*), Αἱραὶ Ruge olim (BPhW 12, 1892, 739 sq.), Αἰραὶ K. Buresch (Aus Lydien ..., Leipzig 1898, 183)   23 sq. Τηΐων F (coniecit Tzschucke): τήϊον BC   24 κασσυστὴς F   ἄλλως? Korais   27 πλωϊζομένων C (cf. E): πλοϊζ- BF   29 ποῖ Plan., Cobet ms.   34 ἆρ' Meineke (ap. St. B. 402, 6): ἄρ' C, ἂρ cett., ἄρα St. B.   ἠκροάσατο St. B. QPNVAld

31 Dann kommt Chalkideis und die Landenge der Halbinsel der Teier und der Erythräer. Innerhalb der Landenge wohnen letztere, auf der Landenge selber die Teier und die Klazomenier: die Südseite der Landenge nämlich, d. h. Chalkideis, haben die Teier in Besitz, die Nordseite die Klazomenier, wo sie an das Gebiet von Erythrai stoßen (am Anfang der Landenge liegt eine Örtlichkeit Hypokremnos, die nach innen das Gebiet von Erythrai, nach außen das der Klazomenier abgrenzt). Oberhalb von Chalkideis liegt ein dem Alexander, Philippos' Sohn, geweihter Hain, und von dem Bund der Ionier wird ein Wettkampf, die Alexandrien, ausgeschrieben, der hier abgehalten wird. Die Überquerung der Landenge von dem Alexandreion und Chalkideis bis Hypokremnos beträgt fünfzig Stadien, die Umschiffung mehr als tausend; etwa in der Mitte der Umschiffung liegt Erythrai, eine ionische Stadt mit einem Hafen und vier vorgelagerten kleinen Inseln, die Hippoi ('Pferde') genannt werden.

32 Bevor man nach Erythrai gelangt, kommt erst Airai, ein Städtchen der Teier, dann Korykos, ein hohes Gebirge, und an seinem Fuß ein Hafen Kasystes und noch ein weiterer, Erythras Hafen genannt, und anschließend mehrere andere. Die ganze Küste des Korykos soll ein Seeräubereistützpunkt der sogenannten Korykäer gewesen sein, die eine neue Art Anschlag auf die Seefahrer erfunden hatten: sie hätten sich nämlich, über die Häfen verteilt, in die Gesellschaft der dort eingelaufenen Handelsschiffer begeben, abgehorcht was sie führten und wohin sie fuhren, und dann, versammelt, die Leute, wenn sie ausgelaufen waren, überfallen und geplündert. Daher nennen wir jeden Neugierigen und jeden der versucht zu hören was im Verborgenen und insgeheim beredet wird, 'Korykäer' und pflegen wir sprichwörtlich zu sagen (Men. fr. 137 Koerte. Zenob. Ath. 1, 51. vulg. 4, 75)

Ihn hatte also der Korykäer abgelauscht,

ὅταν δοκῇ τις πράττειν δι' ἀπορρήτων ἢ λαλεῖν, μὴ λανθάνῃ δὲ διὰ τοὺς
36 κατασκοποῦντας καὶ φιλοπευστοῦντας τὰ μὴ προσήκοντα.

645C. Μετὰ δὲ Κώρυκον Ἁλόννησος νησίον, εἶτα τὸ Ἄργεννον, | ἄκρα τῆς **33**
Ἐρυθραίας πλησιάζουσα μάλιστα τῷ Χίων Ποσιδείῳ ποιοῦντι πορθμὸν ὅσον
ἑξήκοντα σταδίων. μεταξὺ δὲ τῶν Ἐρυθρῶν καὶ τοῦ Ὑποκρήμνου Μίμας
4 ἐστὶν ὄρος ὑψηλόν, εὔθηρον, πολύδενδρον, εἶτα κώμη Κυβέλεια καὶ ἄκρα
Μέλαινα καλουμένη, μύλων ἔχουσα λατόμιον.

Ἐκ δ' Ἐρυθρῶν Σίβυλλά ἐστιν, ἔνθους καὶ μαντικὴ γυνὴ τῶν ἀρχαίων **34**
τις· κατ' Ἀλέξανδρον δὲ ἄλλη ἦν τὸν αὐτὸν τρόπον μαντική, καλουμένη
8 Ἀθηναΐς, ἐκ τῆς αὐτῆς πόλεως· καὶ καθ' ἡμᾶς Ἡρακλείδης, Ἡροφίλειος ἰα-
τρός, συσχολαστὴς Ἀπολλωνίου τοῦ Μυός.

Ἡ δὲ Χίος τὸν μὲν περίπλουν ἐστὶ σταδίων ἐνναкοσίων παρὰ γῆν φε- **35**
ρομένῳ, πόλιν δ' ἔχει εὐλίμενον καὶ ναύσταθμον ναυσὶν ὀγδοήκοντα. ἐν
12 δὲ τῷ περίπλῳ δεξιὰν τὴν νῆσον ἔχοντι ἀπὸ τῆς πόλεως πρῶτον μέν ἐστι
τὸ Ποσίδειον, εἶτα Φάναι, λιμὴν βαθύς, καὶ νεὼς Ἀπόλλωνος καὶ ἄλσος
φοινίκων, εἶτα Νότιον, ὕφορμος αἰγιαλός, εἶτα †λαιούς†, καὶ οὗτος ὕφ-
ορμος αἰγιαλός, ὅθεν εἰς τὴν πόλιν ἑξήκοντα σταδίων ἰσθμός (περίπλους
16 δὲ τριακοσίων ἑξήκοντα ὃν ἐπήλθομεν). εἶτα Μέλαινα ἄκρα, καθ' ἣν τὰ
Ψύρα, νῆσος ἀπὸ πεντήκοντα σταδίων τῆς ἄκρας, ὑψηλή, πόλιν ὁμώνυμον
ἔχουσα· κύκλος δὲ τῆς νήσου τετταράκοντα στάδιοι. εἶθ' ἡ Ἀριουσία, χώρα
τραχεῖα καὶ ἀλίμενος σταδίων ὅσον τριάκοντα, οἶνον ἄριστον φέρουσα
20 τῶν Ἑλληνικῶν. εἶτα τὸ Πελιναῖον, ὄρος ὑψηλότατον τῶν ἐν τῇ νήσῳ. ἔχει
δ' ἡ νῆσος καὶ λατόμιον μαρμάρου λίθου.

645 **3 sq.** Eust. Il. 267, 6 sq. *Od. 1462, 50 sq. **10–4** Eust. D. P. 322, 29–33. Od. 1462, 32 sq. **16–8** Eust. Od. 1462, 49 **16 sq.** St. B. 703, 22–704, 2 **18 sq.** St. B. 126, 6–8 (sed vide 645, 18 comm.)

35 τίς ⟨τι⟩ Cobet (Misc. 192) **37** ἀλλόννησος C, ἀλόνησος ἐστὶ F εἶτ' pro εἶτα τὸ E Ἄργεννον Casaubonus (duce Xylandro, qui *Argennum* verterat): ἄργε[ ] E, ἄργενον cett. 645 **2** Ποσιδείῳ scripsi (cf. 632, 12 comm.): ποσιδίῳ F, ποσειδίῳ BCE aut ⟨τῷ⟩ ποιοῦντι aut (ut vid.) ποιοῦσα Kallenberg (1912, 180) **3** τῶν om. Eust. Il. **4** ἐστὶν om. Eust. Il. καὶ post εὔθηρον add. Eust. Il. Κυβέλεια Meineke: κυβελία codd. **8** Ἡροφίλειος Korais (*Herophileus* iam vertit Xylander): ἡρόφιλος codd.; Ἡροφίλιος Casaubonus **9** σχολαστὴς F **10** ἐνακοσίων Eust. Od. (ap. Eust. D. P. codd. optimi CDQR ἐννα- habent) **11** ἔχει ⟨ὁμώνυμον καὶ⟩ Groskurd (debebat ⟨ὁμώνυμον⟩) **13** Ποσίδειον scripsi (cf. 632, 12 comm.): ποσίδιον F, ποσείδιον BC **14** λαιους (sic) F; Ἐλαιοῦς Korais, Λαΐνους (i. e. Λαΐνεος) vel Λάϊνος Groskurd, Ἁλιεύς? Müller (1028 ad 551, 7), Ἁλοῦς Bürchner (RE s. v. Λαΐους) **18** τεσσα- Eust. Ἀρ-συσία St. B. (vix e Strabone, vide comm.) **19** τριάκοντα St. B.: τριακοσίων codd. **20** Πελινναῖον Bernhardy (D. P. 671)

wenn jemand denkt insgeheim zu handeln oder zu reden, doch dank der
36 Leute die herumspionieren und es lieben Dinge zu erfahren die sie nichts an-
gehen nicht unbemerkt bleibt.

Nach dem Korykos kommt die kleine Insel Halonnesos, dann Argennon, **33**
645 eine Landspitze des Erythräischen, die sich am meisten dem Posideion der
Chier nähert, das eine Meerenge von etwa sechzig Stadien bildet. Zwischen
4 Erythrai und Hypokremnos liegt der Mimas, ein hohes Gebirge, reich an
Wild und Wäldern, dann ein Dorf Kybeleia und eine Landspitze, Melaina
genannt, mit einem Steinbruch von Mühlsteinen.

Aus Erythrai stammt Sibylla, eine gotterfüllte, prophetische Frau aus al- **34**
ter Zeit; zu Alexanders Zeiten gab es eine andere ebenso prophetische Frau,
8 Athenaïs genannt, aus derselben Stadt; und zu unserer Zeit Herakleides, ei-
nen Herophileischen Arzt, einen Studienkameraden des Apollonios Mys.

Chios misst, wenn man es am Land entlang umschifft, neunhundert Sta- **35**
dien, hat eine Stadt mit gutem Hafen und eine Schiffsstation für achtzig
12 Schiffe. Hält man bei der Umschiffung die Insel zur Rechten, dann kommt
nach der Stadt zuerst das Posideion, dann Phanai, ein tiefer Hafen, sowie
ein Apollontempel und ein Hain von Dattelpalmen; dann Notion, ein
Strand an dem man ankern kann; dann †Laius†, ebenfalls ein Strand an
dem man ankern kann, von wo man über eine Landenge von sechzig Stadien
16 zur Stadt gelangt (die Umschiffung die wir bisher gemacht haben beträgt
dreihundertsechzig); dann die Landspitze Melaina, der gegenüber Psyra
liegt, eine fünfzig Stadien von der Landspitze entfernte hohe Insel mit einer
gleichnamigen Stadt; der Umkreis der Insel beträgt vierzig Stadien. Dann
20 kommt die Ariusia, ein rauhes, hafenloses Gebiet von etwa dreißig Stadien,
das den besten der griechischen Weine produziert; dann Pelinaion, der
höchste Berg der Insel. Die Insel hat auch einen Marmorsteinbruch.

Ἄνδρες δὲ Χῖοι γεγόνασιν ἐλλόγιμοι Ἴων τε ὁ τραγικὸς καὶ Θεόπομπος ὁ συγγραφεὺς καὶ Θεόκριτος ὁ σοφιστής (οὗτοι δὲ καὶ ἀντεπολιτεύ-
24 σαντο ἀλλήλοις). ἀμφισβητοῦσι δὲ καὶ Ὁμήρου Χῖοι, μαρτύριον μέγα τοὺς Ὁμηρίδας καλουμένους ἀπὸ τοῦ ἐκείνου γένους προχειριζόμενοι, ὧν καὶ Πίνδαρος μέμνηται (Nem. 2, 1 sq.)

> ὅθεν περ καὶ Ὁμηρίδαι
> 28 ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοί.

Ἐκέκτηντο δὲ καὶ ναυτικόν ποτε Χῖοι καὶ ἀνθήπτοντο τῆς κατὰ θάλατταν ἀρχῆς καὶ ἐλευθερίας. ἐκ Χίου δ' εἰς Λέσβον νότῳ τετρακόσιοί που στάδιοι.

32 Ἐκ δὲ τοῦ Ὑποκρήμνου Χυτόν ἐστι τόπος, ὅπου πρότερον ἵδρυντο **36** Κλαζομεναί. εἶθ' ἡ νῦν πόλις, νησία ἔχουσα προκείμενα ὀκτὼ γεωργούμενα (Κλαζομένιος δ' ἦν ἀνὴρ ἐπιφανὴς Ἀναξαγόρας ὁ φυσικός, Ἀναξιμένους ὁμιλητὴς τοῦ Μιλησίου· διήκουσαν δὲ τούτου Ἀρχέλαος ὁ φυσικὸς καὶ
36 Εὐριπίδης ὁ ποιητής). εἶθ' ἱερὸν Ἀπόλλωνος καὶ θερμὰ ὕδατα καὶ ὁ Σμυρναίων κόλπος καὶ ἡ πόλις.

646C. Ἑξῆς δὲ ἄλλος κόλπος, ἐν ᾧ ἡ παλαιὰ Σμύρνα ἀπὸ εἴκοσι σταδίων **37** τῆς νῦν. Λυδῶν δὲ κατασπασάντων τὴν Σμύρναν περὶ τετρακόσια ἔτη διετέλεσεν οἰκουμένη κωμηδόν. εἶτα ἀνήγειρεν αὐτὴν Ἀντίγονος καὶ μετὰ
4 ταῦτα Λυσίμαχος, καὶ νῦν ἐστι καλλίστη τῶν πασῶν, μέρος μέν τι ἔχουσα ἐπ' ὄρει τετειχισμένον, τὸ δὲ πλέον ἐν πεδίῳ πρὸς τῷ λιμένι καὶ πρὸς τῷ Μητρῴῳ καὶ πρὸς τῷ γυμνασίῳ. ἔστι δ' ἡ ῥυμοτομία διάφορος, ἐπ' εὐθειῶν εἰς δύναμιν, καὶ αἱ ὁδοὶ λιθόστρωτοι στοαί τε μεγάλαι τετράγωνοι
8 ἐπίπεδοί τε καὶ ὑπερῷοι. ἔστι δὲ καὶ βιβλιοθήκη καὶ τὸ Ὁμήρειον, στοὰ τετράγωνος ἔχουσα νεὼν Ὁμήρου καὶ ξόανον· μεταποιοῦνται γὰρ καὶ οὗτοι διαφερόντως τοῦ ποιητοῦ καὶ δὴ καὶ νόμισμά τι χαλκοῦν παρ' αὐτοῖς Ὁμή-

22 τε om. E **24** μέγα Kramer (3, 680 ad III 113, 10), Meineke (Vind. 221): μετὰ codd. (om. E, Strabonis verba in brevius contrahens, cf. 25); μετ' ἄλλων? Jacoby (FGrHist III B p. 758[1]) **25** καλουμένους om. E **30** ἐς pro εἰς q **32** Ὑποκρήμνου Groskurd: ὑποκρήμου F, ἀποκρήμνου BC Χυτόν Köhler (ad IG II/III[2] 28, 9): χύτριόν codd. ὅπου F: ὃ BC **646 2** τριακόσια? G. M. Lane (Smyrnaeorum res gestae et antiquitates [Diss. Göttingen], Gottingae 1851, 21), J. M. Cook (ABSA 53/4, 1958/9, 31[85]) **6** τῷ post. excidit ap. Kramerum **8** Ὁμήρειον yz, ed. pr.: -ριον BCFq **10 sq.** ὁμήρειον qyz

Namhafte Männer aus Chios waren Ion der Tragiker, Theopompos der Historiker und Theokritos der Sophist (letztere waren auch in der Politik
24 aktiv, wo sie sich bekämpften). Auch Homer nehmen die Chier für sich in Anspruch, wobei sie als wichtiges Zeugnis die nach der Abstammung von ihm benannten Homeriden vorweisen, die auch Pindar erwähnt (Nem. 2, 1 f.):

> Von wo auch die Homeriden,
> 28 Die Sänger genähter Verse, meistens –.

Die Chier haben einst auch eine Flotte besessen und nach der Seeherrschaft und der Freiheit getrachtet. Von Chios nach Lesbos sind es mit Südwind etwa vierhundert Stadien.

32 Nach Hypokremnos kommt die Örtlichkeit Chyton, wo früher Klazomenai lag, **36** dann die heutige Stadt mit acht vorgelagerten kleinen Inseln, die angebaut werden (ein berühmter Klazomenier war der Naturphilosoph Anaxagoras, ein Schüler des Anaximenes aus Milet; seine Hörer waren der Na-
36 turphilosoph Archelaos und der Dichter Euripides); dann kommt ein Apollonheiligtum und heiße Quellen, die Bucht von Smyrna und die Stadt.

646 Anschließend eine weitere Bucht, an der das alte Smyrna liegt, zwanzig **37** Stadien von dem heutigen entfernt. Nachdem die Lyder Smyrna niedergerissen hatten, haben die Smyrnäer rund vierhundert Jahre lang in Dörfern ge-
4 wohnt. Dann haben Antigonos und danach Lysimachos die Stadt wieder aufgebaut, und jetzt ist sie die schönste von allen. Ein Teil liegt ummauert auf einem Berg, das meiste aber im Ebenen bei dem Hafen, bei dem Metroon und bei dem Gymnasion. Das Straßennetz zeichnet sich dadurch aus dass es nach Möglichkeit geradlinig ist, die Straßen sind gepflastert, und es
8 gibt große quadratische Säulenhallen sowohl zu ebener Erde als mit Obergeschoss. Auch eine Bibliothek gibt es und das Homereion, eine quadratische Säulenhalle mit einem Tempel und einem Kultbild Homers; auch sie nämlich erheben ganz besonderen Anspruch auf den Dichter, und eine be-

ϱιον λέγεται. ῥεῖ δὲ πλησίον τοῦ τείχους ὁ Μέλης ποταμός. ἔστι δὲ πρὸς τῇ ἄλλῃ κατασκευῇ τῆς πόλεως καὶ λιμὴν κλειστός. ἓν δ' ἐλάττωμα τῶν ἀρχιτεκτόνων οὐ μικρὸν ὅτι τὰς ὁδοὺς στορεννύντες ὑπορρύσεις οὐκ ἔδωκαν αὐταῖς, ἀλλ' ἐπιπολάζει τὰ σκύβαλα, καὶ μάλιστα ἐν τοῖς ὄμβροις ἐπαφιεμένων τῶν ἀποσκευῶν. ἐνταῦθα Δολοβέλλας Τρεβώνιον ἐκπολιορκήσας ἀνεῖλεν, ἕνα τῶν δολοφονησάντων Καίσαρα τὸν Θεόν, καὶ τῆς πόλεως παρέλυσε πολλὰ μέρη.

38 Μετὰ δὲ Σμύρναν αἱ Λεῦκαι πολίχνιον, ὃ ἀπέστησεν Ἀριστόνικος μετὰ τὴν Ἀττάλου τοῦ Φιλομήτορος τελευτήν, δοκῶν τοῦ γένους εἶναι τοῦ τῶν βασιλέων καὶ διανοούμενος εἰς ἑαυτὸν ποιεῖσθαι τὴν ἀρχήν. ἐντεῦθεν μὲν οὖν ἐξέπεσεν ἡττηθεὶς ναυμαχίᾳ περὶ τὴν Κυμαίαν ὑπὸ Ἐφεσίων, εἰς δὲ τὴν μεσόγαιαν ἀνιὼν ἤθροισε διὰ ταχέων πλῆθος ἀπόρων τε ἀνθρώπων καὶ δούλων ἐπ' ἐλευθερίᾳ κατακεκλημένων, οὓς Ἡλιοπολίτας ἐκάλεσε. πρῶτον μὲν οὖν παρεισέπεσεν εἰς Θυάτειρα, εἶτ' Ἀπολλωνίδα ἔσχεν, εἶτ' ἄλλων ἐφίετο φρουρίων. οὐ πολὺν δὲ διεγένετο χρόνον, ἀλλ' εὐθὺς αἵ τε πόλεις ἔπεμψαν πλῆθος καὶ Νικομήδης ὁ Βιθυνὸς ἐπεκούρησε καὶ οἱ τῶν Καππαδόκων βασιλεῖς. ἔπειτα πρέσβεις Ῥωμαίων πέντε ἧκον καὶ μετὰ ταῦτα στρατιὰ καὶ ὕπατος Πόπλιος Κράσσος καὶ μετὰ ταῦτα Μάρκος Περπέρνας, ὃς καὶ κατέλυσε τὸν πόλεμον ζωγρίᾳ λαβὼν τὸν Ἀριστόνικον καὶ ἀναπέμψας εἰς Ῥώμην. ἐκεῖνος μὲν οὖν ἐν τῷ δεσμωτηρίῳ κατέστρεψε τὸν βίον, Περπέρναν δὲ νόσος διέφθειρε, Κράσσος δὲ περὶ Λεύκας ἐπιθεμένων τινῶν ἔπεσεν ἐν μάχῃ, Μάνιος δ' Ἀκύλλιος ἐπελθὼν ὕπατος μετὰ δέκα πρεσβευτῶν διέταξε τὴν ἐπαρχίαν εἰς τὸ νῦν ἔτι συμμένον τῆς πολιτείας σχῆμα.

647C. Μετὰ δὲ Λεύκας Φώκαια ἐν κόλπῳ· περὶ δὲ ταύτης εἰρήκαμεν ἐν τῷ περὶ Μασσαλίας λόγῳ (179, 10 sqq.). εἶθ' οἱ ὅροι τῶν Ἰώνων καὶ τῶν Αἰολέων· εἴρηται δὲ καὶ περὶ τούτων (582, 2 sq.).

11 *Anon. Urb. 38ᵛ I **26 sq.** Eust. D. P. 385, 13–5

11 sq. verba ἔστι — κλειστός ante 6 ἔστι collocat E **13** στορεννύντες Tzschucke (in codicibus legi affirmat Casaubonus): στορεννῦντες C, στορενῦντες B, στορνήντες F, στρωννύντες E[i], στορνύντες E[s] (coniecit Meineke); στορνῦντες q, στρωννῦντες ed. pr. ὑπορρ- E: ὑπορ- cett. **15** ἀποσκευῶν Casaubonus: παρα- codd. δελοβέλλας F **22** μεσόγαιαν Tzschucke: μεσογαῖαν C, μεσογαίαν B, μεσογέαν F **23** ἐλευθερίαν? **26** πλήθη F **26 sq.** Καππαδόκων B: -δοκων (sic) C, -δοκῶν F **28** στρατιὰ Korais: στρατεία codd. **31** κρᾶσσος F 647 **1** Φώκαια E: φωκέα BC, φωκεα F; Φωκαία Xylander

stimmte Kupfermünze bei ihnen wird Homerion genannt. Nah an der Mauer fließt der Fluss Meles. Zu der übrigen Ausstattung der Stadt kommt auch noch ein abschließbarer Hafen. Nur *einen*, nicht geringen, Fehler haben die Baumeister damit gemacht dass sie die Straßen, als sie sie pflasterten, nicht mit unterirdischen Abflüssen versehen haben: überall liegt Unrat, besonders wenn bei Regengüssen die Abfälle über die Straßen geschwemmt werden. Dort hat Dolabella den Trebonius, einen der Mörder Caesars des Gottes, durch Belagerung zur Kapitulation gezwungen und getötet, und viele Teile der Stadt demontiert.

38 Nach Smyrna kommt das Städtchen Leukai, das nach dem Tode des Attalos Philometor von Aristonikos zum Abfall gebracht wurde, der als Angehöriger des Königsgeschlechts galt und beabsichtigte, die Herrschaft an sich zu bringen. Von dort wurde er freilich vertrieben, nachdem die Ephesier ihn in einer Seeschlacht beim Kymäischen besiegt hatten. Doch er zog ins Binnenland und versammelte dort in kurzer Zeit eine große Menge besitzloser Menschen und zur Freiheit aufgerufener Sklaven, die er Heliopoliten nannte. Erst drang er in Thyateira ein, dann nahm er Apollonis in Besitz und wollte sich dann weiterer Festungen bemächtigen. Aber er behauptete sich nicht lange, sondern sofort schickten nicht nur die Städte eine große Streitmacht sondern kamen auch Nikomedes der Bithyner und die Könige der Kappadoker zu Hilfe. Dann kamen fünf römische Gesandte und danach eine Armee und der Konsul Publius Crassus und danach Marcus Perperna, der auch dem Krieg ein Ende machte, indem er Aristonikos gefangen nahm und nach Rom schickte. Dieser fand sein Ende im Gefängnis, Perperna starb an einer Krankheit und Crassus fiel im Kampf, als er bei Leukai überfallen wurde; doch darauf kam der Konsul Manius Aquillius mit zehn Stabsoffizieren und ordnete die Provinz zu der Verwaltungsform die sie auch heute noch hat.

647 Nach Leukai kommt Phokaia in einer Bucht; über diese Stadt haben wir schon in dem Abschnitt über Massalia (179, 10 ff.) gesprochen. Dann kommt die Grenze zwischen den Ioniern und den Äolern; auch von ihr war bereits die Rede (582, 2 f.).

4 Ἐν δὲ τῇ μεσογαίᾳ τῆς Ἰωνικῆς παραλίας λοιπά ἐστι τὰ περὶ τὴν ὁδὸν τὴν ἐξ Ἐφέσου μέχρι Ἀντιοχείας καὶ τοῦ Μαιάνδρου· ἔστι δὲ καὶ τὰ χωρία ταῦτα Λυδοῖς καὶ Καρσὶν ἐπίμικτα καὶ τοῖς Ἕλλησι.

Πρώτη δ' ἐστὶν ἐξ Ἐφέσου Μαγνησία, πόλις Αἰολίς, λεγομένη δὲ 'ἐπὶ **39**
8 Μαιάνδρῳ'· πλησίον γὰρ αὐτοῦ ἵδρυται, πολὺ δὲ πλησιαίτερον ὁ Ληθαῖος, ἐμβάλλων εἰς τὸν Μαίανδρον, τὴν δ' ἀρχὴν ἔχων ἀπὸ Πακτύου τοῦ τῶν Ἐφεσίων ὄρους (ἕτερος δ' ἐστὶ Ληθαῖος ὁ ἐν Γορτύνῃ καὶ ὁ περὶ Τρίκκην — ἐφ' ᾧ ὁ Ἀσκληπιὸς γεννηθῆναι λέγεται — καὶ ἔτι ⟨ὁ⟩ ἐν τοῖς Ἑσπερίταις
12 Λίβυσι). κεῖται δ' ἐν πεδίῳ πρὸς ὄρει καλουμένῳ Θώρακι ἡ πόλις· ἐφ' ᾧ σταυρωθῆναί φασι Δαφίταν τὸν γραμματικὸν λοιδορήσαντα τοὺς βασιλέας διὰ διστίχου (SH 370. FGE 129 sq.)·

Πορφύρεοι μώλωπες, ἀπορρινήματα γάζης
16 Λυσιμάχου, Λυδῶν ἄρχετε καὶ Φρυγίης.

καὶ λόγιον δ' ἐκπεσεῖν αὐτῷ λέγεται, φυλάττεσθαι τὸν θώρακα.

Δοκοῦσι δ' εἶναι Μάγνητες Δελφῶν ἀπόγονοι τῶν ἐποικησάντων τὰ **40** Δίδυμα ὄρη ἐν Θετταλίᾳ, περὶ ὧν φησιν Ἡσίοδος (fr. 59, 2–4 M.-W.)

20 ἢ οἵη Διδύμους ἱεροὺς ναίουσα κολωνοὺς
Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἄντ' Ἀμύροιο
νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής.

ἐνταῦθα δ' ἦν καὶ τὸ τῆς Δινδυμήνης ἱερόν, Μητρὸς θεῶν· ἱεράσασθαι δ'
24 αὐτοῦ τὴν Θεμιστοκλέους γυναῖκα, οἱ δὲ θυγατέρα παραδιδόασι· νῦν δ' οὐκέτ' ἐστὶ τὸ ἱερὸν διὰ τὸ τὴν πόλιν εἰς ἄλλον μετῳκίσθαι τόπον. ἐν δὲ τῇ νῦν πόλει τὸ τῆς Λευκοφρυήνης ἱερόν ἐστιν Ἀρτέμιδος, ὃ τῷ μὲν μεγέθει τοῦ ναοῦ καὶ τῷ πλήθει τῶν ἀναθημάτων λείπεται τοῦ ἐν Ἐφέσῳ,
28 τῇ δ' εὐρυθμίᾳ καὶ τῇ τέχνῃ τῇ περὶ τὴν κατασκευὴν τοῦ σηκοῦ πολὺ δια-

647 7 sqq. Eust. Il. 338, 1 8–10 *Anon. Urb. 38v I

4 τῇ om. E 9 Πακτύου E (coniecit Xylander): -τίου BCF, Anon. Urb. 10 inde a voce Ληθαῖος rursus adest D (cf. ad 632, 2–647, 10) τρίκην D^{pc} (in marg. sup. leguntur verba Τρίκην Ὅμηρος δι' ἑνὸς συμφώνου γράφει· καὶ δῆλον ἐκ τοῦδε τοῦ ἔπους ⟨Δ 202⟩ 'λαῶν οἵ οἱ ἕποντο Τρίκης ἐξ ἱπποβότοιο', scripta 'haud dubie ab eo, qui alterum κ erasit' [Kramer]) 11 addidi Ἑσπερίδαις? Korais 12 τῷ post ἐν add. F 14 διστίχου FX: στίχου BCD 17 δ' om. C θώρηκα D 18 Αἰολέων pro Δελφῶν? Meineke (Vind. 221 sq.) 20 Κορωνὶς pro κολωνοὺς Meineke (Vind. 161) 21 ἄντ' Ἀμύροιο Xylander: ἀνταμύροιο BD, ανταμυροιο F, ἀντιμύροιο C 23 ἱεράσασθαι D: ἱερᾶσθαι cett. 24 τοῦ post τὴν add. D 25 οὐκέτ' ἐστὶ scripsi: οὐκέτι C, οὐκ ἔστι cett.; οὐκέτ' ἔστι Aly (1, 144* [ubi XIV 1, 40 pro XIV 1, 39 legendum est]) μετῳκεῖσθαι B

4 In dem Hinterland der ionischen Küste ist noch das Gebiet übrig das um die Straße von Ephesos bis nach Antiocheia und zum Mäander liegt. Auch diese Gegenden haben eine aus Karern, Lydern und Griechen gemischte Bevölkerung.

Von Ephesos aus kommt zuerst Magnesia, eine äolische Stadt, genannt **39**
8 'am Mäander'; sie liegt nämlich in seiner Nähe, viel näher aber ist der Lethaios, der in den Mäander mündet und auf dem ephesischen Berg Paktyes entspringt (ein anderer Lethaios ist der in Gortyna und der bei Trikke – an dessen Ufer Asklepios geboren sein soll – und ferner der bei den Hesperiti-
12 schen Libyern). Die Stadt liegt in der Ebene an einem Berg der Thorax ('Panzer') heißt. Auf ihm soll der Philologe Daphitas gekreuzigt worden sein, der die Könige in einem Distichon beschimpft hatte (SH 370. FGE 129 f.):

Purpurne Striemen ihr, von Lysimachos' Schätzen gefeilte
16 Spän', über Lyder nur herrscht und über Phrygiens Land.

Auch habe er ein Orakel bekommen, er solle sich vor dem Panzer hüten.

Die Magneten gelten als Nachkommen der Delpher die die Didymischen **40** Berge in Thessalien besiedelt haben, von denen Hesiod sagt (fr. 59, 2–4 M.-W.)

20 Oder wie die die, bewohnend die heil'gen Didymischen Hügel
In der Dotischen Ebne vor traubenreichem Amyros,
Im Boibeischen See sich den Fuß wusch, die mannlose Jungfrau.

Dort war auch das Heiligtum der Dindymene, der Göttermutter; Priesterin
24 soll dort die Frau des Themistokles gewesen sein, nach Anderen seine Tochter; heute existiert das Heiligtum nicht mehr, weil die Stadt an eine andere Stelle verlegt worden ist. In der heutigen Stadt liegt das Heiligtum der Artemis Leukophryene, das, was die Größe des Tempels und die Menge der
28 Weihgeschenke angeht, dem Heiligtum in Ephesos zwar nachsteht, an Ebenmaß jedoch und künstlerischer Ausstattung der Cella es weit übertrifft

φέρει (καὶ τῷ μεγέθει ⟨δ'⟩ ὑπεραίρει πάντας τοὺς ἐν 'Ασίᾳ πλὴν δυεῖν, τοῦ ἐν 'Εφέσῳ καὶ τοῦ ἐν Διδύμοις). τὸ παλαιὸν δὲ συνέβη τοῖς Μάγνησιν ὑπὸ Τρηρῶν ἄρδην ἀναιρεθῆναι (Κιμμερικοῦ ἔθνους) εὐτυχήσαντας πολὺν
32 χρόνον, τῷ δ' ἑξῆς ἔτει Μιλησίους κατασχεῖν τὸν τόπον. Καλλῖνος μὲν οὖν (fr. 3 West) ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς τοὺς 'Εφεσίους πολέμῳ, 'Αρχίλοχος δὲ (fr. 20 West) ἤδη φαίνεται γνωρίζων τὴν γενομένην αὐτοῖς συμφοράν·

36 κλαίειν τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά

648C. (ἐξ οὗ καὶ τὸ νεώτερον εἶναι τοῦ Καλλίνου τεκμαίρεσθαι πάρεστιν). ἄλλης δέ τινος ἐφόδου τῶν Κιμμερίων μέμνηται πρεσβυτέρας ὁ Καλλῖνος ἐπὰν φῇ (fr. 5 West)

4 νῦν δ' ἐπὶ Κιμμερίων στρατὸς ἔρχεται ὀβριμοεργῶν

(ἐν ᾗ τὴν Σάρδεων ἅλωσιν δηλοῖ).

41 Ἄνδρες δ' ἐγένοντο γνώριμοι Μάγνητες 'Ηγησίας τε ὁ ῥήτωρ, ὃς ἦρξε μάλιστα τοῦ 'Ασιανοῦ λεγομένου ζήλου παραφθείρας τὸ καθεστὼς ἔθος τὸ
8 'Αττικόν, καὶ Σῖμος ὁ μελοποιός, παραφθείρας καὶ αὐτὸς τὴν τῶν προτέρων μελοποιῶν ἀγωγὴν καὶ τὴν Σιμῳδίαν εἰσαγαγών (καθάπερ ἔτι μᾶλλον Λυσιῳδοὶ καὶ Μαγῳδοὶ καὶ Κλεόμαχος ὁ πύκτης, ὃς εἰς ἔρωτα ἐμπεσὼν κιναίδου τινὸς καὶ παιδίσκης ὑπὸ κιναίδῳ τρεφομένης ἀπεμιμήσατο τὴν
12 ἀγωγὴν τῶν παρὰ τοῖς κιναίδοις διαλέκτων καὶ τῆς ἠθοποιίας· ἦρξε δὲ Σωτάδης μὲν πρῶτος τοῦ κιναιδολογεῖν, ἔπειτα 'Αλέξανδρος ὁ Αἰτωλός· ἀλλ' οὗτοι μὲν ἐν ψιλῷ λόγῳ, μετὰ μέλους δὲ Λῦσις καὶ ἔτι πρότερος τούτου ὁ Σῖμος). 'Αναξήνορα δὲ τὸν κιθαρῳδὸν ἐξῆρε μὲν καὶ τὰ θέατρα,
16 ἀλλ' ἐτίμα μάλιστα 'Αντώνιος· ὅς γε καὶ τεττάρων πόλεων ἀπέδειξε φορολόγον στρατιώτας αὐτῷ συστήσας. καὶ ἡ πατρὶς δ' ἱκανῶς αὐτὸν ηὔξησε

648 **12 sq.** Greg. 23[v] marg. **15–26** *Eust. Od. 1612, 36–9

29 add. Korais πάντας ὑπεραίρει D **30** καὶ ante τὸ add. codd.: del. Groskurd **31** εὐτυχήσαντας F: -τος cett. **32** τὸ pro τῷ BD ἔτι D 'Εφεσίους pro Μιλησίους? Korais (Géogr. de Str. IV 2, 309[2]) τὸ δ' ἑξῆς 'Εφεσίους? Kramer, τὸ δ' ἑξῆς τοὺς 'Εφεσίους Meineke (Vind. 222); τὸ δ' ἑξῆς ⟨γ'⟩ ἔτει? Aly (1957, 67 sq.) **33** καὶ om. F **36** κλαίει F κλαίειν ⟨φάσκων⟩ vel κλαίει ⟨γάρ, φησί,⟩ West τὰ Θασίων Tyrwhitt (37): θάσων F[i], θάσσων cett. οὐ F (coniecit Tyrwhitt): οὗ cett. 648 **1** τὸ CD: τὸν BF; αὐτὸν Meineke **4** ὀβριμοεργῶν Korais: ὄβριμος ἔργων CD, ὄμβριμος ἔργων BF; ὀβριμοέργων Tzschucke **7** καθεστὼς E: καθεστηκὸς BC, καθεστικὸς F **8** Σῖμος Tzschucke: σίμων codd. **10** ὃς Casaubonus: ὁ codd. **11** ⟨ἣ⟩ καὶ Madvig (Adv. 1, 561) ὑπὸ ⟨τῷ⟩ Korais **13** τὸ pro τοῦ F ὁ ante 'Αλέξανδρος add. F **15** Σῖμος Tzschucke: σίμος codd. ἐπῆρε? Meineke (3, IV ad 904, 26) τὰ om. F **16** ἐτίμα Madvig (Adv. 1, 34): ἔτι codd.; ὅτι Meineke (ap. Kramerum; Vind. 223 [ubi tamen ἔτι ⟨μᾶλλον⟩ scribere maluit]) ὅς Kramer: ὅν codd.

(und auch an Größe überbietet der Tempel alle anderen in Asien außer zweien: dem in Ephesos und dem in Didyma). In alter Zeit geschah es den Magneten dass sie von den Trerern (einem kimmerischen Volk) ganz und gar vernichtet wurden, nachdem das Glück ihnen lange Zeit günstig gewesen
32 war, und dass im darauffolgenden Jahr die Milesier den Ort besetzten. Kallinos (fr. 3 West) erwähnt die Magneten noch als vom Glück begünstigt und erfolgreich im Krieg gegen die Ephesier, Archilochos dagegen (fr. 20 West) kennt offenbar bereits das Unglück das sie getroffen hatte:

36 Der Thasier, nicht der Magneten, Unglück zu beweinen

648 (woraus man auch schließen kann dass er jünger ist als Kallinos). Kallinos erwähnt noch eine ältere Invasion der Kimmerier wenn er sagt (fr. 5 West)

4 Jetzt aber naht der Kimmerier Heer, die Schreckliches üben

(wo er auf die Eroberung von Sardes deutet).

41 Bekannte Männer aus Magnesia waren der Rhetor Hegesias, der mehr als alle Anderen mit der sogenannten asianischen Manier angefangen hat,
8 indem er die bestehende attische Art und Weise verdarb, und der Liederdichter Simos, der ebenfalls den Stil der früheren Liederdichter verdorben und die Simodie eingeführt hat (wie in noch stärkerem Maße die Lysioden und Magoden und der Boxer Kleomachos, der, als er sich in einen Kinäden verliebt hatte und in ein Mädchen das unter einem Kinäden lebte, den Stil
12 der bei den Kinäden üblichen Ausdrücke und ihrer Selbstdarstellung nachahmte; angefangen hat mit der Kinädologie zuerst Sotades, dann Alexandros der Ätoler; sie aber dichteten in bloßer Rede: mit Gesang tat es Lysis und noch früher als er Simos). Der Kitharode Anaxenor wurde zwar auch
16 von dem Publikum gefeiert, am meisten aber hat ihn Antonius geehrt: hat er ihn doch sogar zum Tributeintreiber von vier Städten ernannt, wozu er ihm Soldaten zuwies. Auch seine Vaterstadt hat ihn sattsam ausgezeichnet indem

πορφύραν ἐνδύσασα ἱερώμενον τοῦ Σωσιπόλιδος Διός, καθάπερ καὶ ἡ γραπτὴ εἰκὼν ἐμφανίζει ἡ ἐν τῇ ἀγορᾷ. ἔστι δὲ καὶ χαλκῆ εἰκὼν ἐν τῷ
20 θεάτρῳ ἐπιγραφὴν ἔχουσα (Hom. ι 3 sq. Preger 191)

ἤτοι μὲν τόδε καλὸν ἀκουέμεν ἐστὶν ἀοιδοῦ
τοιοῦδ' οἷος ὅδ' ἐστί, θεοῖς ἐναλίγκιος αὔδη.

οὐ στοχασάμενος δὲ ὁ ἐπιγράψας τὸ τελευταῖον γράμμα τοῦ δευτέρου
24 ἔπους παρέλιπε, τοῦ πλάτους τῆς βάσεως μὴ συνεξαρκοῦντος, ὥστε τῆς πόλεως ἀμαθίαν καταγινώσκειν παρέσχε διὰ τὴν ἀμφιβολίαν τὴν παρὰ τὴν γραφήν, εἴτε τὴν ὀνομαστικὴν δέχοιτο πτῶσιν τῆς ἐσχάτης προσηγορίας εἴτε τὴν δοτικήν· πολλοὶ γὰρ χωρὶς τοῦ ῑ γράφουσι τὰς δοτικὰς καὶ ἐκ-
28 βάλλουσί γε τὸ ἔθος ⟨ὡς⟩ φυσικὴν αἰτίαν οὐκ ἔχον.

Μετὰ δὲ Μαγνησίαν ἡ ἐπὶ Τράλλεις ἐστὶν ὁδὸς ἐν ἀριστερᾷ μὲν τὴν Μεσωγίδα ἔχουσιν, ἐν αὐτῇ δὲ τῇ ὁδῷ καὶ ἐν δεξιᾷ τὸ Μαιάνδρου πεδίον, Λυδῶν ἅμα καὶ Καρῶν νεμομένων καὶ Ἰώνων (Μιλησίων τε καὶ Μυησίων), 42
32 ἔτι δὲ Αἰολέων τῶν ἐν Μαγνησίᾳ· ὁ δ' αὐτὸς τρόπος τῆς τοποθεσίας καὶ μέχρι Νύσης καὶ Ἀντιοχείας.

Ἵδρυται δ' ἡ μὲν τῶν Τραλλιανῶν πόλις ἐπὶ τραπεζίου τινὸς ἄκραν
649C. ἔχοντος ἐρυμνήν (καὶ τὰ κύκλῳ δ' ἱκανῶς εὐερκῆ). | συνοικεῖται δὲ καλῶς, εἴ τις ἄλλη τῶν κατὰ τὴν Ἀσίαν, ὑπὸ εὐπόρων ἀνθρώπων, καὶ ἀεί τινες ἐξ αὐτῆς εἰσιν οἱ πρωτεύοντες κατὰ τὴν ἐπαρχίαν, οὓς Ἀσιάρχας καλοῦσιν.
4 ὧν Πυθόδωρός τε ἦν, ἀνὴρ Νυσαεὺς τὸ ἐξ ἀρχῆς, ἐκεῖσε δὲ μεταβεβηκὼς διὰ τὴν ἐπιφάνειαν καὶ ἐν τῇ πρὸς Πομπήϊον φιλίᾳ διαπρέπων μετ' ὀλίγων· περιεβέβλητο δὲ καὶ οὐσίαν βασιλικὴν πλειόνων ἢ δισχιλίων ταλάντων, ἣν ὑπὸ Καίσαρος τοῦ Θεοῦ πραθεῖσαν διὰ τὴν πρὸς Πομπήϊον φιλίαν ἐξω-
8 νησάμενος οὐχ ἧττω τοῖς παισὶ κατέλιπε· τούτου δ' ἐστὶ θυγάτηρ Πυθοδωρίς, ἡ νῦν βασιλεύουσα ἐν τῷ Πόντῳ, περὶ ἧς εἰρήκαμεν (555, 31 sqq. al.). οὗτός ⟨τε⟩ δὴ καθ' ἡμᾶς ἤκμασε καὶ Μηνόδωρος, ἀνὴρ λόγιος καὶ

18 ἱερώμενον Groskurd (perperam Koraio attribuens): ἱερωμένον codd.; ἱερωμένην iqz 19 ἡ D: om. cett. 19 sq. ἐν τῷ θεάτρῳ om. D 22 αὔδη (sic) X: -ήν D[ac] (ut vid.) E, -ῇ cett., Eust. 25 περὶ pro παρὰ Kramer 27 τοῦ ἰῶτα D 27 sq. {καὶ} ἐκβάλλουσί τε vel (id quod coniecit etiam Meineke, Vind. 223) καὶ ἐκβάλλουσι δὲ Korais 28 add. Korais 30 τὸ ed. pr.: τοῦ codd. 31 Μυουσίων Xylander 32 τῆς xyz: καὶ τῆς BCD, καὶ F 33 νύσσης D 649 2 τὴν om. F 4 Νυσαεὺς F: νυσσα- BD, νησα- C 10 add. Casaubonus

sie ihn als Priester des Zeus Sosipolis mit dem Purpurgewand bekleidete, wie auch sein gemaltes Bild auf dem Marktplatz erkennen lässt. Es gibt auch
20 ein Bronzestandbild in dem Theater mit der Inschrift (Hom. Od. 9, 3 f. Preger 191)

Wahrlich, es ist etwas Schönes gewiss, einem Sänger zu lauschen
So wie dieser hier ist, den Göttern an Stimme vergleichbar.

Der Einmeissler hat jedoch den Raum nicht gut eingeschätzt und dadurch
24 den letzten Buchstaben des zweiten Verses weggelassen, da die Breite des Sockels nicht ausreichte. Somit hat er Anlass gegeben, die Stadt der Unwissenheit zu bezichtigen wegen der durch die Schreibung entstandenen Zweideutigkeit, ob sie das letzte Appellativum als Nominativ auffasse oder als
28 Dativ: Viele nämlich schreiben die Dative ohne das i und verwerfen den hergebrachten Brauch, da er keinen natürlichen Grund habe.

Nach Magnesia kommt die Straße nach Tralleis, wo man zur Linken die Mesogis und auf der Straße selber und zur Rechten die Mäanderebene hat, 42
32 die von Lydern, Karern und Ioniern (Milesiern und Myesiern) sowie von den Äolern in Magnesia bewohnt wird; die gleiche Art der Lage gilt auch bis Nysa und Antiocheia.

Die Stadt der Trallianer liegt auf einer Art Trapez mit einer naturfesten
649 Spitze (auch die Umgebung ist recht gut befestigt). Sie ist, wie nur je eine in Asien, wohlbewohnt von wohlhabenden Menschen, und immer sind Leute aus ihr die höchsten Würdenträger der Provinz, die man Asiarchen nennt.
4 Zu ihnen gehörte erstens Pythodoros, ein Mann der ursprünglich aus Nysa stammte, aber wegen des Ansehens der Stadt dorthin umgesiedelt war, und sich ganz besonders durch seine Freundschaft mit Pompeius auszeichnete; er war auch im Besitz eines königlichen Vermögens von mehr als zweitausend Talenten, das er, als es wegen seiner Freundschaft mit Pompeius von
8 Caesar dem Gott verkauft worden war, wieder zurückgekauft und ungeschmälert seinen Kindern hinterlassen hat; seine Tochter ist Pythodoris, die heutige Königin von Pontos, von der wir gesprochen haben (555, 31 ff. und sonst). Er also stand zu unserer Zeit im Zenit seines Lebens, und ebenso

ἄλλως σεμνὸς καὶ βαρύς, ἔχων τὴν ἱερωσύνην τοῦ Διὸς τοῦ Λαρισίου·
12 κατεστασιάσθη δ' ὑπὸ τῶν Δομετίου τοῦ Ἀηνοβάρβου φίλων, καὶ ἀνεῖλεν
αὐτὸν ἐκεῖνος ὡς ἀφιστάντα τὸ ναυτικὸν πιστεύσας τοῖς ἐνδειξαμένοις.
ἐγένοντο δὲ καὶ ῥήτορες ἐπιφανεῖς Διονυσοκλῆς τε καὶ μετὰ ταῦτα Δαμᾶς
ὁ Σκόμβρος. κτίσμα δέ φασιν εἶναι τὰς Τράλλεις Ἀργείων καί τινων Θρα-
16 κῶν Τραλλίων (ἀφ' ὧν τοὔνομα). τυραννηθῆναι δ' ὀλίγον συνέπεσε χρόνον
τὴν πόλιν ὑπὸ τῶν Κρατίππου παίδων κατὰ τὰ Μιθριδατικά.

Νῦσα δ' ἵδρυται πρὸς τῇ Μεσωγίδι, τὸ πλέον τῷ ὄρει προσανακεκλι- 43
μένη. ἔστι δ' ὥσπερ δίπολις· διαρρεῖ γὰρ αὐτὴν χαράδρα τις ποιοῦσα φά-
20 ραγγα, ἧς τὸ μὲν γέφυραν ἐπικειμένην ἔχει συνάπτουσαν τὰς δύο πόλεις,
τὸ δ' ἀμφιθεάτρῳ κεκόσμηται κρυπτὴν ἔχοντι τὴν ὑπόρρυσιν τῶν χαραδρω-
δῶν ὑδάτων. τῷ δὲ θεάτρῳ * * δύο ἄκραι, ὧν τῇ μὲν ὑπόκειται τὸ γυμ-
νάσιον τῶν νέων, τῇ δ' ⟨ἡ⟩ ἀγορὰ καὶ τὸ γεροντικόν. πρὸς δὲ νότον ὑπο-
24 πέπτωκε τῇ πόλει τὸ πεδίον, καθάπερ καὶ ταῖς Τράλλεσιν.

Ἐν δὲ τῇ ὁδῷ τῇ μεταξὺ τῶν Τράλλεων καὶ τῆς Νύσης κώμη τῶν Νυ- 44
σαέων ἐστὶν οὐκ ἄπωθεν τῆς πόλεως Ἀχάρακα, ἐν ᾗ τὸ Πλουτώνιον, ἔχον
καὶ ἄλσος πολυτελὲς καὶ νεὼν Πλούτωνός τε καὶ Κόρης καὶ τὸ Χαρώνιον,
28 ἄντρον ὑπερκείμενον τοῦ ἄλσους θαυμαστὸν τῇ φύσει. λέγουσι γὰρ δὴ καὶ
τοὺς νοσώδεις καὶ προσέχοντας ταῖς τῶν θεῶν τούτων θεραπείαις φοιτᾶν
ἐκεῖσε καὶ διαιτᾶσθαι ἐν τῇ κώμῃ πλησίον τοῦ ἄντρου παρὰ τοῖς ἐμπεί-
ροις τῶν ἱερέων, οἳ ἐγκοιμῶνταί τε ὑπὲρ αὐτῶν καὶ διατάττουσιν ἐκ τῶν
32 ὀνείρων τὰς θεραπείας. οὗτοι δ' εἰσὶ καὶ οἱ ἐπικαλοῦντες τὴν τῶν θεῶν
ἰατρείαν, ἄγουσι δὲ πολλάκις εἰς τὸ ἄντρον καὶ ἱδρύουσι μένοντας καθ'

25–650, 4 *Eust. D. P. 405, 19–23

11 Λαρισίου scripsi duce Kramer: λαρισαίου BCD^{ac}, λαρισσαίου D^{pc}F 12 δομιτίου F Ἀηνο- F: ἀνο- cett. 13 ἐνδείξασιν Cobet ms. 14 Δαμᾶς scripsi: δάμασος codd.; Δάμας Brzoska (RE s.v. Damas 2034, 62 sq.) 16 Τραλλίων EF: om. BCD 17 κρατίσκου D 18 νύσσα DE Μεσωγίδι CD^{ac}: μεσο- cett. 19 διαρρεῖ scripsi: διαιρεῖ codd. 22 lacunam esse statuit Groskurd, ipse πρόσκεινται excidisse coniciens; ἐπὶ (vel πρὸς) δὲ τῷ θεάτρῳ? Kramer, ⟨ὑπέρκεινται⟩? 23 addidi 25 νύσσης DE 25 sq. νυσσαέων E, Eust. 26 ἄποθεν F Ἀχάρακα om. E^{t}, τὰ ἀχάρακα E^{mg} πλουτώνειον E^{s} 27 Κόρης C (coniecit Spanhemius teste v. Almeloveen): ἥρης BD^{ac} (ut vid.) F, ἥρας D^{pc}; Κώρας J. Vaillant (Numismata imperatorum et Caesarum .... Ed. altera, Amstelaedami 1700, 211) χαρώνειον Eust. 28 δὴ om. D καὶ suspectum habuit Korais (aut hoc aut δὴ delendum esse ratus), del. Meineke 32 ἐπικαλοῦντες Kramer (duce Korais): ἐγκαλοῦντες codd.; ἐκκαλοῦντες, ἐμπολοῦντες, ἀγγέλλοντες? Korais 33 μένοντας Tyrwhitt (38): -τες codd.

Menodoros, ein gelehrter und überhaupt würdevoller und strenger Mann,
12 der das Priesteramt des Larisischen Zeus innehatte; er wurde zu Fall ge-
bracht von den Freunden des Domitius Aenobarbus, und dieser ließ ihn hin-
richten, da er den Denunzianten glaubte, er habe versucht die Flotte abtrün-
nig zu machen. Es sind dort auch berühmte Redner geboren: Dionysokles
und danach Damas die Makrele. Tralleis soll eine Gründung der Argiver
16 und eines thrakischen Stammes, der Trallier, sein (daher der Name). Die
Stadt hat während des Mithridatischen Krieges kurze Zeit unter der Tyran-
nenherrschaft der Söhne des Kratippos gestanden.

Nysa liegt an der Mesogis, größtenteils gegen das Gebirge gelehnt. Es ist 43
gleichsam eine Doppelstadt: durch sie hindurch fliesst nämlich ein Gieß-
20 bach, der eine Schlucht bildet, über deren einem Teil eine Brücke liegt, die
die zwei Städte miteinander verbindet, während der andere mit einem Am-
phitheater geschmückt ist, das einen verborgenen unterirdischen Abfluss für
die Gießbachwasser hat. * * dem Theater zwei Gipfel: unter dem einen liegt
24 das Gymnasion der Jungen, unter dem anderen der Marktplatz und das Se-
natsgebäude. Gegen Süden liegt unterhalb der Stadt die Ebene, ebenso wie
bei Tralleis.

An der Straße zwischen Tralleis und Nysa liegt nicht weit von der Stadt 44
ein Dorf der Nysäer, Acharaka, wo das Plutonheiligtum ist mit einem reich
ausgestatteten Hain, einem Tempel Plutons und der Kore und dem Charo-
28 nion, einer oberhalb des Hains gelegenen Grotte, die erstaunliche Eigen-
schaften besitzt. Sagt man doch dass auch die Kranken, die sich der Heilung
durch diese Götter hingeben, dorthin kommen und in dem Dorf in der Nä-
he der Grotte bei den darin erfahrenen Priestern logieren, die sich für sie in
32 der Grotte schlafen legen und aufgrund ihrer Träume die Behandlung ver-
ordnen. Sie sind es auch die die Heilung durch die Götter herbeirufen; sie
bringen sie oft zu der Grotte und lassen sie dort, wo sie dann ruhig, wie ein

650C. ἡσυχίαν ἐκεῖ, καθάπερ | ἐν φωλεῷ, σιτίων χωρὶς ἐπὶ πλείους ἡμέρας. ἔστι
δ' ὅτε καὶ ἰδίοις ἐνυπνίοις οἱ νοσηλευόμενοι προσέχουσι, μυσταγωγοῖς δ'
ὅμως καὶ συμβούλοις ἐκείνοις χρῶνται, ὡς ἂν ἱερεῦσι· τοῖς δ' ἄλλοις
4 ἄδυτός ἐστιν ὁ τόπος καὶ ὀλέθριος. πανήγυρις δ' ἐν τοῖς Ἀχαράκοις συν-
τελεῖται κατ' ἔτος, καὶ τότε μάλιστα ὁρᾶν ἔστι καὶ ἀκούειν περὶ τῶν
τοιούτων τοὺς πανηγυρίζοντας· τότε δὲ καὶ περὶ τὴν μεσημβρίαν ὑπολα-
βόντες ταῦρον οἱ ἐκ τοῦ γυμνασίου νέοι καὶ ἔφηβοι γυμνοὶ λίπ' ἀληλιμ-
8 μένοι μετὰ σπουδῆς ἀνακομίζουσιν εἰς τὸ ἄντρον· ἀφεθεὶς δὲ μικρὸν προ-
ελθὼν πίπτει καὶ ἔκπνους γίνεται.

Ἀπὸ δὲ τριάκοντα σταδίων τῆς Νύσης ὑπερβᾶσι †Τμῶλον τὸ ὄρος τὴν 45
Μεσωγίδα ἐπὶ τὰ πρὸς τὸν νότον μέρη† καλεῖται τόπος Λειμών, εἰς ὃν
12 ἐξοδεύουσι πανηγυριοῦντες Νυσαεῖς τε καὶ οἱ κύκλῳ πάντες· οὐ πόρρω δὲ
τούτου στόμιόν ἐστιν ἱερὸν τῶν αὐτῶν θεῶν, ὅ φασι καθήκειν μέχρι τῶν
Ἀχαράκων. τοῦτον δὲ τὸν λειμῶνα ὀνομάζειν τὸν ποιητήν φασιν ὅταν φῇ
(B 461) 'Ἀσίῳ ἐν λειμῶνι', δεικνύντες Καϋστρίου καὶ Ἀσίου τινὸς ἡρῷον
16 καὶ τὸν Κάϋστρον πλησίον ἀπορρέοντα.

Ἱστοροῦσι δὲ τρεῖς ἀδελφούς, Ἄθυμβρόν τε καὶ Ἀθύμβραδον καὶ Ὕδρη- 46
λον, ἐλθόντας ἐκ Λακεδαίμονος τὰς ἐπωνύμους ἑαυτῶν κτίσαι πόλεις,
λιπανδρῆσαι δ' ὕστερον, ἐξ ἐκείνων δὲ συνοικισθῆναι τὴν Νῦσαν· καὶ νῦν
20 Ἄθυμβρον ἀρχηγέτην νομίζουσιν οἱ Νυσαεῖς.

10–6 Eust. Il. 254, 19–23

6 τοιούτων yz: τοσούτων BCDF; νοσούντων Korais δὴ pro δὲ F **7 sq.** λίπ' ἀληλιμ-μένοι Meineke (Vind. 223; λίπα ἀληλιμμένοι iam ap. Kramer): ἀπαληλιμμένοι F^{pc} (def. L. Deubner, De incubatione capita quattuor, Lipsiae 1900, $21^1/22^0$), ἀπαληλειμμένοι cett. **9** προπίπτει D **10** ⟨ἑκατὸν⟩ τριάκοντα Müller (1029 ad 555, 12) νύσσης DE, Eust. **10 sq.** υ[περβασιν] το ορος [c.7]ν μεσωγι[P καὶ ante τὴν add. E, Eust. μεσογίδα D^{pc}E, Eust. πρὸς νότον Eust. (om. ἐπὶ τὰ), πρὸς νῶτον E ὑπερ-βᾶσι ὅλον τὸ ὄρος τὴν M. ἐπὶ τὰ πρὸς Ἰτοανάτων (pot. qu. πρὸς ἄρκτον vel περὶ Κάϋσ-τρον) μέρη Palmerius (347), ὑπερβᾶσι τὴν M. ἐπὶ τὰ πρὸς τὸν νότον μέρη Τμώλου τοῦ ὄρους Groskurd, ὑπερβᾶσι κατὰ Τμῶλον τὸ ὄρος τὴν M. ἐπὶ τὰ πρὸς νότον μέρη Meineke (Vind. 223), ὑπερβᾶσι τὴν M. ἐπὶ τὰ πρὸς τὸν Κάϋστρον μέρη Kayser (273), ὑπερβᾶσιν ὅλον τὸ ὄρος τῆς Μεσωγίδος ἐπὶ Καΰστρου τὰ πρὸς νότον μέρη Müller (1029 ad 555, 13; 'Fortasse verba τῆς Μεσωγίδος omittenda erant, adeo ut τὴν Μεσωγίδα … glossa sint ad verbum τὸ ὄρος' coll. infra 22 sq.), ὑπερβᾶσι τὸ ὄρος κατὰ τὴν M. ἐπὶ τὰ πρὸς τὸν νότον μέρη Aly (1957, 66 sq.), ὑπερβᾶσι τὸ ὄρος τὴν M. ἐπὶ τὰ πρὸς τὸν Τμῶλον μέρη? Holwer-da; solo additamento ⟨καὶ⟩ post Τμῶλον opus esse censuit Jones **12** Νυσαεῖς hx^iy, Xylander: νυσσαεῖς D, νυσιεῖς F, νησιεῖς BC **15** Καΰστρου E, Eust. ἡρῷον EF, Eust.: ἡρώων BCD **17** καὶ post δὲ add. D **18** τρεῖς pro τὰς Korais, {τὰς}? αὐτῶν Meineke (Vind. 224) **19** λιπανδρῆσαι Cobet ms. (cf. 364, 36 comm.): λειπ- codd. νύσσαν D **20** νυσσαεῖς D

650 Tier in seinem Lager, mehrere Tage lang ohne Essen bleiben. Manchmal las-
sen die Patienten sich auch von ihren eigenen Träumen lenken, gebrauchen
dann aber trotzdem jene als Einweiher in die Geheimnisse und Berater, da
4 sie Priester sind; für die Anderen ist der Ort unzugänglich und tödlich. All-
jährlich wird in Acharaka ein Fest veranstaltet, und dann vor allem können
die Festteilnehmer dergleichen sehen und davon hören; dann auch nehmen
um die Mittagszeit die Jungen und Epheben aus dem Gymnasion, nackt und
8 mit Öl gesalbt, einen Stier auf die Schultern und bringen ihn im Laufschritt
hinauf zu der Grotte; dort lassen sie ihn los, er geht etwas weiter hinein,
fällt zu Boden und haucht sein Leben aus.

Dreißig Stadien von Nysa, wenn man über † das Tmolosgebirge die Me- 45
sogis nach den südlichen Gegenden hin † gestiegen ist, liegt ein Ort, Leimon
12 ('Wiese') genannt, wohin die Nysäer und alle Umwohnenden ausziehen um
ein Fest zu begehen; nicht weit davon ist eine denselben Göttern geweihte
Erdöffnung, die bis nach Acharaka reichen soll. Diese Wiese, behauptet
man, nenne der Dichter wenn er sagt (Il. 2, 461) 'auf der Asischen Wiese',
wobei man auf das Heroengrab eines Kaystrios und Asios hinweist und dar-
16 auf dass der Kaystros in der Nähe fließt.

Man erzählt, drei Brüder, Athymbros, Athymbrados und Hydrelos, seien 46
aus Sparta gekommen und hätten die nach ihnen genannten Städte gegrün-
det; als diese später Einwohnermangel bekamen, sei aus ihnen durch Zu-
20 sammenlegung Nysa gebildet worden; und so betrachten heute die Nysäer
Athymbros als ihren Ahnherren.

Περίκεινται δὲ ἀξιόλογοι κατοικίαι, πέραν τοῦ Μαιάνδρου Κοσκίνια καὶ 47 Ὀρθωσία, ἐντὸς δὲ Βρίουλα, Μάσταυρα, Ἀχάρακα καὶ ὑπὲρ τῆς πόλεως ἐν τῷ ὄρει τὰ Ἄρομα, ὅθεν ἄριστος Μεσωγίτης οἶνος ὁ Ἀρομεύς.

24 Ἄνδρες δὲ γεγόνασιν ἔνδοξοι Νυσαεῖς Ἀπολλώνιός τε ὁ Στωϊκὸς φι- 48 λόσοφος, τῶν Παναιτίου γνωρίμων ἄριστος, καὶ Μενεκράτης, Ἀριστάρχου μαθητής, καὶ Ἀριστόδημος ἐκείνου υἱός, οὗ διηκούσαμεν ἡμεῖς ἐσχατόγηρω νέοι παντελῶς ἐν τῇ Νύσῃ· καὶ Σώστρατος δέ, ὁ ἀδελφὸς τοῦ Ἀριστο- 28 δήμου, καὶ ἄλλος Ἀριστόδημος ἀνεψιὸς αὐτοῦ, ὁ παιδεύσας Μάγνον Πομπήϊον ἀξιόλογοι γεγόνασι γραμματικοί· ὁ δ' ἡμέτερος καὶ ἐρρητόρευε καὶ ἐν τῇ Ῥόδῳ καὶ ἐν τῇ πατρίδι δύο σχολὰς συνεῖχε, πρωῒ μὲν τὴν ῥητορικήν, δείλης δὲ τὴν γραμματικήν· ἐν δὲ τῇ Ῥώμῃ τῶν Μάγνου παίδων ἐπι- 32 στατῶν ἠρκεῖτο τῇ γραμματικῇ σχολῇ.

Τὰ δὲ πέραν ἤδη τοῦ Μαιάνδρου — τὰ λειπόμενα τῆς περιοδείας — 1 2 651C. πάντ' ἐστὶ Καρικά, οὐκέτι τοῖς Λυδοῖς | ἐπιμεμιγμένων ἐνταῦθα τῶν Καρῶν, ἀλλ' ἤδη καθ' αὑτοὺς ὄντων, πλὴν εἴ τι Μιλήσιοι καὶ Μυούσιοι τῆς παραλίας ἀποτέτμηνται. ἀρχὴ μὲν οὖν τῆς Καρίας ἐστὶν ἡ τῶν Ῥοδίων περαία 4 πρὸς θαλάττης, τέλος δὲ τὸ Ποσίδειον τῶν Μιλησίων· ἐν δὲ τῇ μεσογαίᾳ τὰ ἄκρα τοῦ Ταύρου μέχρι Μαιάνδρου (λέγουσι γὰρ ἀρχὴν εἶναι τοῦ Ταύρου τὰ ὑπερκείμενα ὄρη τῶν Χελιδονίων καλουμένων νήσων, αἵπερ ἐν μεθορίῳ τῆς Παμφυλίας καὶ τῆς Λυκίας πρόκεινται· ἐντεῦθεν γὰρ ἐξαίρεται πρὸς 8 ὕψος ὁ Ταῦρος. τὸ δ' ἀληθὲς καὶ τὴν Λυκίαν ἅπασαν ὀρεινὴ ῥάχις τοῦ Ταύρου διείργει πρὸς τὰ ἐκτὸς καὶ τὸ νότιον μέρος ἀπὸ τῶν Κιβυρατικῶν μέχρι τῆς περαίας τῶν Ῥοδίων, κἀνταῦθα δ' ἐστὶ συνεχὴς ὀρεινή, πολὺ

23 St. B. 129, 16 sq. 448, 6 sq. 651 **5–10** *Eust. D. P. 312, 1–3

21 πέραν ⟨μὲν⟩? Κοσκίνια Casaubonus: κοσκινία codd. **22** Βρίουλα Tzschucke: βοιούλα BCD, βοιοῦλα F, om. E **23** Ἄρομα Korais: ἀρόματα D^{s}E, ἀρώματα cett. συστέλλοντες τὸ ρω γράμμα (συστέλλεται δὲ τὸ ρο γράμμα E) post Ἄρομα add. codd.: del. Meineke (duce Kramer); συστελλόντων τὸ ρω γράμμα Korais μεσογείτις (ι supra ει scripto) E^{pc}, μεσογεῖτις E^{ac}, μεσογείτης St. B. 129, μεσ(σ)ωγίτης St. B. 448 QPNVAld ὁ Ἀρομεύς q: σαρωμεύς BCDF (om. E), ὁ ἀρωμεύς St. B. 448; ἀρωμεύς St. B. 129, y, ἀρομεύς xz **24** Νυσαεῖς $qx^{i}z^{t}$, Xylander: νυσσαεῖς D, νυσαιεῖς cett.; νισαεῖς ed. pr. **29** ἐρρητόρευε $C^{pc}D^{pc}$: ἐρη- cett. **31** σχολήν post γραμματικήν add. codd.: del. v. Herwerden (450) **32** {σχολῇ} v. Herwerden (450) **33** πέρα F περιοδίας DF 651 **2** Μυούσιοι D: μύουσι οἳ F, μυούσιοι οἳ BC; Μυήσιοι tacite Müller (cf. 648, 31 comm.) **3** Καρίας P (coniecit Kramer): παραλίας cett. **4** Ποσίδειον scripsi (vide 632, 12 comm.): -σίδιον F, -σείδιον cett. τὸ pro τῶν? **6** καλουμένων om. B **7** γὰρ om. F

In der Umgebung liegen ansehnliche Siedlungen: jenseits des Mäander 47 Koskinia und Orthosia, diesseits Briula, Mastaura, Acharaka und oberhalb der Stadt in den Bergen Aroma, woher der beste Mesogitische Wein, der Aromer, kommt.

24 Berühmte Männer aus Nysa waren Apollonios, der stoische Philosoph, 48 der beste unter den Schülern des Panaitios, und Menekrates, ein Schüler Aristarchs, sowie Aristodemos, sein Sohn, den wir ganz jung als hochbetagten Greis in Nysa gehört haben. Auch Sostratos, der Bruder des Aristode- 28 mos, und ein weiterer Aristodemos — sein Vetter, der Lehrer des Pompeius Magnus — waren bedeutende Philologen; der unsere war auch Rhetor und hielt in Rhodos und in seiner Heimat zwei Lehrveranstaltungen: morgens die rhetorische und nachmittags die philologische; als er in Rom Magnus' 32 Söhne unterrichtete, hat er sich auf die philologische beschränkt.

Das Gebiet schließlich jenseits des Mäander — der Rest unseres Rund- 1 2 651 ganges — ist ganz und gar karisch, da die Karer hier nicht mehr mit den Lydern vermischt sondern nunmehr für sich sind, außer wo die Milesier und die Myusier ein Stück von der Küste an sich gebracht haben. Der Anfang 4 von Karien wird an der Meeresseite von der Peraia der Rhodier gebildet, das Ende von dem Posideion der Milesier, im Binnenland von den Ausläufern des Tauros bis zum Mäander (man sagt nämlich, den Anfang des Tauros bildeten die Berge über den sogenannten Chelidonischen Inseln, die bei der Grenze zwischen Pamphylien und Lykien vor der Küste liegen: dort 8 nämlich fängt der Tauros an, sich hoch zu erheben. In Wirklichkeit aber wird auch ganz Lykien von einem Bergrücken des Tauros gegen das jenseits im Süden Liegende abgegrenzt, vom Kibyratischen bis zur Peraia der Rhodier, und gibt es auch hier ein zusammenhängendes Bergland, das allerdings

μέντοι ταπεινοτέρα, καὶ οὐκέτι τοῦ Ταύρου νομίζεται — οὐδὲ τὰ μὲν ἐκτὸς
12 αὐτοῦ, τὰ δ' ἐντός — διὰ τὸ σποράδας εἶναι τὰς ἐξοχὰς καὶ τὰς εἰσοχὰς
ἐπίσης ⟨εἴς⟩ τε πλάτος καὶ μῆκος τῆς χώρας ἁπάσης καὶ μηδὲν ἔχειν
ὅμοιον διατειχίσματι). ἔστι δ' ἅπας μὲν ὁ περίπλους κατακολπίζοντι στα-
δίων τετρακισχιλίων ἐννακοσίων, αὐτὸς δ' ὁ τῆς περαίας τῶν Ῥοδίων
16 ἐγγὺς χιλίων καὶ πεντακοσίων.

Ἀρχὴ δὲ τὰ Δαίδαλα, τῆς Ῥοδίας χωρίον, πέρας δὲ τὸ καλούμενον **2**
ὄρος Φοῖνιξ, καὶ τοῦτο τῆς Ῥοδίας (πρόκειται δ' Ἐλαιοῦσσα νῆσος δι-
έχουσα τῆς Ῥόδου σταδίους ἑκατὸν εἴκοσι). μεταξὺ δὲ πρῶτον μὲν ἀπὸ
20 Δαιδάλων πλέουσιν ἐπὶ τὴν δύσιν ἐπ' εὐθείας τῇ ἐκ Κιλικίας καὶ Παμφυ-
λίας καὶ Λυκίας παραλίᾳ κόλπος ἐστὶν εὐλίμενος, Γλαῦκος καλούμενος,
εἶτα τὸ Ἀρτεμίσιον, ἄκρα καὶ ἱερόν, εἶτα τὸ Λητῷον ἄλσος (ὑπὲρ αὐτοῦ
δὲ καὶ τῆς θαλάττης ἐν ἑξήκοντα σταδίοις Κάλυνδα πόλις), εἶτα Καῦνος
24 καὶ ποταμὸς πλησίον Κάλβις βαθύς, ἔχων εἰσαγωγήν, καὶ μεταξὺ Πίσιλις.

Ἔχει δ' ἡ πόλις νεώρια καὶ λιμένα κλειστόν· ὑπέρκειται δὲ τῆς πό- **3**
λεως ἐν ὕψει φρούριον Ἴμβρος. τῆς δὲ χώρας εὐδαίμονος οὔσης ἡ πόλις
τοῦ θέρους ὁμολογεῖται παρὰ πάντων εἶναι δυσάερος καὶ τοῦ μετοπώρου
28 διά τε τὰ καύματα καὶ τὴν ἀφθονίαν τῶν ὡραίων· καὶ δὴ καὶ τὰ τοιαῦτα
διηγημάτια θρυλεῖται ὅτι Στρατόνικος ὁ κιθαριστὴς ἰδὼν κομιδῇ χλωροὺς
τοὺς Καυνίους τοῦτ' εἶναι ἔφη τὸ τοῦ ποιητοῦ (Hom. Z 146)

οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν·

17 St. B. 216, 8 **26–33** *Eust. D. P. 321, 34–42 **26–31** *St. B. 370, 3–5 **29–31** *Eust. Il. 630, 4–6. *Gnomol. Vat. 345

13 ⟨εἴς⟩ τε Kramer; κατὰ Korais πλάτους καὶ μήκους E[ac] **14** παράπλους Cobet (Misc. 192) **15** τρισχιλίων? Müller (1030 ad 556, 13) (duce Kramer, qui in E ͵γ scriptum esse falso suspicatus erat) ἐνα- Meineke **16** {χιλίων καὶ} (aut χιλίων ἢ ἐνακοσίων) Müller (1030 ad 556, 15) **18** Φοῖνιξ BCF: φοί- DE δ' Ἐλαιοῦσσα Tzschucke: δὲ ἐλεοῦσσα E, δὲ λέουσσα BDF, δὲ λέουσα C; δ' Ἐλαιοῦσα Cobet ms. **19** πρῶτα C τοῖς ante ἀπὸ add. E **21** τόπος pro κόλπος D **23** Κάλυνδα Casaubonus: κάλυμνα codd. **24** κάλβυς F καὶ post. om. D πίσιλος F **27** δυσάερος ⟨καὶ νοσώδης⟩ Casaubonus μετοπώρου ⟨ ⟩ Meineke (νοσερὰ suppl. Müller 1030 ad 556, 30) **28** διά τε τὰ E (coniecit Korais, Traité d'Hippocrate des Airs, des Eaux et des Lieux 2, Paris 1800, 208): διά τε BCDF, διὰ τὰ Eust. **29** θρυλλεῖται BC κιθαρῳδὸς X, St. B. RQ, Eust. D. P. κομιδῇ Charitonidis (Platon 2, 1950, 2, 89): ἐπιμελῶς BCDF, St. B., om. X, Eust., Gnomol. Vat.; ἐπιεικῶς dubitanter Tzschukke, confidenter Cobet ms., ἐπιμελάνως Korais, ἐκπάγλως Groskurd, ὑπομέλανας καὶ? Kramer, ἐπιπολῆς Müller (1030 ad 556, 33), ἐπιδήλως Vogel (1880, 343), ἠπιάλῳ v. Herwerden (450) **30** τὸ om. X **31** τοίη δὲ BX, St. B. Q (V, ut vid.) PN Ald, Eust. D. P. D[ac], Gnomol. Vat.: τοιήδε CDF, St. B. R, Eust. D. P. BD[pc]R, τοίηδε Eust. Il., Eust. D. P. CQ

viel niedriger ist und nicht mehr zum Tauros gerechnet wird – und auch
12 nicht als Grenze zwischen einem diesseits und einem jenseits liegenden Gebiet gilt –, weil die Erhebungen und die Vertiefungen gleichermaßen über
die Länge und die Breite des ganzen Landes verstreut sind und keine Ähnlichkeit mit einer Scheidemauer haben). Die ganze Umschiffung beträgt,
wenn man den Einbuchtungen folgt, viertausendneunhundert Stadien, die
16 der Peraia der Rhodier allein an die eintausendundfünfhundert.

Den Anfang bildet Daidala, ein Ort des Rhodischen, das Ende der Berg **2**
der Phoinix genannt wird und ebenfalls zum Rhodischen gehört (vorgelagert ist die von Rhodos hundertzwanzig Stadien entfernte Insel Elaiussa).
20 Dazwischen kommt zuerst, wenn man von Daidala in Fortsetzung der von
Kilikien, Pamphylien und Lykien kommenden Küstenlinie nach Westen
schifft, eine Bucht mit guten Häfen, Glaukos genannt, dann die Landspitze
und das Heiligtum Artemision, dann der Hain der Leto (über ihm und dem
Meer liegt in einer Entfernung von sechzig Stadien die Stadt Kalynda),
24 dann Kaunos und in der Nähe der tiefe Fluss Kalbis, in den man einfahren
kann, und dazwischen Pisilis.

Die Stadt hat Schiffswerften und einen abschließbaren Hafen. Hoch über **3**
der Stadt liegt eine Festung, Imbros. Das Land ist gesegnet, doch hat die
Stadt – darüber sind Alle sich einig – im Sommer und im Herbst eine
28 schlechte Atmosphäre durch die Hitze und den Überfluss an Früchten; und
so werden auch Geschichten erzählt wie z. B. dass Stratonikos der Zitherspieler, als er sah dass die Kaunier eine ganz grünliche Farbe hatten, meinte,
das sei was der Dichter sage (Hom. Il. 6, 146):

Gleich wie Blätter im Walde, so sind die Geschlechter der Menschen;

32 μεμφομένων δὲ ὡς σκώπτοιτο αὐτῷ ἡ πόλις ὡς νοσερά 'ἐγώ' ἔφη 'ταύτην
652C. θαρρήσαιμ' ἂν λέγειν νοσεράν, ὅπου καὶ οἱ νεκροὶ περιπατοῦσιν;' | ἀπ-
έστησαν δέ ποτε Καύνιοι τῶν Ῥοδίων, κριθέντες δ' ἐπὶ τῶν Ῥωμαίων ἀπ-
ελήφθησαν πάλιν· καὶ ἔστι λόγος Μόλωνος κατὰ Καυνίων. φασὶ δ' αὐτοὺς
4 ὁμογλώττους μὲν εἶναι τοῖς Καρσίν, ἀφῖχθαι δ' ἐκ Κρήτης καὶ χρῆσθαι
νόμοις ἰδίοις.

Ἑξῆς δὲ Φύσκος, πολίχνη λιμένα ἔχουσα, καὶ ἄλσος Λητῷον. εἶτα Λώ- 4
ρυμα, παραλία τραχεῖα, καὶ Φοῖνιξ, ὄρος ὑψηλότατον τῶν ταύτῃ· ἐπ' ἄκρῳ
8 δὲ φρούριον ὁμώνυμον τῷ ὄρει· πρόκειται δὲ Ἐλαιοῦσσα νῆσος ἐν τέτρασι
σταδίοις, κύκλον ἔχουσα ὅσον ὀκταστάδιον.

Ἡ δὲ τῶν Ῥοδίων πόλις κεῖται μὲν ἐπὶ τοῦ ἑωθινοῦ ἀκρωτηρίου, λι- 5
μέσι δὲ καὶ ὁδοῖς καὶ τείχεσι καὶ τῇ ἄλλῃ κατασκευῇ τοσοῦτον διαφέρει
12 τῶν ἄλλων ὥστ' οὐκ ἔχομεν εἰπεῖν ἑτέραν ἀλλ' οὐδὲ πάρισον, μή τί γε
κρείττω ταύτης τῆς πόλεως. θαυμαστὴ δὲ καὶ ἡ εὐνομία καὶ ἡ ἐπιμέλεια
πρός τε τὴν ἄλλην πολιτείαν καὶ τὴν περὶ τὰ ναυτικά, ἀφ' ἧς ἐθαλαττο-
κράτησε πολὺν χρόνον καὶ τὰ λῃστήρια καθεῖλε καὶ Ῥωμαίοις ἐγένετο φίλη
16 καὶ τῶν βασιλέων τοῖς φιλορωμαίοις τε καὶ φιλέλλησιν· ἀφ' ὧν αὐτόνομός
τε διετέλεσε καὶ πολλοῖς ἀναθήμασιν ἐκοσμήθη, ἃ κεῖται τὰ μὲν πλεῖστα
ἐν τῷ Διονυσίῳ καὶ τῷ γυμνασίῳ, ἄλλα δ' ἐν ἄλλοις τόποις. ἄριστα δὲ ὅ
τε τοῦ Ἡλίου κολοσσός, ὅν φησιν ὁ ποιήσας τὸ ἰαμβεῖον (280 Preger. HE
20 3916 sq.) ὅτι

ἑπτάκις δέκα
Χάρης ἐποίει πήχεων ὁ Λίνδιος·

κεῖται δὲ νῦν ὑπὸ σεισμοῦ πεσών, περικλασθεὶς ἀπὸ τῶν γονάτων· οὐκ
24 ἀνέστησαν δ' αὐτὸν κατά τι λόγιον. τοῦτό τε δὴ τῶν ἀναθημάτων κράτισ-
τον (τῶν γοῦν ἑπτὰ θεαμάτων ὁμολογεῖται) καὶ αἱ τοῦ Πρωτογένους γραφαί,

32 sq. Eust. Il. *688, 1 sq. *810, 38 sq. (posteriore loco perperam Athenaeo attribuens) 652 **18–25** *Eust. D. P. 312, 7–10 **23** *Eust. Op. min. 7, 53 Wirth **25–33** *Eust. D. P. 312, 16–8

32 αὐτῷ q: -ῶν BCDFX μήποτε οὐ ταύτην δεῖ γράφειν post ἔφη add. BC, οὐ post ταύτην add. X^mg; μήποτε pro ταύτην q **33** ἔνθα pro ὅπου utrobique Eust. 652 **3** Μόλωνος F: μώλ- cett. **4** δ' ἐκ Κρήτης Korais: δὲ κρῆτας codd. **6** φῦσκος F **7** Φοῖνιξ (sic F: φοί- BCD) huc transposuit Kramer: post 8 ὄρει habent codd. **8** φοῖνιξ (vel φοί-) post ὄρει add. codd., vide ad 7 δὲ post. D: δ' ἡ cett. Ἐλαιοῦσσα Tzschucke: ἐλέουσσα codd.; Ἐλαιοῦσα Cobet ms. τέτταρσι Meineke **9** ὀκταστάδιον CD: ὀκταυ- B, ὀκτω- F **11** τοσοῦτο F **12** γε q: δὲ BCDEF **13** ταύτης κρείττω D **14** ἐθαλασσο- D **15** χρόνον πολὺν X **18** καὶ τῷ γυμνασίῳ om. F **19** ἰαμβεῖον E qxyz: ἰαμβίον BCF, ἰάμβιον D, ἰαμβιον X **24** τε Korais: δὲ codd.

32 und als sie ihm vorwarfen, er verspotte ihre Stadt als einen ungesunden Ort,
sagte er '*Ich* sollte mich unterstehen, diese Stadt ungesund zu nennen, wo
652 sogar die Toten herumspazieren?'. Die Kaunier haben sich einst von den
Rhodiern losgesagt, aber durch einen Richterspruch der Römer bekamen
die Rhodier sie wieder zurück; und es gibt eine Rede Molons gegen die
4 Kaunier. Man sagt, sie sprächen dieselbe Sprache wie die Karer, seien aber
aus Kreta gekommen und hätten eigene Gebräuche.

Anschließend kommt Physkos, ein Städtchen mit einem Hafen, und ein 4
Hain der Leto. Dann Loryma, eine schroffe Küste, und Phoinix, der höch-
8 ste der dortigen Berge; auf seinem Gipfel liegt eine Festung mit demselben
Namen wie der Berg, ihm vorgelagert ist, vier Stadien entfernt, die Insel
Elaiussa mit einem Umkreis von etwa acht Stadien.

Die Stadt der Rhodier liegt auf dem östlichen Vorgebirge und zeichnet 5
sich durch Häfen, Straßen, Mauern und die sonstige Ausstattung so sehr
12 vor den übrigen aus dass wir keine andere nennen können die dieser Stadt
auch nur gleichkäme, geschweige denn sie überträfe. Bewundernswert ist
auch ihre gute Gesetzesordnung und ihre Sorge nicht nur für die übrigen
Staatsgeschäfte sondern besonders für die Flotte, wodurch die Stadt lange
Zeit die Herrschaft zur See besaß, die Seeräuber ausschaltete und Freund
16 der Römer und der römer- und griechenfreundlichen Könige wurde. Da-
durch blieb sie selbständig und wurde mit vielen Weihgeschenken ge-
schmückt, die zum größten Teil in dem Dionysosheiligtum und dem Gym-
nasion, manche auch an anderen Orten stehen. Die vortrefflichsten sind er-
stens der Koloss des Helios, von dem der Dichter des iambischen Verses
20 (280 Preger. HE 3916 f.) sagt, ihn habe

siebenmal
Zehn Ellen groß gemacht Chares der Lindier;

er liegt jetzt infolge eines Erdbebens am Boden, abgebrochen bei den Knien:
24 man hat ihn aufgrund eines Orakels nicht wieder aufgerichtet. Dies also ist
das ausgezeichnetste unter den Weihgeschenken (es gilt jedenfalls allgemein
als eines der Sieben Weltwunder), und ferner die Gemälde des Protogenes:

ὅ τε Ἰάλυσος καὶ ὁ Σάτυρος παρεστὼς στύλῳ· ἐπὶ δὲ τῷ στύλῳ πέρδιξ ἐφ-
εστήκει, πρὸς ὃν οὕτως ἐκεχήνεσαν, ὡς ἔοικεν, οἱ ἄνθρωποι νεωστὶ ἀνα-
28 κειμένου τοῦ πίνακος ὥστ' ἐκεῖνον ἐθαύμαζον, ὁ δὲ Σάτυρος παρεωρᾶτο
καίτοι σφόδρα κατωρθωμένος. ἐξέπληττον δ' ἔτι μᾶλλον οἱ περδικοτρόφοι
κομίζοντες τοὺς τιθασοὺς καὶ τιθέντες κατ' ἀντικρύ· ἐφθέγγοντο γὰρ πρὸς
τὴν γραφὴν οἱ πέρδικες καὶ ὠχλαγώγουν. ὁρῶν δ' ὁ Πρωτογένης τὸ ἔργον
32 πάρεργον γεγονὸς ἐδεήθη τῶν τοῦ τεμένους προεστώτων ἐπιτρέψαι παρελ-
θόντα ἐξαλεῖψαι τὸν ὄρνιν, καὶ ἐποίησε.

Δημοκηδεῖς δ' εἰσὶν οἱ Ῥόδιοι καίπερ οὐ δημοκρατούμενοι, συνέχειν
δ' ὅμως βουλόμενοι τὸ τῶν πενήτων πλῆθος. σιταρχεῖται τε δὴ ὁ δῆμος
653C. καὶ οἱ εὔποροι τοὺς ἐνδεεῖς ὑπολαμβάνουσιν ἔθει τινὶ πατρίῳ λειτουργίαι
τέ τινές εἰσιν ὀψωνιασμοῦ, ὥσθ' ἅμα τόν τε πένητα ἔχειν τὴν διατροφὴν
καὶ τὴν πόλιν τῶν χρειῶν μὴ καθυστερεῖν, καὶ μάλιστα πρὸς τὰς ναυστο-
4 λίας. τῶν δὲ ναυστάθμων τινὰ καὶ κρυπτὰ ἦν καὶ ἀπόρρητα τοῖς πολλοῖς·
τῷ δὲ κατοπτεύσαντι ἢ παρελθόντι εἴσω θάνατος ὥριστο ἡ ζημία. κἀνταῦθα
δέ, ὥσπερ ἐν Μασσαλίᾳ καὶ Κυζίκῳ, τὰ περὶ τοὺς ἀρχιτέκτονας καὶ τὰς
ὀργανοποιίας καὶ θησαυροὺς ὅπλων τε καὶ τῶν ἄλλων ἐσπούδασται διαφε-
8 ρόντως καὶ ἔτι γε τῶν παρ' ἄλλοις μᾶλλον.

Δωριεῖς δ' εἰσίν, ὥσπερ καὶ Ἁλικαρνασσεῖς καὶ Κνίδιοι καὶ Κῷοι. **6**
οἱ γὰρ Δωριεῖς οἱ τὰ Μέγαρα κτίσαντες μετὰ τὴν Κόδρου τελευτὴν οἱ μὲν
ἔμειναν αὐτόθι, οἱ δὲ σὺν Ἀλθαιμένει τῷ Ἀργείῳ τῆς εἰς Κρήτην ἀποικίας
12 ἐκοινώνησαν, οἱ δ' εἰς τὴν Ῥόδον καὶ τὰς λεχθείσας ἀρτίως πόλεις ἐμε-
ρίσθησαν. ταῦτα δὲ νεώτερα τῶν ὑφ' Ὁμήρου λεγομένων ἐστί· Κνίδος μὲν
γὰρ καὶ Ἁλικαρνασσὸς οὐδ' ἦν πω, Ῥόδος δ' ἦν καὶ Κῶς, ἀλλ' ᾠκεῖτο ὑφ'
Ἡρακλειδῶν. Τληπόλεμος μὲν οὖν ἀνδρωθεὶς

653 **4 sq.** *Eust. D. P. 312, 20–2

26 Ἰάλυσος q: ἰάλυος BCD, ὑάλιος F ⟨ὁ⟩ παρεστὼς? **26 sq.** ἐφειστήκει D
30 τιθασοὺς Meineke: τιθασσ- codd. καταντικρύ q **31** δὲ pro δ' q **32** γεγονὸς
D qxy^{pc}z: -ὼς cett. **35** δέ πως pro δ' ὅμως? Meineke (3, IV ad 911, 3) σιταρκ-
Casaubonus τε BC: om. DF 653 **1** λειτουργείαι F **2** ὀψωνιασμοῦ Kramer:
ὀψωνιαζόμεναι E (coniecit Korais), ὀψωνιζόμεναι F, ὀψωνιαζόμενοι BCD; ὀψωνιαζο-
μένων? Meineke (3, IV ad 911, 6) **3** τοὺς ante πρὸς add. D **8** ἔτι DF: ἔστι BC
παρ' αὐτοῖς vel παρὰ τούτοις (i.e. Massaliensibus et Cyzicenis) v. Herwerden (450)
9 Ἁλικαρνασσεῖς D^{pc}EX: -νασεῖς cett. **10** Μέγαρα F (scripsit Tzschucke): μέγαλα
D, μεγάλα BC; Μεγάρα Xylander **11** σὺν Ἀλθαιμένει Casaubonus (*cum Althaemene*
iam verterat Xylander): σὺν ἀλθεμένει BC, σὺν ἄλλοις θέμενοι D, συνήλθημεν F
14 Ἁλικαρνασσὸς BD: ἀλικαρνασὸς F, ἄλικαρνασος C

der Ialysos und der neben einer Säule stehende Satyr. Auf der Säule stand
ein Rebhuhn, an dem die Leute, als das Gemälde gerade aufgestellt worden
28 war, sich, wie es scheint, so vergafften dass sie nur das Huhn bewunderten
und den Satyr übersahen, obwohl er überaus wohlgelungen war. Das Aufse-
hen wurde noch gesteigert von den Rebhuhnzüchtern, die zahme Exemplare
brachten und vor das Gemälde stellten: die Rebhühner gackerten nämlich
das Gemälde an und zogen eine große Menschenmenge herbei. Als Protoge-
32 nes sah dass das eigentliche Werk zur Nebensache geworden war, bat er
den Vorstand des Heiligtums, ihm zu erlauben den Vogel eigenhändig aus-
zuwischen, und hat es getan.

Die Rhodier sind fürsorglich für das Volk, obwohl sie keine demokrati-
sche Verfassung haben. Trotzdem wollen sie die große Menge der Armen
653 unterhalten, und so wird das Volk mit Getreide versehen, unterstützen die
Wohlhabenden nach einem althergebrachten Brauch die Bedürftigen und
gibt es bestimmte Unterhaltsauflagen, so dass einerseits der Arme seinen Le-
bensunterhalt hat und andererseits der Staat seine Bedürfnisse, besonders
4 für Expeditionen über See, befriedigen kann. Von den Schiffsstationen wa-
ren manche sogar versteckt und ihr Zutritt dem Publikum verboten; auf Spi-
onieren oder Eindringen stand die Todesstrafe. Auch hier wird, wie in Mas-
salia und Kyzikos, alles was mit Bauen, Herstellung von Geräten, Waffen-
8 arsenalen usw. zu tun hat besonders energisch betrieben und sogar mehr
noch als bei Anderen.

Die Rhodier sind Dorier, ebenso wie die Halikarnasser, die Knidier und **6**
die Koer. Von den Doriern nämlich die nach dem Tode des Kodros Megara
gegründet hatten blieb ein Teil dort, Andere nahmen mit Althaimenes aus
12 Argos an der Auswanderung nach Kreta teil, und wieder Andere schwärm-
ten aus über Rhodos und die soeben genannten Städte. Das ist jüngeren Da-
tums als was Homer erzählt, denn Knidos und Halikarnassos existierten
noch gar nicht, und Rhodos existierte zwar, ebenso wie Kos, wurde aber
von Herakliden bewohnt: als Tlepolemos erwachsen geworden war,

16 αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα
ἤδη γηράσκοντα Λικύμνιον.
αἶψα δὲ νῆας ἔπηξε, πολὺν δ' ὅ γε λαὸν ἀγείρας
βῆ φεύγων (Hom. B 662–5)·

20 εἶτα, φησίν (ibid. 667 sq.),

εἰς Ῥόδον ἷξεν ἀλώμενος,
τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν·

καὶ τὰς πόλεις ⟨δ'⟩ ὀνομάζει τὰς τότε (ibid. 656)·

24 Λίνδον Ἰήλυσόν τε καὶ ἀργινόεντα Κάμιρον,

τῆς Ῥοδίων πόλεως οὔπω συνῳκισμένης. οὐδαμοῦ δὴ ἐνταῦθα Δωριέας ὀνομάζει, ἀλλ', εἰ ἄρα, Αἰολέας ἐμφαίνει καὶ Βοιωτούς, εἴπερ ἐκεῖ ἡ κατοικία τοῦ Ἡρακλέους καὶ τοῦ Λικυμνίου. εἰ δ', ὥσπερ καὶ ἄλλοι φασίν, 28 ἐξ Ἄργους καὶ Τίρυνθος ἀπῆρεν ὁ Τληπόλεμος, οὐδ' οὕτω Δωρικὴ γίνεται ἡ ἐκεῖθεν ἀποικία· πρὸ γὰρ τῆς Ἡρακλειδῶν καθόδου γεγένηται. καὶ τῶν Κῴων δὲ

Φείδιππός τε καὶ Ἄντιφος ἡγησάσθην,
32 Θεσσαλοῦ υἷε δύω Ἡρακλείδαο ἄνακτος (Hom. B 678 sq.),

καὶ οὗτοι τὸ Αἰολικὸν μᾶλλον ἢ τὸ Δωρικὸν γένος ἐμφαίνοντες.

7 Ἐκαλεῖτο δ' ἡ Ῥόδος πρότερον Ὀφιοῦσσα καὶ Σταδία, εἶτα Τελχινὶς 654C. ἀπὸ τῶν οἰκησάντων Τελχίνων τὴν νῆσον. οὓς οἱ μὲν βασκάνους φασὶ | καὶ γόητας †θείῳ† καταρραίνοντας τὸ τῆς Στυγὸς ὕδωρ ζῴων τε καὶ φυτῶν ὀλέθρου χάριν, οἱ δὲ τέχναις διαφέροντας τοὐναντίον ὑπὸ τῶν ἀντιτέχνων 4 βασκανθῆναι καὶ τῆς δυσφημίας τυχεῖν ταύτης· ἐλθεῖν δ' ἐκ Κρήτης εἰς Κύπρον πρῶτον, εἶτ' εἰς Ῥόδον, πρώτους δ' ἐργάσασθαι σίδηρόν τε καὶ χαλκόν, καὶ δὴ καὶ τὴν ἅρπην τῷ Κρόνῳ δημιουργῆσαι (εἴρηται μὲν οὖν καὶ

34–654, 6 *Eust. D. P. 312, 23–9

18 ϑ' pro δ' DF 23 addidi 24 Ἰηλυσόν Kramer; vide comm. Κάμιρον scripsi: κάμει- codd. 25 οὔπω Xylander:]τω P, οὕτω C, οὕτως BDF 26 εἰ Korais: ἢ BDF, ἦ C 27 {καὶ} ἄλλοι? 29 πρὸ DF: πρὸς BCP 30 δὲ om. D 32 δύω P (scripsit etiam q): δύο cett. 34 Ὀφιοῦσσα E, Eust. R: ὀφίουσσα BDFX, ὀφίουσα C, ὀφιοῦσα Eust. BCDQ στάδια D; Ἀστερία? Αἰθραία? Meineke (Vind. 224) 35 οἰκισάντων P 35 sq. γόητάς φασιν εἶναι καὶ βασκάνους X 654 2 ληίων? Lobeck (Agl. 2, 1192[q]; ἀγρῶν vel καρπῶν eum debuisse monuit Meineke), φθόνῳ Meineke (Vind. 224), ⟨σὺν⟩ θείῳ vel θεῖον (tum ⟨καὶ⟩ τὸ)? Müller (1030 ad 558, 21), θαλλοῖς vel θεῖον ⟨σπείροντας⟩ Eitrem (teste Jacoby ad FGrHist 533 F 3 p. 516, 12), ἠθμῷ? Holwerda καταρραίνοντας xyz, ed. pr.: καταρρέοντας BCDFXq ῥιζῶν pro ζῴων Meineke (Vind. 224 sq.) 3 τέχναις Plan.: τέχνας BCDF, τέχνῃ E 6 καὶ ultimum om. D

16 Plötzlich dem eigenen Vater erschlug er den trautesten Oheim,
Ihn, der ergraut schon war, den Likymnios.
Schnell nun bauet' er Schiff', und viel des Volkes sich sammelnd
Floh er hinweg (Hom. Il. 2, 662–5),

20 und dann, ich zitiere (ebd. 667 f.),

Kam er nach Rhodos, der Irrende.
Dreifach wohnten sie dort in Stämme geteilt;

er nennt auch die damaligen Städte (ebd. 656):

24 Lindos, Iëlysos und das blendend weiße Kamiros

(die Stadt der Rhodier war ja noch nicht zusammengelegt). Nirgends also nennt er hier Dorier, sondern, wenn überhaupt, meint er Äoler, nämlich Böoter, wenn anders dort der Wohnsitz des Herakles und des Likymnios 28 war. Wenn aber, wie auch Andere behaupten, Tlepolemos aus Argos und Tiryns abgesegelt ist, dann wird die von dort aus unternommene Kolonisierung trotzdem nicht dorisch, denn sie hat vor der Rückkehr der Herakliden stattgefunden. Und auch den Koern

gebot Pheidippos zugleich und Antiphos führend,
32 Beide Thessalos' Söhne, des herakleidischen Königs
(Hom. Il. 2, 678 f.):

auch sie deuten somit eher auf äolische als auf dorische Abstammung.

7 Rhodos wurde früher Ophiussa und Stadia genannt, dann Telchinis nach den Telchinen, die die Insel besiedelt hatten. Von ihnen sagen Manche, sie 654 seien missgünstige Zauberer gewesen, die zum Verderb von Tieren und Pflanzen * * Styxwasser gesprengt hätten, Andere dagegen, sie hätten sich im Gegenteil, weil sie sich im Handwerk auszeichneten, die Missgunst ihrer 4 Konkurrenten zugezogen und dadurch diesen schlechten Ruf bekommen; sie sollen aus Kreta erst nach Zypern und dann nach Rhodos gekommen sein und als Erste Eisen und Bronze bearbeitet haben; so hätten sie auch dem Kronos die Sichel angefertigt. (Es war von ihnen schon früher [466, 20.

πρότερον [466, 20. 472, 8 sqq.] περὶ αὐτῶν, ἀλλὰ ποιεῖ τὸ πολύμυθον ἀναλαμβάνειν πάλιν ἀναπληροῦντας εἴ τι παρελίπομεν).

Μετὰ δὲ τοὺς Τελχῖνας οἱ Ἡλιάδαι μυθεύονται κατασχεῖν τὴν νῆσον. ὧν ἑνός, Κερκάφου, καὶ Κυδίππης γενέσθαι παῖδας τοὺς τὰς πόλεις κτίσαντας ἐπωνύμους αὐτῶν 8

Λίνδον Ἰήλυσόν τε καὶ ἀργινόεντα Κάμιρον (Hom. B 656)·

ἔνιοι δὲ τὸν Τληπόλεμον κτίσαι φασί, θέσθαι δὲ τὰ ὀνόματα ὁμωνύμως τῶν Δαναοῦ θυγατέρων τισίν.

Ἡ δὲ νῦν πόλις ἐκτίσθη κατὰ τὰ Πελοποννησιακὰ ὑπὸ τοῦ αὐτοῦ ἀρχιτέκτονος, ὥς φασιν, ὑφ' οὗ καὶ ὁ Πειραιεύς (οὐ συμμένει δ' ὁ Πειραιεύς, κακωθεὶς ὑπό τε Λακεδαιμονίων πρότερον τῶν τὰ σκέλη καθελόντων καὶ ὑπὸ Σύλλα τοῦ Ῥωμαίων ἡγεμόνος). 9

Ἱστοροῦσι δὲ καὶ ταῦτα περὶ τῶν Ῥοδίων ὅτι οὐ μόνον ἀφ' οὗ χρόνου συνῴκισαν τὴν νῦν πόλιν εὐτύχουν κατὰ θάλατταν, ἀλλὰ καὶ πρὸ τῆς Ὀλυμπικῆς θέσεως συχνοῖς ἔτεσιν ἔπλεον πόρρω τῆς οἰκείας ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, ἀφ' οὗ καὶ μέχρι Ἰβηρίας ἔπλευσαν κἀκεῖ μὲν τὴν Ῥόδην ἔκτισαν, ἣν ὕστερον Μασσαλιῶται κατέσχον, ἐν δὲ τοῖς Ὀπικοῖς τὴν Παρθενόπην, ἐν δὲ Δαυνίοις μετὰ Κῴων Ἐλπίας. τινὲς δὲ μετὰ τὴν ἐκ Τροίας ἄφοδον τὰς Γυμνησίας νήσους ὑπ' αὐτῶν κτισθῆναι λέγουσιν (ὧν τὴν μείζω φησὶ Τίμαιος [FGrHist 566 F 65] μεγίστην εἶναι μετὰ τὰς ἑπτά — Σαρδώ, Σικελίαν, Κύπρον, Κρήτην, Εὔβοιαν, Κύρνον, Λέσβον — οὐ τἀληθῆ λέγων· πολὺ γὰρ ἄλλαι μείζους. φασὶ δὲ τοὺς γυμνῆτας ὑπὸ Φοινίκων βαλεαρεῖς λέγεσθαι, διὸ δὴ τὰς Γυμνησίας Βαλεαρίδας λεχθῆναι). τινὲς δὲ τῶν Ῥοδίων 10

10–4 Eust. Il. 315, 13–5 **15 sq.** Eust. Il. 315, 19–21 **22** Eust. D. P. 312, 29 sq.

8 πάλιν om. D παρελείπομεν D^{ac}F **10** κεκάρφου C **11** ἐπωνύμους αὐτῶν om. F αὑτῶν Casaubonus (*de suis nominibus* iam vertit Tifernate, *de se* Xylander): αὐτ- codd. **12** Ἰηλυσόν Korais; vide 653, 24 comm. Κάμιρον X (coniecit v. Almeloveen): κάμει- cett. **14** τρισίν H. v. Gelder (Gesch. der alten Rhodier, Haag 1900, 21) coll. Diod. 5, 58, 1 **18** σύλα C **22** Ῥόδην D (coniecit Casaubonus): -ον BCFP, Eust. **24** Ἐλπίαν? Berkelius (343[9]), Σαλπίας Korais, ⟨Σαλαπίαν ἔκτισεν⟩ Ἐλπίας Meursius (Creta, Cyprus, Rhodus ..., Amstelodami 1675, 59 [tertia paginarum series]), Ἐλπίας ⟨Σαλαπίαν⟩ Groskurd ἄφοδον D: ἔφ- cett. **27** οὐ τἀληθῆ C: οὔτ' ἀληθῆ B, οὔτ' ἀληθῆ D, οὐ τἀλῆ F **28 sq.** φασὶ — λεχθῆναι del. Meineke (Vind. 225) duce Casaubono **28** γυμνῆτας iyz: γυμνητὰς BC, γυμνήτας D, ὑμνήτας F βαλεαρεῖς Casaubonus: βαλεαρίδας BCF, βελεαρίδας D; βαλιαρεῖς Jacoby (ad FGrHist 566 F 65) **29** διὸ δὴ scripsi: διότι codd.; διὸ καὶ (vel καὶ διὰ τοῦτο) Korais, διόπερ? Γυμνησίας Korais: γυμνα- codd. Βαλεαρίδας Casaubonus (*Balearidas* iam vertit Tifernate, *Balearides* Xylander): βαλερίδας C, βαλαρίδας F, βαλερίας B, βαρελίδας D

472, 8 ff.] die Rede, aber die Vielfalt der Fabeln macht dass wir wieder auf sie zurückkommen um zu ergänzen was wir übergangen haben.

Nach den Telchinen, so will die Fabel, hätten die Heliaden die Insel in Besitz genommen, und einer von ihnen, Kerkaphos, habe mit Kydippe die Söhne gezeugt die die nach sich benannten Städte gründeten, 8

Lindos, Iëlysos und das blendend weiße Kamiros

(Hom. Il. 2, 656);

Manche jedoch sagen, Tlepolemos habe sie gegründet und ihnen die Namen irgendwelcher Töchter des Danaos gegeben.

Die heutige Stadt ist zur Zeit des Peloponnesischen Krieges von demselben Architekten, sagt man, angelegt worden wie der Piräus (aber der Piräus ist nicht mehr erhalten, da er erst von den Spartanern, die die Schenkelmauern niederrissen, und dann von Sulla, dem Feldherrn der Römer, schwer mitgenommen worden ist). 9

Man berichtet über die Rhodier auch, sie seien nicht nur seit der Gründung der heutigen Stadt erfolgreich zur See gewesen sondern schon viele Jahre vor der Stiftung der Olympischen Spiele zum Schutz der Menschen weit von ihrer Heimat geschifft. Daher fuhren sie auch bis nach Iberien und gründeten dort Rhode, das später die Massalioten in Besitz genommen haben, bei den Opikern Parthenope und bei den Dauniern zusammen mit den Koern Elpiai. Manche sagen, nach dem Abzug aus Troja seien die Gymnesischen Inseln von ihnen besiedelt worden (deren größere Timaios [FGrHist 566 F 65] für die größte nach den sieben — Sardo, Sizilien, Zypern, Kreta, Euboia, Kyrnos und Lesbos — erklärt; aber das ist falsch, denn andere sind viel größer. Man sagt, die Leichtbewaffneten [*gymnetes*] hießen bei den Phöniziern *baleareis*: daher würden die Gymnesischen Inseln 'Balearische' 10

καὶ περὶ Σύβαριν ᾤκησαν κατὰ τὴν Χωνίαν. ἔοικε δὲ καὶ ὁ ποιητὴς μαρτυρεῖν τὴν ἐκ παλαιοῦ παροῦσαν τοῖς Ῥοδίοις εὐδαιμονίαν εὐθὺς ἀπὸ τῆς
32 πρώτης κτίσεως τῶν τριῶν πόλεων (B 668–70)·

τριχθὰ δὲ ᾤκηθεν καταφυλαδὸν ἠδ' ἐφίληθεν
ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει,
καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων

655C. (οἱ δ' εἰς μῦθον ἀνήγαγον τὸ ἔπος καὶ χρυσὸν ὑσθῆναί φασιν ἐν τῇ νήσῳ κατὰ τὴν Ἀθηνᾶς γένεσιν ἐκ τῆς κεφαλῆς τοῦ Διός, ὡς εἴρηκε Πίνδαρος [Ol. 7, 34–7]). ἡ δὲ νῆσος κύκλον ἔχει σταδίων ἐνναкοσίων εἴκοσι.

4 Ἔστι δὲ πρώτη μὲν Λίνδος ἀπὸ τῆς πόλεως πλέουσιν ἐν δεξιᾷ ἔχουσι 11 τὴν νῆσον, πόλις ἐπὶ ὄρους ἱδρυμένη, πολὺ πρὸς μεσημβρίαν ἀνατείνουσα καὶ πρὸς Ἀλεξάνδρειαν μάλιστα. ἱερὸν δ' ἐστὶν Ἀθηνᾶς Λινδίας αὐτόθι ἐπιφανές, τῶν Δαναΐδων ἵδρυμα. πρότερον μὲν οὖν καθ' αὑτοὺς ἐπολιτεύ-
8 οντο οἱ Λίνδιοι, καθάπερ καὶ Καμιρεῖς καὶ Ἰαλύσιοι, μετὰ ταῦτα δὲ συνῆλθον ἅπαντες εἰς τὴν Ῥόδον. ἐντεῦθεν δ' ἐστὶν εἷς τῶν Ἑπτὰ σοφῶν, Κλεόβουλος.

Μετὰ δὲ Λίνδον Ἰξία χωρίον καὶ Μνασύριον, εἶθ' ὁ Ἀτάβυρις, ὄρος 12
12 τῶν ἐνταῦθα ὑψηλότατον, ἱερὸν Διὸς Ἀταβυρίου· εἶτα Κάμιρος· εἶτ' Ἰάλυσος κώμη, καὶ ὑπὲρ αὐτὴν ἀκρόπολίς ἐστιν Ὀχύρωμα καλουμένη· εἶθ' ἡ τῶν Ῥοδίων πόλις ἐν ὀγδοήκοντά που σταδίοις· μεταξὺ δ' ἐστὶ τὸ Θοάντειον, ἀκτή τις ἧς μάλιστα πρόκεινται αἱ Σποράδες αἱ περὶ τὴν Χαλκίαν, ὧν
16 ἐμνήσθημεν πρότερον (488, 11 sqq.).

Ἄνδρες δ' ἐγένοντο μνήμης ἄξιοι πολλοὶ στρατηλάται τε καὶ ἀθληταί, 13 ὧν εἰσι καὶ οἱ Παναιτίου τοῦ φιλοσόφου πρόγονοι· τῶν δὲ πολιτικῶν καὶ τῶν περὶ λόγους καὶ φιλοσοφίαν ὅ τε Παναίτιος αὐτὸς καὶ Στρατοκλῆς καὶ
20 Ἀνδρόνικος ὁ ἐκ τῶν Περιπάτων καὶ Λεωνίδης ὁ Στωϊκός, ἔτι δὲ πρότερον Πραξιφάνης καὶ Ἱερώνυμος καὶ Εὔδημος· Ποσειδώνιος δ' ἐπολιτεύσατο μὲν ἐν Ῥόδῳ καὶ ἐσοφίστευσεν, ἦν δ' Ἀπαμεὺς ἐκ τῆς Συρίας, καθάπερ καὶ Ἀπολ-

655 3 *Eust. D. P. 311, 38 sq. Greg. 23^{v} marg. 4–7 Eust. Il. 315, 15–7 9 sq. *Eust. Il. 315, 12 12 sq. Eust. Il. 315, 17

30 παρὰ pro περὶ B Χωνίαν F: χαωνίαν cett.; Χώνην Korais, Niebuhr (Röm. Gesch. 1^{2}, Berlin 1827, 59[147]) 31 εὐμενίαν F, unde εὐθενίαν vel εὐθένειαν coniecit Meineke (Vind. 225) 33 ἠδ' ἐφ- D^{pc}: ἢ δ' ἐφ- BD^{ac}, ἤδ' ἐφ- C, ἡ δὲ φ- F 655 3 ἐνα- Meineke εἴκοσιν q 7 καθεαυτοὺς F 8 Καμιρεῖς scripsi: καμει- codd. 11 ἰξία D, ἰξίω F 12 Κάμιρος scripsi: κάμει- codd. 12 sq. Ἰαλυσὸς Eust.: vide 653, 24 comm. 14 που om. P Θοάντειον D: -τιον cett. 19 φιλοσοφίαν i: -ας BCD, -αις F 20 στοϊκός F, σοφιστής D 22 καὶ post. om. F

genannt). Einige von den Rhodiern siedelten sich auch bei Sybaris in Chonien an. Auch der Dichter scheint den Wohlstand, mit dem die Rhodier von
32 alters her gleich nach der ersten Gründung der drei Städte gesegnet waren, zu bezeugen (Il. 2, 668–70):

Dreifach wohnten sie dort in Stämme geteilt und gediehen,
Wert dem Zeus, der Götter und sterbliche Menschen beherrschet;
Segnend herab goss ihnen des Reichtums Schätze Kronion

655 (Manche haben den Vers auf eine Fabel zurückgeführt und behaupten, es habe auf der Insel, zur Zeit der Geburt Athenes aus dem Kopf des Zeus, Gold geregnet, wie Pindar sagt [Ol. 7, 34–7]). Die Insel hat einen Umkreis von neunhundertzwanzig Stadien.

4 Schifft man von der Stadt mit der Insel zur Rechten, dann kommt zuerst 11 Lindos, eine auf einem Berg gelegene Stadt, die sich weit nach Süden, ungefähr in die Richtung von Alexandrien, erstreckt. Es gibt dort ein berühmtes Heiligtum der Lindischen Athena, eine Stiftung der Danaiden. Früher bilde-
8 ten die Lindier einen selbständigen Staat, ebenso wie die Kamirer und die Ialysier, danach jedoch haben sie sich alle in Rhodos zusammengeschlossen. Von hier stammt einer der Sieben Weisen, Kleobulos.

Nach Lindos kommt der Ort Ixia und Mnasyrion, dann der Atabyris, der 12
12 höchste Berg dort, der dem Atabyrischen Zeus heilig ist; dann Kamiros, dann das Dorf Ialysos, und über ihm liegt die Burg, Ochyroma genannt; dann, etwa achtzig Stadien weiter, die Stadt der Rhodier; dazwischen liegt Thoanteion, eine Steilküste, der Chalkia und die umliegenden Sporaden,
16 die wir früher (488, 11 ff.) erwähnt haben, ungefähr vorgelagert sind.

An erwähnenswerten Männern hat es viele Heerführer und Sportler gege- 13 ben, worunter auch die Vorfahren des Philosophen Panaitios. Unter den Politikern und denen die sich mit Reden und Philosophie beschäftigt haben
20 waren es Panaitios selber, Stratokles, Andronikos der Peripatetiker und Leonides der Stoiker, und noch früher Praxiphanes, Hieronymos und Eudemos; Poseidonios war zwar in Rhodos politisch tätig und hat dort gelehrt, war aber ein Apameer aus Syrien, ebenso wie Apollonios der Weiche

λώνιος ὁ Μαλακὸς καὶ Μόλων· ἦσαν γὰρ Ἀλαβανδεῖς, Μενεκλέους μαθηταὶ
24 τοῦ ῥήτορος (ἐπεδήμησε δὲ πρότερον Ἀπολλώνιος, ὀψὲ δ' ἧκεν ὁ Μόλων καὶ ἔφη πρὸς αὐτὸν ἐκεῖνος 'ὀψὲ μολών'). καὶ Πείσανδρος δ', ὁ τὴν Ἡράκλειαν γράψας ποιητής, Ῥόδιος καὶ Σιμμίας ὁ γραμματικὸς καὶ Ἀριστοκλῆς ὁ καθ' ἡμᾶς· Διονύσιος δὲ ὁ Θρᾷξ καὶ Ἀπολλώνιος ὁ τοὺς Ἀργοναύτας ποιήσας
28 Ἀλεξανδρεῖς μέν, ἐκαλοῦντο δὲ Ῥόδιοι.

14 Περὶ μὲν Ῥόδου ἀποχρώντως εἴρηται. πάλιν δὲ τῆς Καρικῆς παραλίας τῆς μετὰ τὴν Ῥόδον ἀπὸ Ἐλαιούσσης καὶ τῶν Λωρύμων καμπτήρ τις ἐπὶ τὰς ἄρκτους ἐστὶ καὶ λοιπὸν ἐπ' εὐθείας ὁ πλοῦς μέχρι τῆς Προποντίδος
32 ὡς ἂν μεσημβρινήν τινα ποιῶν γραμμὴν ὅσον πεντακισχιλίων σταδίων ἢ μικρὸν ἀπολείπουσαν· ἐνταῦθα δ' ἐστὶν ἡ λοιπὴ τῆς Καρίας καὶ Ἴωνες καὶ Αἰολεῖς καὶ Τροία καὶ τὰ περὶ Κύζικον καὶ Βυζάντιον.

656C. **15** Μετὰ δ' οὖν τὰ Λώρυμα τὸ Κυνὸς σῆμά ἐστι καὶ Σύμη νῆσος, εἶτα Κνίδος, δύο λιμένας ἔχουσα (ὧν τὸν ἕτερον κλειστὸν τριηρικόν) καὶ ναύσταθμον ναυσὶν εἴκοσι. πρόκειται δὲ νῆσος ἑπταστάδιός πως τὴν περίμε-
4 τρον, ὑψηλή, θεατροειδής, συναπτομένη χώματι πρὸς τὴν ἤπειρον καὶ ποιοῦσα δίπολιν τρόπον τινὰ τὴν Κνίδον· πολὺ γὰρ αὐτῆς μέρος οἰκεῖ τὴν νῆσον σκεπάζουσαν ἀμφοτέρους τοὺς λιμένας· κατ' αὐτὴν δ' ἐστὶν ἡ Νίσυρος πελαγία. ἄνδρες δ' ἀξιόλογοι Κνίδιοι πρῶτον μὲν Εὔδοξος ὁ μαθηματικός,
8 τῶν Πλάτωνος ἑταίρων, εἶτ' Ἀγαθαρχίδης ὁ ἐκ τῶν Περιπάτων, ἀνὴρ συγγραφεύς, καθ' ἡμᾶς δὲ Θεόπομπος ὁ Καίσαρος τοῦ Θεοῦ φίλος, τῶν μέγα δυναμένων, καὶ υἱὸς Ἀρτεμίδωρος· ἐντεῦθεν δὲ καὶ Κτησίας ὁ ἰατρεύσας μὲν Ἀρταξέρξην, συγγράψας δὲ τὰ Ἀσσυριακὰ καὶ τὰ Περσικά.

12 **16** Εἶτα μετὰ Κνίδον Κέραμος καὶ Βάργασα πολίχνια ὑπὲρ θαλάττης, εἶθ' Ἁλικαρνασσός, τὸ βασίλειον τῶν τῆς Καρίας δυναστῶν, Ζεφυρία καλουμένη πρότερον. ἐνταῦθα δ' ἐστὶν ὅ τε τοῦ Μαυσώλου τάφος, τῶν ἑπτὰ θεαμάτων,

656 1 St. B. 591, 17

23 δὲ pro γὰρ Meineke 24 ⟨ὁ⟩ Ἀπολλώνιος? 25 ἀντὶ τοῦ ἐλθών post μολών add. codd.: delevi 26 Σιμίας Cobet ms. 30 Ἐλαιούσσης scripsi: ἐλεοῦντος BCDE, σελεοῦντος F; Ἐλαιοῦντος Meineke 30 sq. καμπτήρ τίς ἐστιν ἐπὶ τὰς ἄ. καὶ D
656 3 δὲ Korais: δ' ἡ BCD, δὲ ἡ F 4 χώματι dubitanter Korais: χώμασι codd. 9 μέγα Korais: μεγάλα codd. 11 καὶ τὰ Περσικά om. F 13 ἁλικαρνασός E Ζεφυρία Siebelis (1803, 42): ζεφύρα codd. 14 Μαυσώλου BE: -ωλοῦ cett. θεαμάτων ⟨ἕν⟩ Korais

und Molon: diese stammten nämlich aus Alabanda und waren Schüler des
24 Rhetors Menekles (Apollonios lebte schon eher in Rhodos, Molon kam erst spät und jener sagte zu ihm 'spät gekommen' [*opse molon*]). Auch Peisandros, der Dichter der *Heraklee*, war Rhodier und Simmias, der Philologe, sowie unser Zeitgenosse Aristokles; Dionysios der Thraker hingegen und
28 Apollonios, der Dichter der *Argonauten*, waren Alexandriner, wurden aber Rhodier genannt.

14 Über Rhodos genug und zurück zur karischen Küste nach Rhodos. Sie macht nach Elaiussa und Loryma eine Biegung nach Norden: von nun an
32 verläuft die Fahrt bis zur Propontis in gerader Linie und bildet gleichsam einen Meridian von etwa fünftausend Stadien oder wenig darunter; dort haben wir das übrige Karien, die Ionier und Äoler, Troja und das Gebiet um Kyzikos und Byzanz.

656 **15** Nach Loryma indessen kommt Kynos Sema und die Insel Syme, dann Knidos mit zwei Häfen (von denen der eine abschließbar und für Trieren bestimmt ist) und einer Schiffsstation für zwanzig Schiffe. Davor liegt eine
4 hohe theaterförmige Insel mit einem Umkreis von etwa sieben Stadien, die durch einen Damm mit dem Festland verbunden ist und Knidos gewissermaßen zu einer Doppelstadt macht: denn ein großer Teil der Stadt liegt auf der Insel, die beide Häfen gegen Wind schützt. Ihr gegenüber liegt im offenen Meer Nisyros. Nennenswerte Männer aus Knidos sind allererst Eudoxos
8 der Mathematiker, ein Schüler Platons, dann Agatharchides der Peripatetiker, ein Geschichtsschreiber, und zu unserer Zeit Theopompos, der Freund Cäsars des Gottes, ein sehr einflussreicher Mann, und sein Sohn Artemidoros; von dort stammte auch Ktesias, der Arzt des Artaxerxes und Verfasser der *Assyrischen* und *Persischen Geschichten.*

12 **16** Dann kommen nach Knidos die Kleinstädte Keramos und Bargasa oberhalb des Meeres, und dann Halikarnassos, die Residenz der Herrscher von Karien, früher Zephyria genannt. Dort befindet sich erstens das Grabmal

* * ἔργον, ὅπερ Ἀρτεμισία τῷ ἀνδρὶ κατεσκεύασε, καὶ ἡ Σαλμακὶς κρήνη,
16 διαβεβλημένη οὐκ οἶδ' ὁπόθεν ὡς μαλακίζουσα τοὺς πιόντας ἀπ' αὐτῆς (ἔοικε
δ' ἡ τρυφὴ τῶν ἀνθρώπων αἰτιᾶσθαι τοὺς ἀέρας ἢ τὰ ὕδατα· τρυφῆς δ' αἴτια
οὐ ταῦτα, ἀλλὰ πλοῦτος καὶ ἡ περὶ τὰς διαίτας ἀκολασία). ἔχει δ' ἀκρό-
πολιν ἡ Ἁλικαρνασσός, πρόκειται δ' αὐτῆς ἡ Ἀρκόννησος. οἰκισταὶ δ' αὐτῆς
20 ἐγένοντο ἄλλοι τε καὶ Ἄνθης μετὰ Τροιζηνίων. ἄνδρες δὲ γεγόνασιν ἐξ
αὐτῆς Ἡρόδοτός τε ὁ συγγραφεύς, ὃν ὕστερον Θούριον ἐκάλεσαν διὰ τὸ
κοινωνῆσαι τῆς εἰς Θουρίους ἀποικίας, καὶ Ἡράκλειτος ὁ ποιητής, ὁ Καλ-
λιμάχου ἑταῖρος, καὶ καθ' ἡμᾶς Διονύσιος ὁ συγγραφεύς.

24 Ἔπταισε δὲ καὶ αὕτη ἡ πόλις βίᾳ ληφθεῖσα ὑπὸ Ἀλεξάνδρου. Ἑκατόμνω **17**
γὰρ τοῦ Καρῶν βασιλέως ἦσαν υἱοὶ τρεῖς, Μαύσωλος καὶ Ἰδριεὺς καὶ Πιξώ-
δαρος, καὶ θυγατέρες δύο, ὧν τῇ πρεσβυτέρᾳ Ἀρτεμισίᾳ Μαύσωλος συνῴκη-
σεν, ὁ πρεσβύτατος τῶν ἀδελφῶν, ὁ δὲ δεύτερος Ἰδριεὺς Ἄδᾳ, τῇ ἑτέρᾳ
28 ἀδελφῇ. ἐβασίλευσε δὲ Μαύσωλος, τελευτῶν δ' ἄτεκνος τὴν ἀρχὴν κατέλιπε
τῇ γυναικί, ὑφ' ἧς αὐτῷ κατεσκευάσθη ὁ λεχθεὶς τάφος. φθίσει δ' ἀποθα-
νούσης διὰ πένθος τοῦ ἀνδρὸς Ἰδριεὺς ἦρξε καὶ τοῦτον ἡ γυνὴ Ἄδα δι-
εδέξατο νόσῳ τελευτήσαντα. ἐξέβαλε δὲ ταύτην Πιξώδαρος, ὁ λοιπὸς τῶν
657C. Ἑκατόμνω παίδων, | περσίσας δὲ μεταπέμπεται σατράπην ἐπὶ κοινωνίᾳ τῆς
ἀρχῆς. ἀπελθόντος δ' ἐκ τοῦ ζῆν καὶ τούτου κατεῖχεν ὁ σατράπης τὴν Ἁλι-
καρνασσόν, ἐπελθόντος δὲ Ἀλεξάνδρου πολιορκίαν ὑπέμεινεν, ἔχων Ἄδαν
4 γυναῖκα, ἥτις θυγάτηρ ἦν Πιξωδάρου ἐξ Ἀφνηΐδος Καππαδοκίσσης γυναικός.
ἡ δὲ τοῦ Ἑκατόμνω θυγάτηρ Ἄδα, ἣν ὁ Πιξώδαρος ἐξέβαλεν, ἱκετεύει τὸν
Ἀλέξανδρον καὶ πείθει κατάγειν αὐτὴν εἰς τὴν ἀφαιρεθεῖσαν βασιλείαν
ὑποσχομένη ἐπὶ τὰ ἀφεστῶτα συμπράξειν αὐτῷ (τοὺς γὰρ ἔχοντας οἰκείους
8 ὑπάρχειν αὐτῇ). παρεδίδου δὲ καὶ τὰ Ἄλινδα, ἐν ᾧ διέτριβεν αὐτή· ἐπ-

15 lacunam h. l. esse statuit Groskurd, ipse ⟨Σκόπα καὶ ἄλλων τεχνιτῶν⟩ supplens; ⟨θαυμαστόν⟩ Meineke (Vind. 225); artificis nomen (Σκόπα) post ἔργον excidisse coniecit Korais (qui in Géogr. de Str. etiam de ⟨ἄριστον⟩, ⟨κράτιστον⟩, sim. post ἔργον supplendo vel de ἕν pro ἔργον scribendo cogitaverat) **16** πίνοντας? Korais **19** Ἁλικαρνασός Kramer ἀρκόνησος F **21** αὐτῆς ⟨ἄξιοι μνήμης⟩? Cascorbi (25); vide comm. **25** Μαύσωλος qxy (cf. E): μαυσωλὸς BCDFX Ἰδριεὺς DFX: ἰδρυ- BC; ἰδρι- ed. pr. **27** Ἰδριεὺς DFX: ἰδρυ- BC; ἰδρι- ed. pr. Ἄδᾳ Tzschucke (cf. E): άδαι (sic) X, ἀδα (sic) F, ἀδᾷ BCD **28** {ἀδελφῇ} ? Μαύσωλος qxy: μαυσωλός BCDF **30** ἰδριεὺς ed. pr. Ἄδα F: άδα (sic) X, ἀδὰ BCD **657 1** μηδίσας X **2 sq.** Ἁλικαρνασόν Kramer **3 sq.** verba ἔχων — γυναικός post 2 sq. Ἁλικαρνασσόν transposuit Groskurd ducibus Xylandro et Korais (qui idem fecerunt in versionibus suis) **3** Ἄδαν Tzschucke: ἀδὰν BC, ἄδα F, ἀδὰ D **5** Ἄδα F: ἀδὰ BCD **8** ἐν οἷς pro ἐν ᾧ q, ὅπου y αὕτη F

des Mausolos, eines der Sieben Weltwunder, ein * * Werk, das Artemisia
für ihren Mann errichtet hat, und ferner die Quelle Salmakis, die irgendwie
16 in den Verruf gekommen ist, sie verweichliche die Leute die aus ihr getrun-
ken haben (die Üppigkeit der Menschen gibt offenbar dem Klima und dem
Wasser die Schuld; aber schuld an der Üppigkeit sind nicht sie, sondern der
Reichtum und die Zügellosigkeit der Lebensweise). Halikarnassos hat eine
Burg, und vor der Stadt liegt die Insel Arkonnesos. Zu ihren Gründern ge-
20 hörte Anthes mit Leuten aus Troizen. Männer die aus ihr stammten sind
Herodot der Geschichtsschreiber (den man später Thurier nannte, weil er
sich an der Kolonisierung von Thurioi beteiligt hatte), der Dichter Hera-
kleitos, der Freund des Kallimachos, und zu unserer Zeit der Geschichts-
schreiber Dionysios.

24 Auch diese Stadt hatte das Unglück dass sie mit Gewalt von Alexander **17**
erobert wurde. Hekatomnos nämlich, der König der Karer, hatte drei
Söhne, Mausolos, Idrieus und Pixodaros, und zwei Töchter, mit deren älte-
rer, Artemisia, Mausolos, der älteste der Brüder, sich vermählte – der
28 zweite, Idrieus, mit Ada, der anderen Schwester. König wurde Mausolos,
und als er kinderlos starb, hinterließ er die Herrschaft seiner Frau, von der
ihm das besagte Grabmal errichtet wurde. Als sie aus Gram um ihren Mann
an Abzehrung gestorben war, wurde Idrieus Herrscher, und nach seinem
durch Krankheit erfolgten Tod wurde seine Frau Ada seine Nachfolgerin.
657 Es vertrieb sie jedoch Pixodaros, der letzte von Hekatomnos' Söhnen, und
da er mit den Persern sympathisierte, zog er einen Satrapen zu gemeinsamer
Herrschaft hinzu. Als auch er aus dem Leben geschieden war, behielt der
Satrap Halikarnassos und hatte, als Alexander herankam, eine Belagerung
4 durchzustehen; seine Frau war Ada, eine Tochter des Pixodaros von Aph-
neïs, einer Kappadokerin. Da stellte Hekatomnos' Tochter Ada, die Pixo-
daros vertrieben hatte, sich unter Alexanders Schutz und überredete ihn, sie
in das ihr entrissene Königreich zurückzuführen; sie hatte ihm ihre Hilfe
8 gegen die aufständischen Orte versprochen (die dortigen Machthaber seien
nämlich ihre Verwandten). Sie bot ihm auch Alinda an, wo sie sich selber

αινέσας δὲ καὶ βασίλισσαν ἀναδείξας ἁλούσης τῆς πόλεως πλὴν τῆς ἄκρας (διττὴ δ' ἦν) ἐκείνῃ πολιορκεῖν ἔδωκεν. ἑάλω δὲ ὀλίγῳ ὕστερον καὶ ἡ ἄκρα, πρὸς ὀργὴν ἤδη καὶ ἀπέχθειαν τῆς πολιορκίας γενομένης.

12 Ἑξῆς δ' ἐστὶν ἄκρα Τερμέριον Μυνδίων, καθ' ἣν ἀντίκειται τῆς Κῴας **18** ἄκρα Σκανδαρία, διέχουσα τῆς ἠπείρου σταδίους τετταράκοντα· ἔστι δὲ καὶ χωρίον Τέρμερον ὑπὲρ τῆς ἄκρας.

Ἡ δὲ τῶν Κῴων πόλις ἐκαλεῖτο τὸ παλαιὸν Ἀστυπάλαια καὶ ᾤκεῖτο ἐν **19**
16 ἄλλῳ τόπῳ ὁμοίως ἐπὶ θαλάττῃ· ἔπειτα διὰ στάσιν μετῴκησαν εἰς τὴν νῦν πόλιν περὶ τὸ Σκανδάριον καὶ μετωνόμασαν Κῶν ὁμωνύμως τῇ νήσῳ. ἡ μὲν οὖν πόλις οὐ μεγάλη, κάλλιστα δὲ πασῶν συνῳκισμένη καὶ ἰδέσθαι τοῖς καταπλέουσιν ἡδίστη. τῆς δὲ νήσου τὸ μέγεθος ὅσον πεντακοσίων σταδίων
20 καὶ πεντήκοντα. εὔκαρπος δὲ πᾶσα, οἴνῳ δὲ καὶ ἀρίστη, καθάπερ Χίος καὶ Λέσβος. ἔχει δὲ πρὸς νότον μὲν ἄκραν τὸν Λακητῆρα, ἀφ' οὗ ἑξήκοντα εἰς Νίσυρον (πρὸς δὲ τῷ Λακητῆρι χωρίον Ἁλίσαρνα), ἀπὸ δύσεως δὲ τὸ Δρέκανον καὶ κώμην καλουμένην Στομαλίμνην· τοῦτο μὲν οὖν ὅσον διακοσίους
24 τῆς πόλεως διέχει σταδίους, ὁ δὲ Λακητὴρ προσλαμβάνει πέντε καὶ τριάκοντα τῷ μήκει τοῦ πλοῦ. ἐν δὲ τῷ προαστίῳ τὸ Ἀσκληπιεῖόν ἐστι, σφόδρα ἔνδοξον καὶ πολλῶν ἀναθημάτων μεστὸν ἱερόν, ἐν οἷς ἐστι καὶ ὁ Ἀπελλοῦ Ἀντίγονος· ἦν δὲ καὶ ἡ Ἀναδυομένη Ἀφροδίτη, ἣ νῦν ἀνάκειται τῷ Θεῷ
28 Καίσαρι ἐν Ῥώμῃ, τοῦ Σεβαστοῦ ἀναθέντος τῷ πατρὶ τὴν ἀρχηγέτιν τοῦ γένους αὐτοῦ (φασὶ δὲ τοῖς Κῴοις ἀντὶ τῆς γραφῆς ἑκατὸν ταλάντων ἄφεσιν γενέσθαι τοῦ προσταχθέντος φόρου). φασὶ δ' Ἱπποκράτην μάλιστα ἐκ τῶν ἐνταῦθα ἀνακειμένων θεραπειῶν γυμνάσασθαι τὰ περὶ τὰς διαίτας.
32 οὗτός τε δή ἐστι τῶν ἐνδόξων Κῷος ἀνὴρ καὶ Σῖμος ὁ ἰατρός, Φιλίτας

19 sq. Greg. 23^v marg.

9 πρὶν pro πλὴν D **10** δ' (δὲ D) ante ὕστερον add. codd.: del. Xylander **12** τῆς Κῴας om. P **13** ἄκρα Σκανδαρία Xylander: ακρασκανδαρια P, ἄκρας κανδαρία BCF, ἄκρας κανδαρεία D, ἄκρα κανδαρία E τεττε- P **14** τερμέριον E; Τέρμερα? ἄκρας Palmerius (348): κωιας P, κώας CDEF, κῶας B **15** ἀστυπαλαία F **16** μετῴκισαν C, ᾤκησαν E **17** Σκανδάριον Tzschucke (*iuxta Scandariam* iam verterat Xylander): σκάνδαλον E, σκανδάλιον cett. **19** τὸ δὲ τῆς νήσου μέγεθος E^{pc}, τὸ δὲ μέγεθος τῆς νήσου E^{ac} μῆκος pro μέγεθος D **22** Λακητῆρι χωρίον Korais: -τηρίῳ χωρίῳ codd. Ἁλάσαρνα Bürchner (RE s. v. Halisarna [2]) **23** κώμη καλουμένη C Στομαλίμνην Casaubonus: στόμα λίμνην B, στόμα λίμνη CD, στομαλίμνη F; στόμα λίμνης q **25** προαστείῳ qxyz **26** ἱερόν om. F **29** {αὐτοῦ}? **30** ἐπιταχθέντος? Meineke **32** κώων D^{pc} (κώως D^{ac}) σίμος F Φιλίτας BCD hqz: φιλιτας P, φιλιτὰς F; Φιλήτας ixy, Xylander, Φιλητᾶς Tzschucke

aufhielt, aber er lehnte das dankend ab, ernannte sie zur Königin und überließ, nachdem er die Stadt bis auf die Burg (sie war doppelt) erobert hatte, die Belagerung ihr. Kurz darauf wurde auch die Burg erobert, da die Belagerung nunmehr mit Wut und Hass betrieben wurde.

12 Anschließend folgt Termerion, eine Landspitze der Myndier, der im Koi- **18** schen die vierzig Stadien vom Festland entfernte Skandarische Landspitze gegenüberliegt. Es gibt auch einen Ort Termeron oberhalb der Landspitze.

16 Die Stadt der Koer hieß in alter Zeit Astypalaia und lag an einer anderen **19** Stelle, ebenfalls am Meer; später sind sie infolge innerer Streitigkeiten in die heutige Stadt beim Skandarion umgesiedelt und haben ihr denselben Namen wie die Insel, Kos, gegeben. Die Stadt ist nicht groß, hat aber von allen Städten die schönste Lage und bietet beim Einlaufen in den Hafen den er-
20 freulichsten Anblick. Der Umfang der Insel beträgt etwa fünfhundertundfünfzig Stadien. Sie ist überall fruchtreich und was Wein betrifft sogar vorzüglich, ebenso wie Chios und Lesbos. Im Süden hat sie die Landspitze Laketer, von wo es sechzig Stadien nach Nisyros sind (bei dem Laketer liegt der Ort Halisarna), im Westen das Drekanon und ein Dorf mit dem Namen
24 Stomalimne; das Drekanon ist etwa zweihundert Stadien von der Stadt entfernt, bis zum Laketer braucht das Schiff noch weitere fünfunddreißig. Vor der Stadt liegt das Asklepieion, ein sehr berühmtes und mit vielen Weihgeschenken angefülltes Heiligtum, zu denen auch der Antigonos des Apelles gehört; es befand sich dort auch die Auftauchende Aphrodite, die jetzt in
28 Rom dem Gott Cäsar geweiht ist, wo Augustus seinem Vater die Stammutter seines Geschlechts gestiftet hat (den Koern sollen für das Gemälde hundert Talente von dem auferlegten Tribut erlassen worden sein). Man sagt, Hippokrates habe sich vor allem aufgrund der dort geweihten Heilungen in der
32 Diätetik geübt. Außer ihm gehören zu den berühmten Koern der Arzt Simos

658C. τε, ποιητὴς ἅμα καὶ κριτικός, καὶ καθ' ἡμᾶς Νικίας | ὁ καὶ τυραννήσας
Κῴων καὶ Ἀρίστωνος ἀκροασάμενος τοῦ Περιπατητικοῦ καὶ κληρονομήσας
ἐκεῖνον· ἦν δὲ καὶ Θεόμνηστος ὁ ψάλτης ἐν ὀνόματι, ὃς καὶ ἀντεπολιτεύ-
4 σατο τῷ Νικίᾳ.

Ἐν δὲ τῇ παραλίᾳ τῆς ἠπείρου κατὰ τὴν Μυνδίαν Ἀστυπάλαιά ἐστιν **20**
ἄκρα καὶ Ζεφύριον, εἶτ' εὐθὺς ἡ Μύνδος, λιμένα ἔχουσα, καὶ μετὰ ταύτην
Βαργύλια, καὶ αὕτη πόλις· ἐν δὲ τῷ μεταξὺ Καρύανδα λιμὴν καὶ πόλις
8 καὶ νῆσος ὁμώνυμος ταύτῃ, ἣν ᾤκουν Καρυανδεῖς (ἐντεῦθεν δ' ἦν καὶ Σκύ-
λαξ ὁ παλαιὸς συγγραφεύς). πλησίον δ' ἐστὶ τῶν Βαργυλίων τὸ τῆς Ἀρτέ-
μιδος ἱερὸν τῆς Κινδυάδος, ὃ πεπιστεύκασι περιύεσθαι (ἦν δέ ποτε καὶ
χωρίον Κινδύη). ἐκ δὲ τῶν Βαργυλίων ἀνὴρ ἐλλόγιμος ἦν ὁ Ἐπικούρειος
12 Πρώταρχος, ὁ Δημητρίου καθηγησάμενος τοῦ Λάκωνος προσαγορευθέντος.

Εἶτ' Ἰασὸς ἐπὶ νήσῳ κεῖται προσκειμένῃ τῇ ἠπείρῳ. ἔχει δὲ λιμένα, **21**
καὶ τὸ πλεῖστον τοῦ βίου τοῖς ἐνθάδε ἐκ θαλάττης· εὐοψεῖ γὰρ χώραν τ'
ἔχει παράλυπρον. καὶ δὴ καὶ διηγήματα τοιαῦτα πλάττουσιν εἰς αὐτήν.
16 κιθαρῳδοῦ γὰρ ἐπιδεικνυμένου τέως μὲν ἀκροᾶσθαι πάντας, ὡς δ' ὁ κώδων
ὁ κατὰ τὴν ὀψοπωλίαν ἐψόφησε, καταλιπόντας ἀπελθεῖν ἐπὶ τὸ ὄψον πλὴν
ἑνὸς δυσκώφου· τὸν οὖν κιθαρῳδὸν προσιόντα εἰπεῖν ὅτι 'ὦ ἄνθρωπε,
πολλήν σοι χάριν οἶδα τῆς πρός με τιμῆς καὶ φιλομουσίας· οἱ μὲν γὰρ
20 ἄλλοι ἅμα τῷ τοῦ κώδωνος ψοφοῦντος ἀκοῦσαι ἀπιόντες οἴχονται'· ὁ δέ
'τί λέγεις;' ἔφη· 'ἤδη γὰρ ὁ κώδων ἐψόφηκεν;', εἰπόντος δέ 'εὖ σοι εἴη'
ἔφη καὶ ἀναστὰς ἀπῆλθε καὶ αὐτός. ἐντεῦθεν δ' ἦν ὁ διαλεκτικὸς Διόδωρος
ὁ Κρόνος προσαγορευθείς, κατ' ἀρχὰς μὲν ψευδῶς· Ἀπολλώνιος γὰρ ἐκαλεῖτο
24 Κρόνος, ὁ ἐπιστατήσας ἐκείνου· μετήνεγκαν δ' ἐπ' αὐτὸν διὰ τὴν ἀδοξίαν
τοῦ κατ' ἀληθείαν Κρόνου.

7–9 *St. B. 362, 9–12

33 κριτικός DF: κρητ- BC   Νικίας F: νικείας BCD   **658 2** Ἀρίστωνος Bywater (JPh 10, 1882, 79): ἀρίστων ὁ codd.   **4** Νικίᾳ F: νικείᾳ BCD   **5** Ἀστυπάλαιά Berkelius (189[64]): -πάλειά E, -παλία cett.; -παλαία Hopper   **7** Βαργύλια Holstenius (63): -γυλία codd.   δὲ om. D   καρυάνδα DE   λιμὴν Salmasius (teste Holstenio 163), Berkelius (453[99]): λ[....] P, λίμνη cett.   **7 sq.** καὶ πόλις P: om. cett.   καὶ νῆσος BCDF: om. P; λιμὴν καὶ νῆσος ⟨καὶ πόλις⟩ Jacoby (FGrHist 709 T 2)   **8** ταύτῃ om. E   δ' om. F   ἦν {καὶ}?   **11** Ἐπικούρειος q: -κούριος BCDFP   **13** Ἰασὸς DPh (e quo codice recepit Tzschucke): ἰασσὸς BCEF   προσκειμένῃ Korais: -η codd.   **15** καὶ post. om. FP   διηγημάτια? Korais coll. 651, 28 sq.   **16** ἀκροᾶσθαι C: ακρο.σ[P, ἠκροᾶσθαι BDF   **17** καταλιπόντας ⟨πάντας⟩ Cobet (V. L. 366)   **20** ἅμα τῷ τοῦ i, Korais, Cobet (V. L. 366), Charitonidis (Platon 2, 1950, 2, 90), Aly (1956, 223): αμ[.....]ου P, ἅμα τοῦ BCDF; ἅμα τῷ q   ψοφοῦντος P (ψο[...]ντος): om. cett.   **24** Κρόνος P (coniecit Cascorbi 27): ὁ κρόνος cett.

und Philitas, Dichter und Kritiker zugleich, und zu unserer Zeit Nikias, der
658 nicht nur Tyrann von Kos gewesen ist sondern auch den Peripatetiker Ari-
ston gehört und beerbt hat; namhaft war auch der Harfenspieler Theomnes-
4 tos, der auch Nikias' politischer Gegner war.

An der Küste des Festlandes liegen im Myndischen die Landspitzen Asty- **20**
palaia und Zephyrion und gleich darauf Myndos mit einem Hafen und da-
nach Bargylia, ebenfalls eine Stadt; dazwischen liegt Karyanda, ein Hafen
8 und eine Stadt und eine mit ihr gleichnamige Insel, die die Karyander be-
wohnt haben (von dort stammte auch Skylax, der alte Geschichtsschreiber).
In der Nähe von Bargylia liegt das Heiligtum der Artemis Kindyas, von
dem man glaubt, es werde vom Regen ausgespart (es gab einst auch einen
12 Ort Kindye). Ein berühmter Mann aus Bargylia war der Epikureer Protar-
chos, der Lehrer des Demetrios mit dem Beinamen Lakon.

Dann kommt Iasos, das auf einer ans Festland stoßenden Insel liegt. Es **21**
hat einen Hafen, und den größten Teil ihres Lebensunterhalts haben die
Leute hier aus dem Meer: denn es gibt hier viel Fisch und das Land ist ziem-
lich karg. Daher erfindet man auch Geschichten über sie wie die folgende.
16 Ein Kitharode gab ein Recital. Erst hätten Alle zugehört, als aber die Glok-
ke für den Fischverkauf läutete, hätten sie ihn sich selbst überlassen und sei-
en zu dem Fisch gelaufen, bis auf Einen, der schwerhörig war. Der Kitharo-
de sei zu ihm herangetreten und habe gesagt 'Guter Mann, ich bin dir sehr
dankbar für die Ehre die du mir erweist und für deine Musikliebe; denn die
20 Anderen sind sofort, als sie die Glocke läuten hörten, weggelaufen'. 'Was
sagst du?' rief der Schwerhörige 'Hat also die Glocke schon geläutet?'. Und
als der Andere bejahte, sagte er 'Alles Gute!', stand auf und lief ebenfalls
weg. Von dort stammte der Dialektiker Diodoros mit dem Beinamen Kro-
nos, den er ursprünglich fälschlich trug: denn Apollonios, der sein Lehrer
24 gewesen war, wurde Kronos genannt; aber die Leute übertrugen den Namen
auf ihn wegen der Unbekanntheit des wirklichen Kronos.

Μετὰ δ' Ἰασὸν τὸ τῶν Μιλησίων Ποσίδειόν ἐστιν. ἐν δὲ τῇ μεσογαίᾳ **22**
τρεῖς εἰσι πόλεις ἀξιόλογοι, Μύλασα, Στρατονίκεια, Ἀλάβανδα, αἱ δ' ἄλλαι
28 περιπόλιοι τούτων ἢ τῶν παραλίων· ὧν εἰσιν Ἀμυζών, Ἡράκλεια, Εὔρωμος,
Χαλκήτωρ· τούτων μὲν οὖν ἐλάττων λόγος.

Τὰ δὲ Μύλασα ἵδρυται μὲν ἐν πεδίῳ σφόδρα εὐδαίμονι, ὑπέρκειται δὲ **23**
κατὰ κορυφὴν ὄρος †αὐτοῦ† λατόμιον λευκοῦ λίθου κάλλιστον ἔχον. τοῦτο
32 μὲν οὖν ὄφελός ἐστιν οὐ μικρόν, τὴν λιθείαν πρὸς τὰς οἰκοδομίας ἄφθο-
νον καὶ ἐγγύθεν ἔχειν, καὶ μάλιστα πρὸς τὰς τῶν ἱερῶν καὶ τῶν ἄλλων
659C. τῶν δημοσίων ἔργων κατασκευάς | (τοιγάρτοι στοαῖς τε καὶ ναοῖς εἴ τις
ἄλλη κεκόσμηται παγκάλως), θαυμάζειν δ' ἐστὶ τῶν ὑποβαλόντων οὕτως ἀλό-
γως τὸ κτίσμα ὀρθίῳ καὶ ὑπερδεξίῳ κρημνῷ· καὶ δὴ καὶ τῶν ἡγεμόνων τις
4 εἰπεῖν λέγεται θαυμάσας τὸ πρᾶγμα 'ταύτην γάρ' ἔφη 'τὴν πόλιν ὁ κτίσας
εἰ μὴ ἐφοβεῖτο, ἆρ' οὐδ' ᾐσχύνετο;'. ἔχουσι δ' οἱ Μυλασεῖς ἱερὰ δύο τοῦ
Διός, τοῦ τε Ὀσογῶ καλουμένου καὶ τοῦ Λαβραϋνδηνοῦ, τὸ μὲν ἐν τῇ πόλει,
τὰ δὲ Λαβράϋνδα κώμη ἐστὶν ἐν τῷ ὄρει κατὰ τὴν ὑπέρθεσιν τὴν ἐξ Ἀλα-
8 βάνδων εἰς τὰ Μύλασα, ἄπωθεν τῆς πόλεως· ἐνταῦθα νεώς ἐστιν ἀρχαῖος
καὶ ξόανον Διὸς Στρατίου, τιμᾶται δὲ ὑπὸ τῶν κύκλῳ καὶ ὑπὸ τῶν Μυλα-
σέων· ὁδός τε ἔστρωται σχεδόν τι καὶ ἑξήκοντα σταδίων μέχρι τῆς πόλεως
Ἱερὰ καλουμένη, δι' ἧς πομποστολεῖται τὰ ἱερά· ἱερῶνται δ' οἱ ἐπιφανέσ-
12 τατοι τῶν πολιτῶν ἀεὶ διὰ βίου. ταῦτα μὲν οὖν ἴδια τῆς πόλεως, τρίτον
δ' ἐστὶν ἱερὸν τοῦ Καρίου Διὸς κοινὸν ἁπάντων Καρῶν, οὗ μέτεστι καὶ Λυ-
δοῖς καὶ Μυσοῖς ὡς ἀδελφοῖς. ἱστορεῖται δὲ κώμη ὑπάρξαι τὸ παλαιόν,

659 7 St. B. 405, 6

26 Ἰασὸν P (coniecit Tzschucke): ἰασσὸν cett. Ποσίδειόν scripsi (vide 632, 12 comm.): ποσίδιόν F, ποσείδιόν cett. **27** μύλασσα F δὲ pro δ' q **28** περιπόλια Meineke (Vind. 87 sq.) εὔρωμος D **29** Χαλκήτορες Meineke μὲν DFP: om. BC **30** μὲν DFP: om. BCq **31** cruces apposui; αὐτῶν Meineke (3, IV ad 919, 10), αἰπὺ Müller (1030 ad 562, 25), ἀπότομον Vogel (1880, 343); ἀπότομον vel κρημνῶδες ante κατὰ κορυφήν excidisse coniecit Groskurd λατομειον P **32** λιθείαν xyz: λιθίαν BCDFP (cf. 538, 28 comm.) τὰς om. B **33** ἔχειν Kassel: ἔχον codd. **34** {τῶν} Tzschucke 659 **3** καὶ δὴ καὶ BC: καὶ δὴ DFP **4** {γὰρ ἔφη} Korais **5** ἆρ' Korais: αρ P, ἄρ' CD, ἀρ' B, θὰρ' F (ut vid.) Μυλασεῖς CF: μυλασσ- BDP **6** Ὀσογῶ BCFP: ὀσογὼ D[pc], ὀσωγὼ D[ac] (ut vid.); Ὀσογῶα Meineke (Vind. 226) καὶ τοῦ P: καὶ cett. Λαβραϋνδηνοῦ BC: λαβ[...]ν- P, λαβραν- DF **7** Λαβράϋνδα scripsi (vide 6 sq. comm.): λαβραυν[P, λάβραυνδα BC, λάβρανδα DF, St. B. **8** ἄπωθεν D: ἄπο- BCF **11** ἱέρωνται BC **12** ἴδια Xylander: διὰ codd. **13 sq.** καὶ μυσοῖς καὶ λυδοῖς D

Nach Iasos kommt das Posideion der Milesier. Im Binnenland liegen drei **22**
bedeutende Städte: Mylasa, Stratonikeia und Alabanda; die übrigen sind
28 Umwohnerstädte dieser drei oder der Küstenstädte, wie z. B. Amyzon, Herakleia, Euromos und Chalketor; sie spielen eine geringere Rolle.

Mylasa liegt zwar in einer (überaus gesegneten) Ebene, aber senkrecht **23**
über der Stadt erhebt sich ein Berg, der einen trefflichen Steinbruch von
32 weißem Marmor hat. Nun ist dies freilich kein geringer Vorteil, den Stein
für den Häuserbau im Überfluss und in der Nähe zu haben, besonders für
659 die Errichtung der Heiligtümer und der anderen öffentlichen Bauten (daher
die Stadt denn auch wie nur eine prächtig mit Säulenhallen und Tempeln geschmückt ist), doch kann man sich wundern über die Leute die die Stadt so
unbedacht unter eine steil emporragende Wand gelegt haben; so soll denn
4 auch ein Statthalter in seinem Staunen über die Sache gesagt haben 'Ja, hat
denn der Gründer dieser Stadt, wenn er schon keine Angst hatte, sich auch
gar nicht geschämt?'. Die Mylasier haben zwei Heiligtümer des Zeus, das
des sogenannten Osogos und das des Labrayndenischen; ersteres liegt in der
Stadt, Labraynda aber ist ein Dorf auf dem Berg bei dem Übergang von
8 Alabanda nach Mylasa, weit von der Stadt. Dort steht ein alter Tempel mit
einem Kultbild des Zeus Stratios; er wird verehrt von den Umwohnenden
und von den Mylasiern, und man hat eine Straße von nicht weniger als fast
sechzig Stadien bis zur Stadt gepflastert, die Heilige genannt, über die die
Opfertiere in einer Prozession zu dem Heiligtum gebracht werden; das Prie-
12 steramt versehen immer die angesehensten Bürger auf Lebenszeit. Dies sind
die der Stadt eigenen Zeusheiligtümer; ein drittes, das des Karischen Zeus,
ist allen Karern gemeinsam, und auch die Lyder und die Myser haben als
Brüder teil an ihm. Mylasa soll in alter Zeit ein Dorf und die Heimat und

πατρὶς δὲ καὶ βασίλειον τῶν Καρῶν τῶν περὶ τὸν Ἑκατόμνω. πλησιάζει δὲ
16 μάλιστα τῇ κατὰ Φύσκον θαλάττῃ ἡ πόλις, καὶ τοῦτ' ἐστὶν αὐτοῖς ἐπίνειον.

Ἀξιολόγους δ' ἔσχεν ἄνδρας καθ' ἡμᾶς τὰ Μύλασα ῥήτοράς τε ἅμα καὶ **24**
δημαγωγοὺς τῆς πόλεως Εὐθύδημόν τε καὶ Ὑβρέαν. ὁ μὲν οὖν Εὐθύδημος ἐκ
προγόνων παραλαβὼν οὐσίαν τε μεγάλην καὶ δόξαν, προσθεὶς ⟨δὲ⟩ καὶ τὴν
20 δεινότητα, οὐκ ἐν τῇ πατρίδι μόνον μέγας ἦν ἀλλὰ καὶ ἐν τῇ Ἀσίᾳ τῆς
πρώτης ἠξιοῦτο τιμῆς. Ὑβρέᾳ δ' ὁ πατήρ, ὡς αὐτὸς διηγεῖτο ἐν τῇ σχολῇ
καὶ παρὰ τῶν πολιτῶν ὡμολόγητο, ἡμίονον κατέλιπε ξυλοφοροῦντα καὶ ἡμι-
ονηγόν· διοικούμενος δ' ὑπὸ τούτων ὀλίγον χρόνον Διοτρέφους τοῦ Ἀντιοχέ-
24 ως ἀκροασάμενος ἐπανῆλθε καὶ τῷ ἀγορανομίῳ παρέδωκεν αὐτόν. ἐνταῦθα δὲ
κυλινδηθεὶς καὶ χρηματισάμενος μικρὰ ὥρμησεν ἐπὶ τὸ πολιτεύεσθαι καὶ
τοῖς ἀγοραίοις συνακολουθεῖν, ταχὺ δὲ αὔξησιν ἔσχε καὶ ἐθαυμάσθη ἔτι
μὲν καὶ Εὐθυδήμου ζῶντος, ἀλλὰ τελευτήσαντος μάλιστα, κύριος γενόμενος
28 τῆς πόλεως (ζῶν δ' ἐπεκράτει πολὺ ἐκεῖνος, δυνατὸς ὢν ἅμα καὶ χρήσιμος
τῇ πόλει, ὥστ' εἰ καί τι τυραννικὸν προσῆν, τοῦτ' ἀπελύετο τῷ παρακολου-
θεῖν τὸ χρήσιμον· ἐπαινοῦσι γοῦν τοῦτο τοῦ Ὑβρέου, ὅπερ δημηγορῶν ἐπὶ
τελευτῆς εἶπεν· 'Εὐθύδημε, κακὸν εἶ τῆς πόλεως ἀναγκαῖον· οὔτε γὰρ
660C. μετὰ σοῦ δυνάμεθα ζῆν οὔτ' ἄνευ σοῦ'). αὐξηθεὶς οὖν ἐπὶ πολὺ | καὶ δόξας
καὶ πολίτης ἀγαθὸς εἶναι καὶ ῥήτωρ ἔπταισεν ἐν τῇ πρὸς Λαβιῆνον ἀντι-
πολιτείᾳ. οἱ μὲν γὰρ ἄλλοι μεθ' ὅπλων ἐπιόντι καὶ Παρθικῆς συμμαχίας
4 (ἤδη τῶν Παρθυαίων τὴν Ἀσίαν ἐχόντων) εἶξαν ἅτε ἄοπλοι καὶ εἰρηνικοί,
Ζήνων δ' ὁ Λαοδικεὺς καὶ Ὑβρέας οὐκ εἶξαν, ἀμφότεροι ῥήτορες, ἀλλ' ἀπ-
έστησαν τὰς ἑαυτῶν πόλεις. ὁ δ' Ὑβρέας καὶ προσπαρώξυνε φωνῇ τινι μει-
ράκιον εὐερέθιστον καὶ ἀνοίας πλῆρες· ἐκείνου γὰρ ἀνειπόντος ἑαυτὸν
8 Παρθικὸν αὐτοκράτορα 'οὐκοῦν' ἔφη 'κἀγὼ λέγω ἐμαυτὸν Καρικὸν αὐτοκρά-
τορα'. ἐκ τούτου δὲ ἐπὶ τὴν πόλιν ὥρμησε, τάγματα ἔχων ἤδη συντεταγ-
μένα Ῥωμαίων τῶν ἐν τῇ Ἀσίᾳ· αὐτὸν μὲν οὖν οὐ κατέλαβε παραχωρήσαντα

15 τὸν Korais: τὸ BCF, τῷ D πλησιάζει ⟨μὲν μάλιστα τῇ θαλάττῃ κατὰ Πάσσαλα, χρῆται⟩ Aly (1957, 42) **16** φῦσκον F αὐτῆς D **17** Μύλασα DF: μύλασσα BC **19** μεγάλην om. D addidi **22** ὁμολογεῖτο C[ac], ut vid. **23** Διοτρέφους Korais: -τρεφοῦς CDF, -τρεφοὺς B **24** αὐτόν C: ἑαυ- D, αὐ- BF **26** ἔτι ed. pr.: μάλιστα ἔτι codd. (unde 26 sq. ἔτι — μάλιστα om. D[ac]) **29 sq.** τῷ παρακολουθοῦντι χρησίμῳ Korais 660 **2** Λαβιῆνον F (coniecit Xylander; *Labienum* iam Tifernate): ἀλβιῆνον cett.; Λαβιηνὸν Meineke **7** εἰπόντος F **9** ⟨πέντε (i. e. ε')⟩ τάγματα Cobet (Misc. 195), τάγματα ⟨δ'⟩ Miller (1878, 263)

Residenz der Karer gewesen sein die zu der Familie des Hekatomnos gehör-
16 ten. Die Stadt liegt dem Meer bei Physkos am nächsten, und das ist auch ihr
Hafenplatz.

An nennenswerten Männern hatte Mylasa zu unserer Zeit Euthydemos **24**
und Hybreas, Redner und zugleich Volksführer der Stadt. Euthydemos, der
von seinen Vorfahren ein großes Vermögen und Ansehen geerbt und sein ei-
20 genes Können hinzugefügt hatte, war nicht nur in seiner Heimat ein großer
Mann, sondern wurde auch in Asien der höchsten Ehre gewürdigt. Dem
Hybreas hatte sein Vater, wie er selber seinen Schülern erzählte und seine
Mitbürger bestätigten, ein Maultier zum Holztragen und einen Maultier-
treiber hinterlassen. Nachdem er, von diesen ernährt, kurze Zeit Schüler
24 des Antiocheers Diotrephes gewesen war, kehrte er zurück und widmete
sich der Marktverwaltung. Als er sich darin umgetrieben und etwas Geld er-
worben hatte, begann er sich politisch zu betätigen und sich auf die Seite
des gemeinen Volkes zu schlagen. Schnell stieg er empor und wurde noch zu
Euthydemos' Lebzeiten bewundert, vor allem aber nach dessen Tode, als er
28 Herr der Stadt geworden war (solange er lebte, hatte Euthydemos bei wei-
tem die Oberhand, da er einflussreich und zugleich der Stadt nützlich war,
so dass, wenn ihm auch etwas Tyrannisches anhaftete, das wieder gutge-
macht wurde durch den Nutzen der sich daraus ergab; man lobt jedenfalls
folgenden Ausspruch des Hybreas, den er am Schluss einer Ansprache vor
dem Volk getan hat: 'Euthydemos, du bist ein notwendiges Übel der Stadt:
denn wir können weder mit dir leben noch ohne dich'). Nachdem er also zu
660 großer Macht emporgestiegen war und sich den Ruf eines guten Bürgers
und Redners erworben hatte, scheiterte er bei seinem Widerstand gegen La-
bienus. Als dieser nämlich mit Waffen und parthischen Verbündeten heran-
4 rückte (die Parther waren bereits im Besitz von Asien), gaben alle Anderen
auf, da sie unbewaffnet und friedliebend waren, Zenon aber, der Laodikeer,
und Hybreas, beide Redner, gaben nicht auf, sondern widersetzten sich mit
ihren Städten. Hybreas hatte dazu noch den leichtgereizten, von Unbeson-
nenheit erfüllten jungen Mann durch ein Bonmot aufgebracht. Als dieser
8 sich nämlich zum Parthischen Imperator ausgerufen hatte, sagte er 'Dann
nenne *ich* mich den Karischen Imperator'. Darauf zog er gegen die Stadt los
(er hatte inzwischen regelrechte Legionen von in Asien stehenden Römern).
Hybreas selber bekam er zwar nicht in die Hände — er war nach Rhodos

εἰς 'Ρόδον, τὴν δ' οἰκίαν αὐτοῦ διελυμήνατο πολυτελεῖς ἔχουσαν κατασκευὰς
12 καὶ διήρπασεν· ὣς δ' αὔτως καὶ τὴν πόλιν ὅλην ἐκάκωσεν. ἐκλιπόντος δ'
ἐκείνου τὴν 'Ασίαν ἐπανῆλθε καὶ ἀνέλαβεν ἑαυτόν τε καὶ τὴν πόλιν. περὶ
μὲν οὖν Μυλάσων ταῦτα.

Στρατονίκεια δ' ἐστὶ κατοικία Μακεδόνων· ἐκοσμήθη δὲ καὶ αὕτη κατα- **25**
16 σκευαῖς πολυτελέσιν ὑπὸ τῶν βασιλέων. ἔστι δ' ἐν τῇ χώρᾳ τῶν Στρατονι-
κέων δύο ἱερά, ἐν μὲν Λαγίνοις τὸ τῆς 'Εκάτης, ἐπιφανέστατον, πανηγύ-
ρεις μεγάλας συνάγον κατ' ἐνιαυτόν, ἐγγὺς δὲ τῆς πόλεως τὸ τοῦ Χρυσα-
ορέως Διός, κοινὸν ἁπάντων Καρῶν, εἰς ὃ συνίασι θύσοντές τε καὶ βου-
20 λευσόμενοι περὶ τῶν κοινῶν. καλεῖται δὲ τὸ σύστημα αὐτῶν Χρυσαορέων,
συνεστηκὸς ἐκ κωμῶν, οἱ δὲ πλείστας παρεχόμενοι κώμας προέχουσι τῇ
ψήφῳ, καθάπερ Κεραμιῆται· καὶ Στρατονικεῖς δὲ τοῦ συστήματος μετέχουσιν
οὐκ ὄντες τοῦ Καρικοῦ γένους, ἀλλ' ὅτι κώμας ἔχουσι τοῦ Χρυσαορικοῦ
24 συστήματος. κἀνταῦθα δ' ἀνὴρ ἀξιόλογος γεγένηται ῥήτωρ Μένιππος κατὰ
τοὺς πατέρας ἡμῶν, Κοτοκᾶς ἐπικαλούμενος· ὃν μάλιστα ἐπαινεῖ τῶν κατὰ
τὴν 'Ασίαν ῥητόρων ὧν ἠκροάσατο Κικέρων, ὥς φησιν ἔν τινι γραφῇ (Brut.
315) αὐτός, συγκρίνων Ξενοκλεῖ καὶ τοῖς κατ' ἐκεῖνον ἀκμάζουσιν. ἔστι
28 δὲ καὶ ἄλλη Στρατονίκεια, ἡ πρὸς τῷ Ταύρῳ καλουμένη, πολίχνιον προσ-
κείμενον τῷ ὄρει.

'Αλάβανδα δὲ καὶ αὐτὴ μὲν ὑπόκειται λόφοις δυσὶ συγκειμένοις οὕτως **26**
ὥστ' ὄψιν παρέχεσθαι κανθηλίου κατεστρωμένου (καὶ δὴ καὶ ὁ Μαλακὸς
32 'Απολλώνιος σκώπτων τὴν πόλιν εἴς τε ταῦτα καὶ εἰς τὸ τῶν σκορπίων
πλῆθος ἔφη αὐτὴν εἶναι σκορπίων κανθήλιον κατεστρωμένον· μεστὴ δ' ἐστὶ
καὶ αὕτη καὶ ἡ τῶν Μυλασέων πόλις τῶν θηρίων τούτων καὶ ἡ μεταξὺ πᾶσα
661C. ὀρεινή), | τρυφητῶν δ' ἐστὶν ἀνθρώπων καὶ καπυριστῶν, ἔχουσα ψαλτρίας
πολλάς. ἄνδρες δ' ἐγένοντο λόγου ἄξιοι δύο ῥήτορες ἀδελφοὶ 'Αλαβανδεῖς,

11 τὴν post εἰς add. B **12** ὣς δ' αὔτως scripsi (cf. Schwyzer 2, 577): ὡς δ' αὔτως codd. **13** {τὴν 'Ασίαν} v. Herwerden (450 sq.) **14** Μυλάσων D^{ac}: -άσσων BCD^{pc}, -ασσῶν F **22** Στρατονικεῖς C: -νικιεῖς BDF **24** ῥήτωρ om. C **25** Κοτοκᾶς F^{pc}: κοτόκας BCD, κατοκᾶς F^{ac} **30** αὐτὴ Falconer: αὕτη codd. {μὲν}? Meineke (3, V ad 922, 3) **31** κατεστρωμένου q: κατεστραμμ- BCDEF καὶ post. om. F **32** τὸ om. F τῶν om. E **33** κατεστρωμένον Xylander: κατεστραμμ- codd.; κατεστρωμένον ⟨μεστόν⟩ v. Herwerden (451) **34** μυλασσ- D^{pc}

ausgewichen –, aber sein Haus, das eine kostbare Einrichtung hatte, richte-
12 te er übel zu und plünderte es, und ebenso wurde auch die ganze Stadt
schwer mitgenommen. Als er aber Asien verlassen hatte, ist Hybreas zurück-
gekehrt und hat sich und die Stadt wiederhergestellt. Soweit über Mylasa.

Stratonikeia ist eine makedonische Siedlung; auch sie ist von den Königen **25**
16 mit kostbaren Anlagen geschmückt worden. In dem Gebiet der Stratonikeer
liegen zwei Heiligtümer: in Lagina das der Hekate, das sehr berühmt ist
und jedes Jahr große Menschenmengen zu seinem Fest zieht, und in der Nä-
he der Stadt das des Zeus Chrysaoreus, das allen Karern gemeinsam ist und
20 wo sie zusammenkommen um zu opfern und sich über die gemeinsamen An-
gelegenheiten zu beraten. Ihr Bund wird Chrysaoreer-Bund genannt; er be-
steht aus Dörfern, und die welche die meisten Dörfer beisteuern, haben
mehr Gewicht bei der Abstimmung, wie z. B. die Keramiëter. Auch die Stra-
tonikeer sind Mitglied des Bundes, obwohl sie nicht karischen Stammes
24 sind, sondern weil sie Dörfer besitzen die zu dem Chrysaorischen Bund ge-
hören. Auch dort hat es, zur Zeit unserer Väter, einen bedeutenden Redner
gegeben: Menippos mit dem Beinamen Kotokas, den Cicero von allen Red-
nern in Asien, die er gehört hat, am meisten lobt, wie er in einer Schrift
(Brut. 315) selber sagt, wo er ihn mit Xenokles und den zu dessen Zeit in ih-
28 rer Blüte Stehenden vergleicht. Es gibt auch noch ein anderes Stratonikeia,
das 'am Tauros' genannte, eine an das Gebirge stoßende Kleinstadt.

Alabanda liegt ebenfalls am Fuß von zwei Hügeln, die so zusammenlie- **26**
gen dass sie aussehen wie ein beladener Packesel (daher hat denn auch der
32 Weiche Apollonios, um die Stadt nicht nur deswegen sondern auch wegen
ihrer großen Menge Skorpione zu verspotten, gesagt, sie sei ein mit Skor-
pionen beladener Packesel; nicht nur Alabanda sondern auch die Stadt der
Mylasier und das ganze Bergland dazwischen wimmelt von diesen Tieren),
661 ist aber eine Stadt von Schwelgern und Zechern, die viele Harfenspielerin-
nen beherbergt. Nennenswerte Alabander waren zwei Redner, die Brüder

Μενεκλῆς τε — οὗ ἐμνήσθημεν μικρὸν ἐπάνω (655, 23 sq.) — καὶ Ἱεροκλῆς, καὶ οἱ μετοικήσαντες εἰς τὴν Ῥόδον, ὅ τε Ἀπολλώνιος καὶ ὁ Μόλων.

27 Πολλῶν δὲ λόγων εἰρημένων περὶ Καρῶν ὁ μάλισθ' ὁμολογούμενός ἐστιν οὗτος ὅτι οἱ Κᾶρες ὑπὸ Μίνῳ ἐτάττοντο, τότε Λέλεγες καλούμενοι, καὶ τὰς νήσους ᾤκουν, εἶτ' ἠπειρῶται γενόμενοι πολλὴν τῆς παραλίας καὶ τῆς μεσογαίας κατέσχον τοὺς προκατέχοντας ἀφελόμενοι (καὶ οὗτοι δ' ἦσαν οἱ πλείους Λέλεγες καὶ Πελασγοί), πάλιν δὲ τούτους ἀφείλοντο μέρος οἱ Ἕλληνες, Ἴωνές τε καὶ οἱ Δωριεῖς. τοῦ δὲ περὶ τὰ στρατιωτικὰ ζήλου τά τε ὄχανα ποιοῦνται τεκμήρια καὶ τὰ ἐπίσημα καὶ τοὺς λόφους· ἅπαντα γὰρ ⟨ταῦτα⟩ λέγεται Καρικά· Ἀνακρέων μέν γέ φησι (PMG 401)

διὰ δεῦτε Καρικοεργέος
ὀχάνου χεῖρα τιθέμενοι,

ὁ δ' Ἀλκαῖος (fr. 388 Voigt)

λόφον τε σείων Καρικόν.

28 Τοῦ ποιητοῦ δ' εἰρηκότος οὑτωσί (B 867)

Μάσθλης αὖ Καρῶν ἡγήσατο βαρβαροφώνων

οὐκ ἔχει λόγον πῶς τοσαῦτα εἰδὼς ἔθνη βάρβαρα μόνους εἴρηκε βαρβαροφώνους τοὺς Κᾶρας, βαρβάρους δ' οὐδένας. οὔτ' οὖν Θουκυδίδης (1, 3, 3) ὀρθῶς· οὐδὲ γὰρ λέγεσθαί φησι βαρβάρους 'διὰ τὸ μηδὲ Ἕλληνάς πω ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι'· τό τε γὰρ 'μηδὲ Ἕλληνάς πω' ψεῦδος αὐτὸς ὁ ποιητὴς ἀπελέγχει (α 344)

ἀνδρός, τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος

καὶ πάλιν (ο 80)

εἴτ' ἐθέλεις τραφθῆναι ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος·

μὴ λεγομένων τε βαρβάρων πῶς ἔμελλεν εὖ λεχθήσεσθαι τὸ βαρβαροφώνων; οὔτε δὴ οὗτος εὖ οὔτ' Ἀπολλόδωρος ὁ γραμματικός (FGrHist 244 F 207), ὅτι τῷ κοινῷ ὀνόματι ἰδίως καὶ λοιδόρως ἐχρῶντο οἱ Ἕλληνες κατὰ τῶν Καρῶν, καὶ μάλιστα οἱ Ἴωνες, μισοῦντες αὐτοὺς διὰ τὴν ἔχθραν καὶ τὰς

661 **10–6** *Eust. Il. 367, 23–5 **17–663, 5** Eust. Il. 367, 25–37

6 Μίνῳ Cobet (Misc. 197): -νω codd. **8** κατέχοντας F **10** οἱ om. D τοῦ δὲ στρατιωτικοῦ ζήλου D **11** ἅπαντα F: ἅπαντα μὲν cett. **12** addidi λέγονται E γάρ pro γέ C **13** δ' εὖτε E Καρικοεργέος E, Eust.: καρικὰ ὀεργέος D, καρικὰ ὁ ἐργέος BC, καρικὰ ὁ ἔργεος F **14** τιθέμενοι DE: τιθέμεναι BC, τιθέναι F **16** τε om. Eust. **21** μηδ' B **22** μηδὲ Korais: μήτε codd. **26** τραφθῆναι Korais: ταρφθ- codd. **27** {εὖ}? **30** οἱ om. F

waren, Menekles – den wir etwas weiter oben (655, 23 f.) erwähnt haben – und Hierokles, sowie die beiden nach Rhodos Ausgewanderten: Apollonios und Molon.

27 Bei dem Vielen was über die Karer berichtet wird ist man sich am meisten darüber einig dass die Karer, damals Leleger genannt, unter der Herrschaft des Minos gestanden und die Inseln bewohnt haben, dass sie dann Festlandbewohner geworden sind, einen großen Teil der Küste und des Binnenlandes in Besitz genommen haben, den sie den früheren Besitzern wegnahmen (auch dies waren größtenteils Leleger und Pelasger), und dass ihnen davon wiederum die Griechen, die Ionier und Dorier, einen Teil weggenommen haben. Als Zeugnisse ihres militärischen Ehrgeizes führt man die Schildhalter, die Schildzeichen und die Helmbüsche an: die werden nämlich alle 'karisch' genannt. Anakreon jedenfalls sagt (PMG 401)

Wieder durch karisch gefertigten
Schildhalter steckend die Hand,

und Alkaios (fr. 388 Voigt)

und karischen Helmbusch schüttelnd.

28 Wenn der Dichter sagt (Il. 2, 867)

Masthles aber führt' an die barbarisch sprechenden Karer,

ist es unverständlich wieso er, wo er soviele barbarische Völker kennt, nur die Karer 'barbarisch sprechend' und keine Leute 'Barbaren' nennt. Nun hat erstens Thukydides unrecht: er sagt nämlich (1, 3, 3), die Bezeichnung 'Barbaren' komme bei ihm nicht vor 'weil auch die Hellenen noch nicht zu *einem* gegensätzlichen Namen abgesondert waren'. Wird doch zum einen sein 'auch die Hellenen noch nicht' vom Dichter selber Lügen gestraft (Od. 1, 344)

Jenes Mannes, der weit durch Hellas und Argos berühmt ist

und noch einmal (Od. 15, 80)

Hast du auch Lust, umher durch Hellas und Argos zu reisen;

und außerdem: wenn es die Bezeichnung 'Barbaren' nicht gab, wie hätte dann füglich von 'barbarisch sprechenden' gesprochen werden können? Weder er also hat recht noch auch Apollodor der Philologe (FGrHist 244 F 207) mit seiner Behauptung, die Griechen hätten das allgemeine Wort speziell und als Beschimpfung für die Karer gebraucht, besonders die Ionier, die die Karer wegen ihrer Feindschaft und ihrer ständigen Feldzüge

συνεχεῖς στρατείας· ἐχρῆν γὰρ οὕτως βαρβάρους ὀνομάζειν. ἡμεῖς δὲ ζη-
32 τοῦμεν διὰ τί βαρβαροφώνους καλεῖ, βαρβάρους δ' οὐδ' ἅπαξ. ὅτι, φησί, τὸ
πληθυντικὸν εἰς τὸ μέτρον οὐκ ἐμπίπτει, διὰ τοῦτ' οὐκ εἴρηκε βαρβάρους.
ἀλλ' αὕτη μὲν ἡ πτῶσις οὐκ ἐμπίπτει, ἡ δ' ὀρθὴ οὐ διαφέρει τῆς Δάρδανοι·

662C. Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι (Θ 173 etc.)·

τοιοῦτον δὲ καὶ τὸ

οἷοι Τρώϊοι ἵπποι (Ε 222. Θ 106).

4 οὐδέ γε ὅτι τραχυτάτη ἡ γλῶττα τῶν Καρῶν· οὐ γάρ ἐστιν, ἀλλὰ καὶ
πλεῖστα Ἑλληνικὰ ὀνόματα ἔχει καταμεμιγμένα, ὥς φησι Φίλιππος ὁ τὰ
Καρικὰ γράψας (FGrHist 741 F 1). οἶμαι δὲ τὸ βάρβαρον κατ' ἀρχὰς ἐκπε-
φωνῆσθαι οὕτως κατ' ὀνοματοποιίαν ἐπὶ τῶν δυσεκφόρως καὶ σκληρῶς καὶ
8 τραχέως λαλούντων ὡς τὸ βατταρίζειν καὶ τραυλίζειν καὶ ψελλίζειν. εὐ-
φυέστατοι γάρ ἐσμεν τὰς φωνὰς ταῖς ὁμοίαις φωναῖς κατονομάζειν διὰ τὸ
ὁμογενές. ᾗ δὴ καὶ πλεονάζουσιν ἐνταῦθα αἱ ὀνοματοποιίαι, οἷον τὸ
'κελαρύζει', καὶ 'κλαγγή' δὲ καὶ 'ψόφος' καὶ 'βοή' καὶ 'κρότος', ὧν τὰ
12 πλεῖστα ἤδη καὶ κυρίως ἐκφέρεται. πάντων δὴ τῶν παχυστομούντων οὕτως
βαρβάρων λεγομένων ἐφάνη τὰ τῶν ἀλλοεθνῶν στόματα τοιαῦτα, λέγω δὲ τὰ
τῶν μὴ Ἑλλήνων. ἐκείνους οὖν ἰδίως ἐκάλεσαν βαρβάρους, ἐν ἀρχαῖς μὲν
κατὰ τὸ λοίδορον, ὡς ἂν παχυστόμους ἢ τραχυστόμους· εἶτα κατεχρησάμεθα
16 ὡς ἐθνικῷ κοινῷ ὀνόματι ἀντιδιαιροῦντες πρὸς τοὺς Ἕλληνας. καὶ γὰρ δὴ
τῇ πολλῇ συνηθείᾳ καὶ ἐπιπλοκῇ τῶν βαρβάρων οὐκέτι ἐφαίνετο κατὰ παχυ-
στομίαν καὶ ἀφυΐαν τινὰ τῶν φωνητηρίων ὀργάνων τοῦτο συμβαῖνον, ἀλλὰ
κατὰ τὰς τῶν διαλέκτων ἰδιότητας. ἄλλη δέ τις ἐν τῇ ἡμετέρᾳ διαλέκτῳ
20 ἀνεφάνη κακοστομία καὶ οἷον βαρβαροστομία, εἴ τις ἑλληνίζων μὴ κατορ-
θοίη, ἀλλ' οὕτω λέγοι τὰ ὀνόματα ὡς οἱ βάρβαροι οἱ εἰσαγόμενοι εἰς τὸν
ἑλληνισμόν, οὐκ ἰσχύοντες ἀρτιστομεῖν (ὡς οὐδ' ἡμεῖς ἐν ταῖς ἐκείνων
διαλέκτοις). τοῦτο δὲ μάλιστα συνέβη τοῖς Καρσί· τῶν γὰρ ἄλλων οὔτ' ἐπι-

662 **6–8** Albertus Magnus, Comm. in octo libros Politicorum Aristotelis 1, 1 i (Opera omnia 8, 10 Borgnet)

662 **2** δὲ om. E **4** γὰρ pro γε E **6** δὴ pro δὲ D **8** βατταρίζειν q: βατα- BCDEF, Eust. καὶ ψελλίζειν om. E, Eust. **10** ᾗ δὴ Korais: ἤδη codd. πλεονά- ζουσιν Korais: πλεονάζουσι δὲ E^{ac}, πλεονάζουσι μὲν cett. **11** κελαρύζει B^{s}CF: -ρίζει B^{i}, -ρύζειν E, -ρίζειν D **12** τραχυστομούντων E ἤδη pro οὕτως E **14** ἐκάλεσαν Xylander: ἐκάλε E, ἐκάλεσε cett. **15** τραχυστόμους ἢ παχυστόμους E δασυστό- μους D^{γρ} **16** ἤδη pro δὴ C priore loco (cf. 16 sq. append.) **17** τῇ πολλῇ συνηθείᾳ καὶ ἐπιπλοκῇ E (coniecit Xylander): ἡ πολλὴ συνήθεια καὶ ἐπιπλοκὴ cett. **18** τινα post παχυστομίαν collocat E φωνητικῶν Eust.

hassten. In dem Fall hätte Homer sie ja 'Barbaren' nennen müssen. Unser
32 Problem aber ist, weshalb er sie zwar 'barbarisch sprechend', doch niemals
'Barbaren' nennt. Weil, sagt er, der Plural nicht in das Versmaß passt, deshalb habe er sie nicht *barbarous* genannt. Nun passt dieser Kasus freilich nicht; der Nominativ (*barbaroi*) aber unterscheidet sich nicht von *Dardanoi*:

662 Troer und Lykier ihr und Dardaner (Il. 8, 173 usw.);

und so ist es auch bei

Wie doch troische (*Troïoi*) Rosse (Il. 5, 222. 8, 106).

4 Der Grund kann auch nicht sein dass die Sprache der Karer besonders rauh wäre; denn das ist sie nicht, sondern sie ist sogar mit besonders viel griechischen Wörtern durchsetzt, wie Philippos, der Verfasser der *Karischen Geschichten*, sagt (FGrHist 741 F 1). Sondern ich glaube dass *barbaros* ursprünglich eine ebenso lautmalende Bezeichnung für schwerfällig, hart und
8 rauh Artikulierende war wie 'stottern', 'lispeln' und 'stammeln'. Sind wir doch von Natur ganz besonders befähigt, dank ihrer Verwandtschaft Laute mit gleichen Lauten zu benennen; daher sind hier auch Lautmalereien sehr zahlreich, wie z. B. *kelaryzei*, und auch *klange, psophos, boë* und *krotos*, von
12 denen die meisten bereits auch als eigentliche Wörter gebraucht werden. Als nun so alle schwer Artikulierenden 'Barbaren' genannt wurden, schien das Sprechen der Andersstämmigen, ich meine der Nichtgriechen, von derselben Art zu sein. Die nannte man daher speziell Barbaren, ursprünglich zum Spott, als hätten sie eine schwere oder rauhe Artikulation; dann kamen wir
16 dazu, das Wort als eine allgemeine ethnische Bezeichnung zur Unterscheidung von den Griechen zu gebrauchen. Hatte sich doch durch den vielfachen Umgang und Verkehr mit den Barbaren gezeigt dass das nicht von schwerer Artikulation oder Missbildung der Sprechwerkzeuge sondern von den Eigentümlichkeiten der Sprachen herrührte. Doch eine andere Art von
20 schlechter und gleichsam barbarischer Aussprache trat in unserer eigenen Sprache auf, wenn nämlich jemand der griechisch sprach das nicht richtig tat, sondern die Wörter so aussprach wie die Barbaren die gerade erst griechisch sprechen lernen und nicht imstande sind die Laute richtig zu bilden (ebensowenig wie wir das in ihren Sprachen können). Das aber kam vor allem bei den Karern vor: während nämlich die Anderen noch nicht viel mit

πλεκομένων πω σφόδρα τοῖς Ἕλλησιν οὔτ' ἐπιχειρούντων Ἑλληνικῶς ζῆν ἢ μανθάνειν τὴν ἡμετέραν διάλεκτον, πλὴν εἴ τινες σπάνιοι καὶ κατὰ τύχην ἐπεμίχθησαν καὶ κατ' ἄνδρα ὀλίγοις τῶν Ἑλλήνων τισίν — οὗτοι δὲ καθ' ὅλην ἐπλανήθησαν τὴν Ἑλλάδα μισθοῦ στρατεύοντες. ἤδη οὖν τὸ βαρβαρόφωνον ἐπ' ἐκείνων πυκνὸν ἦν ἀπὸ τῆς εἰς τὴν Ἑλλάδα αὐτῶν στρατείας, καὶ μετὰ ταῦτα ἐπεπόλασε πολὺ μᾶλλον ἀφ' οὗ τάς τε νήσους μετὰ τῶν Ἑλλήνων ᾤκησαν κἀκεῖθεν εἰς τὴν Ἀσίαν ἐκπεσόντες οὐδ' ἐνταῦθα χωρὶς Ἑλλήνων οἰκεῖν ἐδύναντο ἐπιδιαβάντων τῶν Ἰώνων καὶ τῶν Δωριέων. | [663C.] ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας καὶ τὸ βαρβαρίζειν λέγεται· καὶ γὰρ τοῦτο ἐπὶ τῶν κακῶς ἑλληνιζόντων εἰώθαμεν λέγειν, οὐκ ἐπὶ τῶν καριστὶ λαλούντων. οὕτως οὖν καὶ τὸ βαρβαροφωνεῖν, καὶ τοὺς βαρβαροφώνους δεκτέον τοὺς κακῶς ἑλληνίζοντας. (ἀπὸ δὲ τοῦ καρίζειν καὶ τοῦ βαρβαρίζειν μετήνεγκαν εἰς τὰς περὶ ἑλληνισμοῦ τέχνας καὶ τὸ σολοικίζειν, εἴτ' ἀπὸ Σόλων εἴτ' ἄλλως τοῦ ὀνόματος τούτου πεπλασμένου).

29 Φησὶ δὲ Ἀρτεμίδωρος (fr. 125 Stiehle) ἀπὸ Φύσκου τῆς Ῥοδίων περαίας ἰοῦσιν εἰς Ἔφεσον μέχρι μὲν Λαγίνων ὀκτακοσίους εἶναι καὶ πεντήκοντα σταδίους, ἐντεῦθεν δ' εἰς Ἀλάβανδα πεντήκοντα ἄλλους καὶ διακοσίους, εἰς δὲ Τράλλεις ἑκατὸν ἑξήκοντα. ἀλλ' ἡ εἰς Τράλλεις ἐστὶ διαβάντι τὸν Μαίανδρον κατὰ μέσην που τὴν ὁδόν, ὅπου τῆς Καρίας οἱ ὅροι· γίνονται δὴ οἱ πάντες ἀπὸ Φύσκου ἐπὶ τὸν Μαίανδρον κατὰ τὴν εἰς Ἔφεσον ὁδὸν χίλιοι ἑκατὸν ὀγδοήκοντα. πάλιν ⟨δ'⟩ ἀπὸ τοῦ Μαιάνδρου τῆς Ἰωνίας ἐφεξῆς μῆκος ἐπιόντι κατὰ τὴν αὐτὴν ὁδὸν ἀπὸ μὲν τοῦ ποταμοῦ εἰς Τράλλεις ὀγδοήκοντα, εἶτ' εἰς Μαγνησίαν ἑκατὸν τετταράκοντα, εἰς Ἔφεσον δ' ἑκατὸν εἴκοσιν, εἰς δὲ Σμύρναν τριακόσιοι εἴκοσιν, εἰς δὲ Φώκαιαν καὶ τοὺς ὅρους τῆς Ἰωνίας ἐλάττους τῶν διακοσίων· ὥστε τὸ ἐπ' εὐθείας μῆκος τῆς Ἰωνίας εἴη ἂν κατ' αὐτὸν μικρῷ πλέον τῶν ὀκτακοσίων. ἐπεὶ δὲ κοινή τις ὁδὸς τέτριπται ἅπασι τοῖς ἐπὶ τὰς ἀνατολὰς ὁδοιποροῦσιν ἐξ Ἐφέσου,

24 πω Korais: πως BCDF, om. E οὔτ' Korais: οὐδὲ D, οὐδ' cett. **26** ὀλίγοις Kramer: ὀλίγοι codd. {δὲ} Korais, Madvig (Adv. 1, 561) **29 sq.** ἄλλων pro Ἑλλήνων B **31** ἠδύναντο qxyz 663 **4** καὶ prius om. F **5** τοῦ βαρβαρίζειν scripsi: τὸ βαρβαρίζειν codd. **9** Λαγίνων i, Xylander: λαγγ- codd. **10** δ' om. B **13** δὴ scripsi: δὲ D, om. F (cf. append.), δ' cett. **14** καὶ ante πάλιν add. C addidi **17** Φώκαιαν E (coniecit Tzschucke): φωκέαν cett.; Φωκαίαν Xylander **19** κατ' αὐτὸν Korais: κατ' αὐτὸ ἢ codd.; κατ' αὐτὸν * * ἢ? Korais

den Griechen verkehrten und auch nicht versuchten griechisch zu leben oder unsere Sprache zu erlernen – abgesehen von ein paar Einzelnen, die zufällig und individuell mit einigen wenigen Griechen in Berührung kamen –, zogen jene als Söldner durch ganz Griechenland. So war also 'barbarisch sprechend' schon seit ihrem Feldzug nach Griechenland eine häufige Bezeichnung für sie, und danach verbreitete sie sich noch viel weiter, seitdem sie zusammen mit den Griechen die Inseln besiedelt hatten und, von dort nach Asien vertrieben, auch dort nicht ohne die Griechen wohnen konnten, [663] da nach ihnen die Ionier und die Dorier übergesetzt waren. Aus demselben Grunde sagt man auch 'barbarisch reden' (*barbarizein*): auch dies pflegen wir ja von denen zu sagen die schlecht griechisch sprechen, nicht von denen die karisch reden. Ebenso also hat man auch 'barbarisch sprechen' gesagt, und unter 'barbarisch sprechende' muss man schlecht griechisch Sprechende verstehen. (Nach dem Vorbild von *karizein* und *barbarizein* hat man in die Lehren des korrekten griechischen Sprachgebrauchs auch den Ausdruck *soloikizein* übertragen – ob dieses Wort nun von Soloi abgeleitet oder auf andere Art gebildet ist).

29 Artemidor sagt (fr. 125 Stiehle), es seien, wenn man von Physkos in der Peraia der Rhodier nach Ephesos geht, bis Lagina achthundertundfünfzig Stadien, von dort nach Alabanda weitere zweihundertundfünfzig, und nach Tralleis hundertsechzig; nun führt die Straße nach Tralleis etwa auf halbem Wege über den Mäander, wo die Grenze von Karien ist, so dass es im ganzen von Physkos zum Mäander über die Straße nach Ephesos eintausendeinhundertachtzig Stadien sind. Geht man dann wieder vom Mäander anschließend der Länge nach durch Ionien auf derselben Straße, dann seien es vom Fluss nach Tralleis achtzig, dann nach Magnesia hundertvierzig, nach Ephesos hundertzwanzig, nach Smyrna dreihundertzwanzig, und nach Phokaia, der Grenze Ioniens, weniger als zweihundert, so dass die Länge Ioniens in gerader Linie nach ihm wenig mehr als achthundert wäre. Da die aus Ephesos nach Osten Reisenden alle eine gemeinsame Straße benutzen,

καὶ ταύτην ἔπεισιν. ἐπὶ μὲν τὰ Κάρουρα, τῆς Καρίας ὅριον πρὸς τὴν
Φρυγίαν, διὰ Μαγνησίας καὶ Τράλλεων, Νύσης, Ἀντιοχείας ὁδὸς ἑπτακοσίων
καὶ τετταράκοντα σταδίων. ἐντεῦθεν δὲ ἡ Φρυγία διὰ Λαοδικείας καὶ
24 Ἀπαμείας καὶ Μητροπόλεως καὶ Χελιδονίων· ἐπὶ μὲν οὖν τὴν ἀρχὴν τῆς
Παρωρείου, τοὺς Ὅλμους, στάδιοι περὶ ἐννακοσίους καὶ εἴκοσι ἐκ τῶν
Καρούρων, ἐπὶ δὲ τὸ πρὸς τῇ Λυκαονίᾳ πέρας τῆς Παρωρείου, τὸ Τυριάϊον,
διὰ Φιλομηλίου μικρῷ πλείους τῶν πεντακοσίων. εἶθ' ἡ Λυκαονία μέχρι
28 Κοροπασσοῦ διὰ Λαοδικείας τῆς Κατακεκαυμένης ὀκτακόσιοι τετταράκοντα·
ἐκ δὲ Κοροπασσοῦ τῆς Λυκαονίας εἰς Γαρσάουρα, πολίχνιον τῆς Καππαδο-
κίας ἐπὶ τῶν ὅρων αὐτῆς ἱδρυμένον, ἑκατὸν εἴκοσι. ἐντεῦθεν δ' εἰς Μάζα-
κα, τὴν μητρόπολιν τῶν Καππαδόκων, διὰ Σοάνδου καὶ Σαδακόρων ἑξακόσιοι
32 ὀγδοήκοντα, ἐντεῦθεν δ' ἐπὶ τοῦ Εὐφράτου μέχρι Τομίσων, χωρίου τῆς Σω-
φηνῆς, διὰ Ἥρφων πολίχνης χίλιοι τετρακόσιοι τετταράκοντα. τὰ δ' ἐπ'
εὐθείας τούτοις μέχρι τῆς Ἰνδικῆς τὰ αὐτὰ κεῖται καὶ παρὰ τῷ Ἀρτεμι-
δώρῳ ἅπερ καὶ παρὰ τῷ Ἐρατοσθένει (fr. 8 Berger) (λέγει δὲ καὶ Πολύβιος
664C. [34, 13] περὶ τῶν ἐκεῖ μάλιστα δεῖν πιστεύειν ἐκείνῳ)· | ἄρχεται δὲ ἀπὸ
Σαμοσάτων τῆς Κομμαγηνῆς, ἣ πρὸς τῇ διαβάσει καὶ τῷ ζεύγματι κεῖται,
εἰς δὲ Σαμόσατα ἀπὸ τῶν ὅρων τῆς Καππαδοκίας τῶν περὶ Τόμισα ὑπερ-
4 θέντι τὸν Ταῦρον σταδίους εἴρηκε τετρακοσίους καὶ πεντήκοντα.

31 Eust. D. P. 385, 13–5

21 ταύτην ἔπεισιν Korais: ταύτῃ μὲν ἔπεστιν codd.; ταύτην ἔτι ἔπεισιν? Groskurd
22 Τραλλέων per errorem Kramer Νύσης C: νύσσ- DE, νήσ- F Ἀντιοχείας om. F
24 Φιλομηλίου pro Χελιδονίων? Palmerius (349), Κελαινῶν Mannert (VI 3, 124); Μητροπόλεως κατὰ Χελιδονίας κειμένης Müller (1031 ad 566, 19) οὖν om. E
25 Παρωρείου Xylander: -ωρίου BCF, -ορείου E, -ορίου D τοὺς Ὅλμους C: τοὺς ὅλμους BD, τοῦ σόλμους F ἐννακοσίους καὶ εἴκοσι q: ϡους καὶ κ' E, ἐννακοσίων καὶ εἴκοσι BCD, τκ' F; ἐννακοσίους καὶ εἴκοσιν i, ἐνακοσίους καὶ εἴκοσιν Meineke
26 Παρωρείου Xylander: -ωρίου BCF, -ορείου E, -ορίου D Τυριάϊον BDEF: τυρίαιον C; Τυριαῖον Tzschucke, Τυριάειον? 28 Κοροπασσοῦ E: κορα- cett. 29 Κοροπασσοῦ E: κορα- cett. Γαρσάουρα E: γαρσαοῦρα F, γὰρ σάουρα BCD 30 εἴκοσιν q 31 Καππαδόκων Korais (cf. Eust.): -δωκῶν F, -δοκῶν cett. Σαδακόρων BF: σανδα- DE, σαδρα- C 32 τοῦ Εὐφράτου E: τὸν εὐφράτην cett. Τομίσων Kramer: τομίσου F, τομισοῦ E, τὸ μισοῦ CD, τὸ μισου (sic) B; Τομισῶν Korais
32 sq. Σωφηνῆς E: σοφη- BCF, σοφι- D 33 Ἥρφων scripsi: ἡρφῶν codd.; ἠρφῶν ed. pr. ἐπ' yz: ἀπ' BCDF

geht er auch diese entlang. Nach Karura, der Grenze Kariens mit Phrygien,
über Magnesia, Tralleis, Nysa und Antiocheia, sei es eine Strecke von sie-
24 benhundertundvierzig Stadien. Es folgt Phrygien über Laodikeia, Apameia,
Metropolis und Chelidonia; bis zum Anfang der Paroreios, Holmoi, seien
es von Karura etwa neunhundertundzwanzig, nach Tyriaion, dem Ende der
Paroreios bei Lykaonien, über Philomelion etwas mehr als fünfhundert.
28 Dann kommt Lykaonien bis Koropassos über das Verbrannte Laodikeia,
achthundertvierzig; von Koropassos in Lykaonien nach Garsaura, einer
Kleinstadt Kappadokiens, die auf der Grenze dieses Landes liegt, hundert-
zwanzig. Von dort nach Mazaka, der Hauptstadt der Kappadoker, über
32 Soandos und Sadakora sechshundertachtzig und von dort in Richtung
Euphrat bis nach Tomisa, einem Ort in Sophene, über die Kleinstadt Erpha
eintausendvierhundertvierzig. Die in gerader Linie anschließenden Entfer-
nungen bis Indien sind bei Artemidor dieselben wie bei Eratosthenes (fr. 8
Berger) (auch Polybios [34, 13] sagt, man solle sich, was die dortigen Ent-
664 fernungen betrifft, am besten auf ihn verlassen). Er fängt an bei Samosata in
Kommagene, das bei dem Übergang und der Uferverbindung liegt, und bis
Samosata rechnet er von der Grenze Kappadokiens bei Tomisa, mit Über-
4 querung des Tauros, vierhundertundfünfzig Stadien.

Μετὰ δὲ τὴν Ῥοδίων περαίαν, ἧς ὅριον τὰ Δαίδαλα, ἐφεξῆς πλέουσι πρὸς **1 3**
ἀνίσχοντα ἥλιον ἡ Λυκία κεῖται μέχρι Παμφυλίας, εἶθ' ἡ Παμφυλία μέχρι
Κιλίκων τῶν τραχέων, εἶθ' ἡ τούτων μέχρι τῶν ἄλλων Κιλίκων τῶν περὶ τὸν
8 Ἰσσικὸν κόλπον. ταῦτα δ' ἐστὶ μέρη μὲν τῆς χερρονήσου ἧς τὸν ἰσθμὸν
ἔφαμεν (534, 8 sqq.) τὴν ἀπὸ Ἰσσοῦ ὁδὸν μέχρι Ἀμισοῦ — ἢ Σινώπης, ὥς τι-
νες —, ἐκτὸς δὲ τοῦ Ταύρου ἐν στενῇ παραλίᾳ τῇ ἀπὸ Λυκίας μέχρι τῶν
περὶ Σόλους τόπων, τὴν νῦν Πομπηΐου πόλιν· ἔπειτα ἤδη εἰς πεδία ἀναπέπταται
12 ἡ κατὰ τὸν Ἰσσικὸν κόλπον παραλία ἀπὸ Σόλων καὶ Ταρσοῦ ἀρξαμένη. ταύτην
οὖν ἐπελθοῦσιν ὁ πᾶς περὶ τῆς χερρονήσου λόγος ἔσται περιωδευμένος· εἶτα
μεταβησόμεθα ἐπὶ τὰ ἄλλα μέρη τῆς Ἀσίας τὰ ἐκτὸς τοῦ Ταύρου· τελευταῖα
δ' ἐκθήσομεν τὰ περὶ τὴν Λιβύην.

16 Μετὰ τοίνυν Δαίδαλα τὰ τῶν Ῥοδίων ὄρος ἐστὶ τῆς Λυκίας ὁμώνυμον αὐτοῖς **2**
Δαίδαλα, ἀφ' οὗ λαμβάνει τὴν ἀρχὴν ὁ παράπλους ἅπας ὁ Λυκιακός, σταδίων
μὲν ὢν χιλίων ἑπτακοσίων εἴκοσι, τραχὺς δὲ καὶ χαλεπός, ἀλλ' εὐλίμενος
σφόδρα καὶ ὑπὸ ἀνθρώπων συνοικούμενος σωφρόνων. ἐπεὶ ἥ γε τῆς χώρας
20 φύσις παραπλησία καὶ τοῖς Παμφύλοις ἐστὶ καὶ τοῖς Τραχειώταις Κίλιξιν· ἀλλ'
ἐκεῖνοι μὲν ὁρμητηρίοις ἐχρήσαντο τοῖς τόποις πρὸς τὰ λῃστήρια αὐτοὶ πειρα-
τεύοντες ἢ τοῖς πειραταῖς λαφυροπώλια καὶ ναύσταθμα παρέχοντες (ἐν Σίδῃ
γοῦν πόλει τῆς Παμφυλίας τὰ ναυπήγια συνίστατο τοῖς Κίλιξιν, ὑπὸ κήρυκά τε
24 ἐπώλουν ἐκεῖ τοὺς ἁλόντας, ἐλευθέρους ὁμολογοῦντες), Λύκιοι δ' οὕτω πολιτικῶς
καὶ σωφρόνως ζῶντες διετέλεσαν ὥστ' ἐκείνων διὰ τὰς εὐτυχίας θαλαττοκρατη-
σάντων μέχρι τῆς Ἰταλίας ὅμως ὑπ' οὐδενὸς ἐξήρθησαν αἰσχροῦ κέρδους, ἀλλ'
ἔμειναν ἐν τῇ πατρίῳ διοικήσει τοῦ Λυκιακοῦ συστήματος.

28 Εἰσὶ δὲ τρεῖς καὶ εἴκοσι πόλεις αἱ τῆς ψήφου μετέχουσαι, συνέρχονται δὲ **3**
ἐξ ἑκάστης πόλεως εἰς κοινὸν συνέδριον ἣν ἂν δοκιμάσωσι πόλιν ἑλόμενοι. τῶν
δὲ πόλεων αἱ μέγισται μὲν τριῶν ψήφων ἐστὶν ἑκάστη κυρία, αἱ δὲ μέσαι δυεῖν,

16 sq. *St. B. 216,9 **21 sq.** Anon. Scor. 298r 17 **23 sq.** Anon. Scor. 298r 18

5 τῶν post τὴν add. E **6** τῶν post μέχρι add. D **7** τῶν Τραχειωτῶν? Dittenberger (Hermes 41, 1906, 182⁰) **9** Ἀμισοῦ Xylander: ἀμισσοῦ codd. **10** ἐκτὸς Groskurd: ἡ ἐκτὸς codd. **11** τὴν νῦν Πομπηΐου πόλιν scripsi: τῇ νῦν πομπηιουπόλει E, τῇ νῦν πομπηιοπόλει BCDF; τὴν νῦν Πομπηιούπολιν Korais, τὴν νῦν Πομπηιόπολιν Kramer δὲ pro ἤδη E πεδιάδα E **13** περὶ om. E **14** τὰ ἄλλα DF: τ'ἄλλα (i.e. τἆλλα) BC **18** ὢν E: οὖν BCDF **19** σφόδρα om. E **20** Τραχειώταις Tzschucke: τραχιώταις CDF, τραχιώτες B **21** ⟨ἤτοι⟩ αὐτοί? **23** συνίσταντο F **25** θαλαττο- C: θαλασσο- BDF **28** δὲ om. F

Nach der Peraia der Rhodier, deren Grenze Daidala ist, folgt anschlie- **1 3**
ßend, wenn man nach Osten schifft, Lykien bis Pamphylien, dann Pamphy-
lien bis zu den Rauhen Kilikern, dann deren Gebiet bis zu den anderen Kili-
8 kern, die am Issischen Golf wohnen. Dies sind Teile der Halbinsel, deren
Hals, wie wir sagten (534, 8 ff.), die Strecke von Issos bis Amisos – oder
nach Manchen Sinope – bildet, doch sie liegen jenseits des Tauros in einem
schmalen Küstenstrich, der von Lykien bis zu der Gegend von Soloi, dem
heutigen Pompeiu Polis, reicht; danach weitet die Küste des Issischen Golfs
12 sich schließlich zu Ebenen aus, angefangen bei Soloi und Tarsos. Wenn wir
also dieses Gebiet durchwandert haben, wird die ganze Beschreibung der
Halbinsel abgeschlossen sein; danach werden wir zu den anderen Teilen
Asiens jenseits des Tauros übergehen; zum Schluss werden wir Libyen be-
handeln.

16 Nach dem rhodischen Daidala denn kommt das zu Lykien gehörende **2**
gleichnamige Gebirge Daidala, mit dem die ganze lykische Küste ihren An-
fang nimmt; sie misst eintausendsiebenhundertzwanzig Stadien und ist rauh
und beschwerlich, besitzt aber sehr gute Häfen und wird von verständigen
20 Menschen bewohnt. Ist doch die natürliche Beschaffenheit des Landes die-
selbe wie bei den Pamphyliern und den Tracheiotischen Kilikern: die aber
haben diese Orte als Stützpunkte für die Seeräuberei benutzt, indem sie ent-
weder selber auf Raub ausfuhren oder den Räubern Verkaufsplätze für ihre
Beute und Schiffsstationen boten (in Side jedenfalls, einer Stadt Pamphy-
24 liens, hatten die Kiliker ihre Schiffszimmerplätze, und dort versteigerten sie
die Gefangenen, wobei sie zugaben dass es sich um Freie handelte); die Ly-
kier dagegen blieben in ihrer Lebensweise so gesittet und verständig dass sie
sich, obwohl jene durch ihre Erfolge zur Herrschaft über das Meer bis Ita-
lien gelangt waren, trotzdem durch keinen schändlichen Gewinn verführen
ließen, sondern an der althergebrachten Ordnung des Lykischen Bundes
festhielten.

28 Es sind dreiundzwanzig stimmberechtigte Städte, und aus jeder Stadt **3**
kommen sie zu gemeinsamer Sitzung zusammen in der Stadt die sie jedesmal
nach Gutdünken wählen. Von den Städten verfügen die größten über je drei

665C. αἱ δ' ἄλλαι μιᾶς, | ἀνὰ λόγον δὲ καὶ τὰς εἰσφορὰς εἰσφέρουσι καὶ τὰς ἄλλας
λειτουργίας. ἓξ δὲ τὰς μεγίστας ἔφη ὁ Ἀρτεμίδωρος (fr. 122 Stiehle) Ξάνθον,
Πάταρα, Πίναρα, Ὄλυμπον, Μύρα, Τλῶν κατὰ τὴν ⟨ὑπέρ⟩θεσιν τὴν εἰς Κίβυ-
4 ραν κειμένην. ἐν δὲ τῷ συνεδρίῳ πρῶτον μὲν Λυκιάρχης αἱρεῖται, εἶτ' ἄλλαι
ἀρχαὶ αἱ τοῦ συστήματος, δικαστήριά τε ἀποδείκνυται κοινῇ· καὶ περὶ πο-
λέμου δὲ καὶ εἰρήνης καὶ συμμαχίας ἐβουλεύοντο πρότερον, νῦν δ' οὐκ εἰκός,
ἀλλ' ἐπὶ τοῖς Ῥωμαίοις ταῦτ' ἀνάγκη κεῖσθαι πλὴν εἰ ἐκείνων ἐπιτρεψάντων,
8 εἰ ὑπὲρ αὐτῶν ἐκείνων εἴη χρήσιμον· ὁμοίως δὲ καὶ δικασταὶ καὶ ἄρχοντες
ἀνὰ λόγον ταῖς ψήφοις ἐξ ἑκάστης προχειρίζονται πόλεως. οὕτω δ' εὐνομου-
μένοις αὐτοῖς συνέβη παρὰ Ῥωμαίοις ἐλευθέροις διατελέσαι τὰ πάτρια νέμουσι,
τοὺς δὲ λῃστὰς ἐπιδεῖν ἄρδην ἠφανισμένους, πρότερον μὲν ὑπὸ Σερουιλίου τοῦ
12 Ἰσαυρικοῦ καθ' ὃν χρόνον καὶ τὰ Ἴσαυρα ἐκεῖνος καθεῖλεν, ὕστερον δὲ Πομ-
πηΐου τοῦ Μάγνου πλείω τῶν χιλίων καὶ τριακοσίων σκαφῶν ἐμπρήσαντος,
τὰς δὲ κατοικίας ἐκκόψαντος, τῶν δὲ περιγενομένων ἀνθρώπων ἐν ταῖς μάχαις
τοὺς μὲν καταγαγόντος εἰς Σόλους, ἣν ἐκεῖνος Πομπηΐου πόλιν ὠνόμασε, τοὺς
16 δ' εἰς Δύμην λιπανδρήσασαν, ἣν νυνὶ Ῥωμαίων ἀποικία νέμεται. οἱ ποιηταὶ
δέ, μάλιστα οἱ τραγικοί (cf. TrGF 3, 217), συγχέοντες τὰ ἔθνη, καθάπερ τοὺς
Τρῶας καὶ τοὺς Μυσοὺς καὶ τοὺς Λυδοὺς Φρύγας προσαγορεύουσιν, οὕτω καὶ
τοὺς Λυκίους Κᾶρας.

20 Μετὰ δ' οὖν τὰ Δαίδαλα τὸ τῶν Λυκίων ὄρος πλησίον ἐστὶ Τελμεσσός, 4
πολίχνη Λυκίων, καὶ Τελμεσσὶς ἄκρα λιμένα ἔχουσα. ἔλαβε δὲ τὸ χωρίον
τοῦτο παρὰ Ῥωμαίων Εὐμένης ἐν τῷ Ἀντιοχικῷ πολέμῳ, καταλυθείσης δὲ
τῆς βασιλείας ἀπέλαβον πάλιν οἱ Λύκιοι.

20–7 Eust. Il. 635, 15–8 **20–4** Eust. D. P. 368, 42–4 **20 sq.** St. B. 612, 13 sq.

665 **1** ἀνὰ λόγον Kramer: ἀνάλογον codd. **3** add. Casaubonus (*in transitu* iam vertit Xylander) **3 sq.** κιβύραν F **8** εἰ scripsi: ἢ εἰ F, ἢ cett. ἐκείνων om. q, excidit ap. Kramerum **9** ἀνὰ λόγον Kramer: ἀνάλογον codd. **12** δ'⟨ὑπὸ⟩ Πομ-? **15** καταγαγόντος F: -ας BCD Σόλους qx^{pc}: σελούς BCF, σελλούς D Πομπηΐου πόλιν scripsi: πομπηϊόπολιν codd.; Πομπηϊούπολιν Xylander **16** Δύμην Casaubonus: δυμήνην codd. λιπανδρ- Cobet ms. (cf. 364, 36 comm.): λειπανδρ- codd. νῦν C **17** μάλιστα ⟨δ'⟩? συγχέαντες D **20** Δαίδαλος nomen est Eustathio Il. Τέλμεσσός CDF^{s}: τελμισσός EF^{i}, St. B., Eust., τελμεσός B; Τελμησσός Kramer (praeeunte Meineke ad St. B.), Τελεμησσός Meineke **21** Τελμεσσὶς C: τελεμεσσὶς BDF, τελμισσὶς E, Eust. Il., Eust. D. P. codd. RC (τελμισὶς Q, τερμισσὶς B); Τελμησσὶς Kramer, Τελεμησσὶς Meineke

665 Stimmen, die mittelgroßen über zwei, die übrigen über eine; und in demselben Verhältnis bringen sie auch ihre Steuerbeiträge und übrigen öffentlichen Leistungen auf. Als die sechs größten hat Artemidor (fr. 122 Stiehle) Xanthos, Patara, Pinara, Olympos, Myra und Tlos genannt, das bei dem Übergang nach Kibyra liegt. In der Sitzung wird zuerst ein Lykiarch gewählt, dann die übrigen Amtsträger des Bundes; ferner werden gemeinsam Gerichtshöfe eingesetzt; auch über Krieg und Frieden und Waffenbündnisse berieten sie ehedem, heute aber ist das nicht mehr zu erwarten, sondern liegen diese Entscheidungen notwendigerweise bei den Römern, außer wenn es für diese selber nützlich sein sollte, sie ihnen zu überlassen; ebenso werden auch Richter und hohe Beamte aus jeder Stadt im Verhältnis zu den Stimmen abgeordnet. Da sie in so wohlgeordneten Verhältnissen lebten, hatten sie das Glück, unter den Römern frei und im Genuss ihres altererbten Besitzes zu bleiben und die völlige Vernichtung der Räuber zu erleben, erst durch Servilius Isauricus – zu der Zeit als dieser auch Isaura zerstörte – und später, als Pompeius Magnus mehr als eintausendunddreihundert Schiffe verbrannt, ihre Siedlungen verwüstet und die Menschen die die Kämpfe überlebt hatten teils nach Soloi – dem er den Namen Pompeiu Polis gab – teils nach Dyme gebracht hatte, das entvölkert war (jetzt wird es bewohnt von einer Kolonie der Römer). Die Dichter aber, besonders die Tragiker (vgl. TrGF 3, 217), würfeln die Völker zusammen, und ebenso wie sie die Trojaner, die Myser und die Lyder Phryger nennen, nennen sie die Lykier Karer.

20 Nach Daidala indessen, dem Gebirge der Lykier, kommt unweit Telmessos, eine Kleinstadt der Lykier, und das Telmessische Vorgebirge mit einem Hafen. Diesen Ort erhielt Eumenes in dem Krieg gegen Antiochos von den Römern, aber nach dem Ende der Königsherrschaft bekamen die Lykier ihn wieder zurück. 4

5 Εἶθ' ἑξῆς ὁ Ἀντίκραγος, ὄρθιον ὄρος, ἐφ' ᾧ Καρμυλησσὸς χωρίον ἐν φάραγγι ᾠκημένον, καὶ μετὰ τοῦτον ὁ Κράγος ἔχων ἄκρας ὀκτὼ καὶ πόλιν ὁμώνυμον. περὶ ταῦτα μυθεύεται τὰ ὄρη τὰ περὶ τῆς Χιμαίρας· ἔστι δ' οὐκ ἄπωθεν καὶ Χίμαιρα φάραγξ τις ἀπὸ αἰγιαλοῦ ἀνατείνουσα. ὑπόκειται δὲ τῷ Κράγῳ Πίναρα ἐν μεσογαίᾳ, τῶν μεγίστων οὖσα πόλεων ἐν τῇ Λυκίᾳ. ἐνταῦθα δὲ Πάνδαρος τιμᾶται, τυχὸν ἴσως †ὁμώνυμος† τῷ Τρωϊκῷ· καὶ γὰρ τοῦτον ἐκ Λυκίας φασίν.

6 Εἶθ' ὁ Ξάνθος ποταμός, ὃν Σίρβιν ἐκάλουν οἱ πρότερον· ἀναπλεύσαντι δ' ὑπηρετικοῖς δέκα σταδίους τὸ Λητῷόν ἐστιν· | 666C. ὑπὲρ δὲ τοῦ ἱεροῦ προελθόντι ἑξήκοντα ἡ πόλις ἡ τῶν Ξανθίων ἐστί, μεγίστη τῶν ἐν Λυκίᾳ. μετὰ δὲ τὸν Ξάνθον Πάταρα, καὶ αὕτη μεγάλη πόλις, λιμένα ἔχουσα καὶ ἱερὸν Ἀπόλλωνος, κτίσμα Πατάρου· Πτολεμαῖος δ' ὁ Φιλάδελφος ἐπισκευάσας Ἀρσινόην ἐκάλεσε τὴν ἐν Λυκίᾳ, ἐπεκράτησε δὲ τὸ ἐξ ἀρχῆς ὄνομα.

7 Εἶτα Μύρα ἐν εἴκοσι σταδίοις ὑπὲρ τῆς θαλάττης ἐπὶ μετεώρου λόφου. εἶθ' ἡ ἐκβολὴ τοῦ Λιμύρου ποταμοῦ καὶ ἀνιόντι πεζῇ σταδίους εἴκοσι τὰ Λίμυρα πολίχνη. μεταξὺ δ' ἐν τῷ λεχθέντι παράπλῳ νησία πολλὰ καὶ λιμένες, ὧν καὶ Μεγίστη νῆσος καὶ πόλις ὁμώνυμος * * ἡ Κισθήνη· ἐν δὲ τῇ μεσογαίᾳ χωρία Φελλὸς καὶ Ἀντίφελλος καὶ ἡ Χίμαιρα, ἧς ἐμνήσθημεν ἐπάνω.

8 Εἶθ' Ἱερὰ ἄκρα καὶ αἱ Χελιδόνιαι, τρεῖς νῆσοι τραχεῖαι πάρισοι τὸ μέγεθος, ὅσον πέντε σταδίους ἀλλήλων διέχουσαι· τῆς δὲ γῆς ἀφεστᾶσιν ἑξαστάδιον· μία δ' αὐτῶν καὶ πρόσορμον ἔχει. ἐντεῦθεν νομίζουσιν οἱ πολλοὶ τὴν

25–7 Eust. D. P. 366, 14–8 **27–30** Eust. Il. 448, 19–21 **27 sq.** Eust. Il. 635, 19 sq. *St. B. 523, 19 sq. **31** *Eust. Il. 907, 30? 666 **6 sq.** *St. B. 410, 14 sq.? **11–8** *Eust. D. P. 311, 45–312, 3

24 ὑφ' Falconer Καρμυλησσὸς BD[s]: κραμυλησσὸς F, καρμυλησὸς CD[i]E **25** φάραγγι ᾠκημένον E (coniecit Korais): φαραγγίῳ κείμενον BCD, φαραγγεῖον κείμενον F τοῦτον EF: τούτων CD, τοῦτων B ἄκρας E, Eust. (coniecit Xylander): κράγας BCDF δύο pro ὀκτὼ Eust. Il. **26** τῆς om. E **27** ἄποθεν Eust. Il. 635, 18 ἡ post καὶ add. codd.: delevi τοῦ post ἀπὸ add. Eust. D. P. **28** πόλεων ⟨τῶν⟩? **29** ὁμώνυμος non ferendum esse vidit Meineke (Vind. 227; cf. iam ap. Kramer 3, 682 sq.), ipse ὁμογενὴς vel ὁμόγονος coniciens, ὁμόφυλος? Vogel (1880, 340), ὁ αὐτὸς? post Τρωϊκῷ codd. et Eust. praebent ὡς καὶ Πανδαρέου κούρη χλωρηῒς ἀηδών: del. Meineke (ibid.) **29 sq.** καὶ τοῦτον γὰρ Eust. **31** οἱ BCDE: τὸ F **32** σταδίους F (coniecit Korais): -οις BCD (σταδ΄, ut solet, E) 666 **3** ἱερὸν Ἀπόλλωνος Barthius (P. Papinii Statii quae exstant … 2, Cygneae 1664, 229): ἱερὰ πολλὰ codd; ἱερὰ Ἀπόλλωνος Meineke **6** θαλάσσ- B **7** Λιμύρου E (coniecit Xylander): λιρύμου BCDF **8** καὶ posterius om. F **9** Μεγίστη nomen proprium esse vidit Salmasius (Plin. exerc. 785 C) ὁμώνυμος om. E lacunam indicavi; ⟨καὶ⟩ ἡ Μηκίστη Salmasius; ἡ ⟨καὶ⟩ Κισθήνη Mannert (VI 3, 168[x]), ⟨καὶ⟩ ἡ (vel ⟨καὶ⟩ {ἡ}) Κισθήνη Groskurd **11** Χελιδόνιαι EF: -δονίαι BCD **12** σταδίους E (ut vid.: vide comm.), Eust.: -οις BCDF

5 Dann anschließend der Antikragos, ein steiler Berg (auf dem Karmylessos, ein in einer Schlucht gebauter Ort, liegt), und nach ihm der Kragos mit acht Vorgebirgen und einer gleichnamigen Stadt. In diesen Bergen lokalisiert man die Fabel von der Chimaira; nicht weit liegt auch eine Schlucht Chimaira, die von einem Strand ins Land hineinreicht. Am Fuß des Kragos liegt im Binnenland Pinara, das zu den größten Städten in Lykien gehört. Dort wird Pandaros verehrt, der vielleicht ⟨aus demselben Geschlecht stammt wie⟩ der trojanische: denn auch der, heißt es, kam aus Lykien.

6 Dann der Fluss Xanthos, den die Leute früher Sirbis nannten; fährt man ihn mit Ruderbooten zehn Stadien hinauf, dann kommt man zu dem Heiligtum der Leto; 666 oberhalb des Heiligtums liegt, wenn man sechzig Stadien weitergeht, die Stadt der Xanthier, die größte der lykischen Städte. Nach dem Xanthos kommt Patara, ebenfalls eine große Stadt, mit einem Hafen und einem Apollonheiligtum, eine Gründung des Pataros; Ptolemaios Philadelphos nannte sie nach einer Wiederherstellung Arsinoë in Lykien, aber der ursprüngliche Name hat sich behauptet.

7 Dann nach zwanzig Stadien Myra oberhalb des Meeres hoch auf einem Hügel. Dann die Mündung des Flusses Limyros und, wenn man zu Fuß zwanzig Stadien landeinwärts geht, die Kleinstadt Limyra. Dazwischen gibt es an besagter Küste viele kleine Inseln und Häfen, worunter auch die Insel Megiste und eine gleichnamige Stadt * * Kisthene; im Binnenland liegen die Orte Phellos und Antiphellos und die Chimaira, die wir oben erwähnt haben.

8 Dann das Heilige Kap und die Chelidonien, drei rauhe, ungefähr gleich große und etwa fünf Stadien voneinander liegende Inseln; vom Festland sind sie sechs Stadien entfernt; eine von ihnen hat sogar einen Ankerplatz. Dort,

ἀρχὴν λαμβάνειν τὸν Ταῦρον διά τε τὴν ἄκραν ὑψηλὴν οὖσαν καὶ καθήκουσαν
ἀπὸ τῶν Πισιδικῶν ὀρῶν τῶν ὑπερκειμένων τῆς Παμφυλίας καὶ διὰ τὰς προ-
16 κειμένας νήσους ἐχούσας ἐπιφανές τι σημεῖον ἐν τῇ θαλάττῃ κρασπέδου δί-
κην. τὸ δ' ἀληθὲς ἀπὸ τῆς Ῥοδίων περαίας ἐπὶ τὰ πρὸς Πισιδίαν μέρη συνε-
χής ἐστιν ἡ ὀρεινή, καλεῖται δὲ καὶ αὕτη Ταῦρος. δοκοῦσι δὲ αἱ Χελιδόνιαι
κατὰ Κάνωβόν πως πίπτειν· τὸ δὲ δίαρμα λέγεται τετρακισχιλίων σταδίων.

20 Ἀπὸ δὲ τῆς Ἱερᾶς ἄκρας ἐπὶ τὴν Ὀλβίαν λείπονται στάδιοι τριακόσιοι
ἑξήκοντα ἑπτά. ἐν τούτοις δ' ἐστὶν ἥ τε Κράμβουσα καὶ Ὄλυμπος πόλις με-
γάλη καὶ ὄρος ὁμώνυμον, ὃ καὶ Φοινικοῦς καλεῖται. εἶτα Κώρυκος αἰγιαλός.
εἶτα Φασηλὶς τρεῖς ἔχουσα λιμένας, πόλις ἀξιόλογος, καὶ λίμνη· ὑπέρκειται 9
24 δ' αὐτῆς τὰ Σόλυμα ὄρη καὶ Τερμησσός, Πισιδικὴ πόλις ἐπικειμένη τοῖς
στενοῖς δι' ὧν ὑπέρβασίς ἐστιν εἰς τὴν Μιλυάδα (καὶ Ἀλέξανδρος διὰ τοῦτο
ἐξεῖλεν αὐτήν, ἀνοῖξαι βουλόμενος τὰ στενά). περὶ Φασηλίδα δ' ἐστὶ καὶ τὰ
κατὰ θάλατταν στενά, δι' ὧν ὁ Ἀλέξανδρος παρήγαγε τὴν στρατιάν. ἔστι δ'
28 ὄρος Κλίμαξ καλούμενον, ἐπίκειται δὲ τῷ Παμφυλίῳ πελάγει στενὴν ἀπο-
λεῖπον πάροδον ἐπὶ τῷ αἰγιαλῷ ταῖς μὲν νηνεμίαις γυμνουμένην, ὥστε εἶναι
βάσιμον τοῖς ὁδεύουσι, πλημμύροντος δὲ τοῦ πελάγους ὑπὸ τῶν κυμάτων κα-
λυπτομένην ἐπὶ πολύ. ἡ μὲν οὖν διὰ τοῦ ὄρους ὑπέρβασις περίοδον ἔχει καὶ
32 προσάντης ἐστί, τῷ δ' αἰγιαλῷ χρῶνται κατὰ τὰς εὐδίας. ὁ δ' Ἀλέξανδρος
εἰς χειμέριον ἐμπεσὼν καιρὸν καὶ τὸ πλέον ἐπιτρέπων τῇ τύχῃ πρὶν ἀνεῖναι
667C. τὸ κῦμα ὥρμησε, | καὶ ὅλην τὴν ἡμέραν ἐν ὕδατι γενέσθαι τὴν πορείαν συν-
έβη μέχρις ὀμφαλοῦ βαπτιζομένων. ἔστι μὲν οὖν καὶ αὕτη ἡ πόλις Λυκιακή,

18 sq. Anon. Scor. 298r 18 sq. **21** St. B. 491, 14 sq. **22–31** Eust. D. P. 367, 1–10
22–4 Eust. Il. 635, 34 sq.

16 θαλασσ- P **17** τῆς Ῥοδίας pro τῆς Ῥοδίων περαίας P **18** δὲ αἱ P, ut vid. (coniecit Meineke): δὲ καὶ αἱ cett. Χελιδόνιαι E: χελιδονίαι BCD, χιλιδονίαι F **19** τετρακισχίλιοι nec plura P **22** ἐπώνυμον F **23** Φασηλὶς Hopper: φασηλις P, φα̣[ ]λ̣ὶς E, φασιλὶς BCD, φασιλεῖς F (ι supra ει scripto), φάσηλις Eust. λίμνην F **24** δὲ ταύτης E ὄρη EX: ὄρος BCDFP, Eust. Il. Τερμησσός P (coniecit Xylander προπαροξύνων): τελμισός BCDF, τελμισσός E, Eust., τελμησσ- X **25** ⟨ἡ⟩ ὑπέρβασις? Ἀλέξανδρος P: ὁ ἀλέξανδρος cett. **26** Φασηλίδα E, Eust. BCDQR^pc: φασηλιδα P, φασιλίδα BCD, φιλίδα F, φασήλιδα Eust. R^ac καὶ τὰ P: om. cett.; τὰ Xylander **27** θάλασσ- E, Eust. ὁ P: om. cett., Eust. στρατιάν D^pc E, Eust.: -τείαν BCD^ac FP **28** Κλῖμαξ D^pc, Meineke **30** πλημμύ- DE, Eust. BCDQ: πλημύ- BCF, Eust. R
667 **2** μέχρις E: μέχρι cett.

so glauben die Meisten, nehme der Tauros seinen Anfang, teils wegen des Kaps, das hoch ist und von den pisidischen Bergen hinabreicht, die ober-
16 halb Pamphyliens liegen, teils wegen der vorgelagerten Inseln, die ein auffälliges Merkmal, wie eine Franse, im Meer bilden. In Wirklichkeit reicht der Gebirgszug ununterbrochen von der Peraia der Rhodier bis zu der Gegend die an Pisidien stößt, und wird ebenfalls Tauros genannt. Man nimmt an dass die Chelidonien etwa gegenüber von Kanobos liegen; die Überfahrt soll viertausend Stadien betragen.

20 Vom Heiligen Kap nach Olbia sind es noch dreihundertsiebenundsechzig Stadien. Auf dieser Strecke liegen Krambusa und Olympos, eine große Stadt und ein gleichnamiger Berg, der auch Phoinikus genannt wird. Sodann ein 9 Strand Korykos. Dann Phaselis mit drei Häfen, eine bedeutende Stadt, und
24 ein See; über ihr liegen die Solymischen Berge und Termessos, eine pisidische Stadt, die den Engpass beherrscht durch den man in die Milyas hinübergelangt (und Alexander hat sie deswegen zerstört, weil er den Engpass aufschließen wollte). Bei Phaselis ist auch der Engpass am Meer, durch den
28 Alexander sein Heer geführt hat. Es ist der Berg der Klimax genannt wird: er liegt hart an der Pamphylischen See und lässt einen schmalen Durchgang auf dem Strand, der bei Windstille frei wird, so dass er dann für die Reisenden gangbar ist, bei flutender See jedoch über eine große Strecke vom Wellengang bedeckt wird. Nun ist der Übergang über den Berg ein Umweg und
32 steil, und deshalb benutzt man bei gutem Wetter den Strand. Alexander aber, der zur Zeit eines Sturmes ankam und sich meistens auf sein Glück
667 verließ, brach auf ehe der Wellengang nachgelassen hatte, und so kam es dass der Marsch den ganzen Tag im Wasser verlief, das den Leuten bis zum Nabel kam. Auch diese Stadt ist lykisch — sie liegt an der Grenze gegen

ἐπὶ τῶν ὅρων ἱδρυμένη τῶν πρὸς Παμφυλίαν, τοῦ δὲ κοινοῦ τῶν Λυκίων οὐ
4 μετέχει, καθ' αὑτὴν δὲ συνέστηκεν.

Ὁ μὲν οὖν ποιητὴς ἑτέρους τῶν Λυκίων ποιεῖ τοὺς Σολύμους — ὑπὸ γὰρ τοῦ 10
τῶν Λυκίων βασιλέως πεμφθεὶς ὁ Βελλεροφόντης ἐπὶ δεύτερον τοῦτον ἆθλον

Σολύμοισι μαχέσσατο κυδαλίμοισιν (Z 184) —,

8 οἱ δὲ τοὺς Λυκίους πρότερον καλεῖσθαι Σολύμους φάσκοντες, ὕστερον δὲ
Τερμίλας (ἀπὸ τῶν ἐκ Κρήτης συγκατελθόντων τῷ Σαρπηδόνι), μετὰ δὲ ταῦτα
Λυκίους (ἀπὸ Λύκου τοῦ Πανδίονος, ὃν ἐκπεσόντα τῆς οἰκείας ἐδέξατο Σαρπη-
δὼν ἐπὶ μέρει τῆς ἀρχῆς), οὐχ ὁμολογούμενα λέγουσιν Ὁμήρῳ· βέλτιον δ' οἱ
12 φάσκοντες λέγεσθαι Σολύμους ὑπὸ τοῦ ποιητοῦ τοὺς νῦν Μιλύας προσαγορευ-
ομένους, περὶ ὧν εἰρήκαμεν (573, 5 sq.).

Μετὰ Φασηλίδα δ' ἐστὶν ἡ Ὀλβία, τῆς Παμφυλίας ἀρχή, μέγα ἔρυμα, 1 4
καὶ μετὰ ταύτην ὁ Καταράκτης λεγόμενος, ἀφ' ὑψηλῆς πέτρας καταράττων
16 ποταμὸς πολὺς καὶ χειμαρρώδης, ὥστε πόρρωθεν ἀκούεσθαι τὸν ψόφον. εἶτα
πόλις Ἀττάλεια, ἐπώνυμος τοῦ κτίσαντος Φιλαδέλφου καὶ οἰκίσαντος εἰς
Κώρυκον πολίχνιον ὅμορον ἄλλην κατοικίαν καὶ μείζω περίβολον περιθέντος.
φασὶ δ' ἐν τῷ μεταξὺ Φασηλίδος καὶ Ἀτταλείας δείκνυσθαι Θήβην τε καὶ
20 Λυρνησσόν, ἐκπεσόντων ἐκ τοῦ Θήβης πεδίου τῶν Τρωϊκῶν Κιλίκων εἰς
τὴν Παμφυλίαν ἐκ μέρους, ὡς εἴρηκε Καλλισθένης (FGrHist 124 F 32).
εἶθ' ὁ Κέστρος ποταμός, ὃν ἀναπλεύσαντι σταδίους ἑξήκοντα Πέργη 2
πόλις καὶ πλησίον ἐπὶ μετεώρου τόπου τὸ τῆς Περγαίας Ἀρτέμιδος ἱερόν, ἐν
24 ᾧ πανήγυρις κατ' ἔτος συντελεῖται. εἶθ' ὑπὲρ τῆς θαλάττης ὅσον τετταρά-
κοντα σταδίοις Σύλλιον πόλις ἐστὶν ὑψηλή, τοῖς ἐκ Πέργης ἔποπτος. εἶτα
λίμνη εὐμεγέθης Καπρία καὶ μετὰ ταῦτα ὁ Εὐρυμέδων ποταμός, ὃν ἀνα-
πλεύσαντι ἑξήκοντα σταδίους Ἄσπενδος πόλις εὐανδροῦσα ἱκανῶς, Ἀργείων

5–11 *Eust. Il. 369, 5–8 **17–21** Eust. Il. 322, 20–2 **17 sq.** Eust. D. P. 367, 12–4
19 sq. Eust. D. P. 367, 10–2 **27 sq.** *Eust. D. P. 366, 25 sq.

3 ὅρων Groskurd (*in confinio* iam Xylander): ὄρων F, ὀρῶν BCDE παμφυλιαι P
7 Σολύμοισι qz: σολύμοις BCDF μαχέσσατο D^{pc}: μαχέσατο $CD^{ac}FP$, μαλέσατο B
10 οἰκείας xyz: οἰκίας BCDFP 11 βέλτιον Cobet (Misc. 195): βελτίους codd.
13 ειρηκα P (ει[ ]κα) 14 Φασηλίδα E: φασι- cett.; Φασήλιδα Meineke 15 ταῦτα
E^{i} P (ut vid.) 16 χειμαρρ- DP: χειμαρ- BCEF 17 οἰκίσαντος Salmasius (Plin.
exerc. 775 A): οἰκη- codd. 18 ὅμορον post κατοικίαν praebent codd.: transposuit
Kramer duce Groskurd μείζω BF: μείζω μικρὸν C, μικρὸν D 19 Φασηλίδος E:
φασηλιδος P, φασιλίδος cett., φασήλιδος Eust. 20 λυρνησό- Eust. D. P. QR
22 κέστορος F, κίστρος E 25 Σύλλιον P (συλ. ιον): om. cett. (unde Σύλλιον pro στα-
δίοις scripsit Meineke)

4 Pamphylien –, bildet aber keinen Teil des Lykischen Bundes, sondern steht
für sich.

Der Dichter unterscheidet von den Lykiern die Solymer – denn Bellero- 10
phon, von dem König der Lykier zu seiner zweiten Kampfprobe ausge-
sandt,

bekämpfte der Solymer ruchtbare Völker (Il. 6, 184) –,

8 und diejenigen die behaupten, die Lykier seien früher Solymer genannt wor-
den, später Termiler (nach denen die zusammen mit Sarpedon aus Kreta ge-
kommen waren) und danach Lykier (nach Pandions Sohn Lykos, den Sar-
pedon, als er aus seiner Heimat vertrieben worden war, zur Teilnahme an
seiner Herrschaft aufgenommen hatte), reden Dinge die nicht zu Homer
12 stimmen; besser diejenigen die behaupten dass 'Solymer' des Dichters Be-
zeichnung ist für die die man jetzt Milyer nennt und von denen wir gespro-
chen haben (573, 5 f.).

Nach Phaselis kommt Olbia, der Anfang Pamphyliens, eine große natür- 1 4
liche Festung, und danach der sogenannte Kataraktes, ein von einem hohen
16 Felsen herabstürzender mächtiger gießbachartiger Fluss, dessen Tosen da-
her von weitem zu hören ist. Dann die Stadt Attaleia, so genannt nach ihrem
Gründer Philadelphos, der in Korykos, einer angrenzenden Kleinstadt, eine
weitere Siedlung gründete und eine größere Mauer herumzog. In der Ge-
20 gend zwischen Phaselis und Attaleia soll man Thebe und Lyrnessos zeigen,
da die trojanischen Kiliker aus der Ebene von Thebe zum Teil nach Pam-
phylien verschlagen worden seien, wie Kallisthenes sagt (FGrHist 124 F 32).
Dann der Fluss Kestros; schifft man ihn sechzig Stadien hinauf, dann liegt 2
dort die Stadt Perge und unweit auf einer Höhe das Heiligtum der Artemis
24 Pergaia, in dem alljährlich ein Fest veranstaltet wird. Dann etwa vierzig Sta-
dien oberhalb des Meeres die hochgelegene Stadt Syllion, die von Perge aus
zu sehen ist. Dann ein stattlicher See Kapria und danach der Fluss Euryme-
don; schifft man ihn sechzig Stadien hinauf, dann liegt dort Aspendos, eine

28 κτίσμα· ὑπέρκειται δὲ ταύτης Πετνηλισσός. εἶτ' ἄλλος ποταμὸς καὶ νησία
προκείμενα πολλά. εἶτα Σίδη, Κυμαίων ἄποικος· ἔχει δ' ἀξιολογώτατον
Ἀθηνᾶς ἱερόν· πλησίον δ' ἐστὶ καὶ ἡ Κιβυρατῶν παραλία τῶν μικρῶν. εἶθ'
ὁ Μέλας ποταμὸς καὶ ὕφορμος. εἶτα Πτολεμαῒς πόλις καὶ μετὰ ταῦθ' οἱ ὅροι
32 τῆς Παμφυλίας καὶ τὸ Κορακήσιον, ἀρχὴ τῆς Τραχείας Κιλικίας. ὁ δὲ παρά-
πλους ἅπας ὁ Παμφύλιος στάδιοί εἰσιν ἑξακόσιοι καὶ τεσσαράκοντα.

668C. Φησὶ δ' Ἡρόδοτος (7, 91) τοὺς Παμφύλους τῶν μετὰ Ἀμφιλόχου καὶ Κάλ- 3
χαντος εἶναι λαῶν μιγάδων τινῶν ἐκ Τροίας συνακολουθησάντων· τοὺς μὲν
δὴ πολλοὺς ἐνθάδε καταμεῖναι, τινὰς δὲ σκεδασθῆναι πολλαχοῦ τῆς γῆς.
4 Καλλισθένης (fr. novum) τὸν μὲν Κάλχαντα ἐν Κλάρῳ τελευτῆσαι τὸν βίον
φησί, τοὺς δὲ λαοὺς μετὰ Μόψου τὸν Ταῦρον ὑπερθέντας τοὺς μὲν ἐν Παμ-
φυλίᾳ μεῖναι, τοὺς δ' ἐν Κιλικίᾳ μερισθῆναι καὶ Συρίᾳ μέχρι καὶ Φοινίκης.

Τῆς Κιλικίας δὲ τῆς ἔξω τοῦ Ταύρου ἡ μὲν λέγεται Τραχεῖα, ἡ δὲ Πεδιάς. 1 5
8 Τραχεῖα μὲν ἧς ἡ παραλία στενή ἐστι καὶ οὐδὲν ἢ σπανίως ἔχει τι χωρίον
ἐπίπεδον καὶ ἔτι ἧς ὑπέρκειται ὁ Ταῦρος, οἰκουμένη κακῶς μέχρι καὶ τῶν
προσβόρρων πλευρῶν τῶν περὶ Ἴσαυρα καὶ τοὺς Ὁμοναδέας μέχρι τῆς Πισι-
δίας· καλεῖται δ' ἡ αὐτὴ καὶ Τραχειῶτις καὶ οἱ ἐνοικοῦντες Τραχειῶται.
12 Πεδιὰς δ' ἡ ἀπὸ Σόλων καὶ Ταρσοῦ μέχρι Ἰσσοῦ καὶ ἔτι ὧν ὑπέρκεινται
κατὰ τὸ πρόσβορρον τοῦ Ταύρου πλευρὸν Καππάδοκες· αὕτη γὰρ ἡ χώρα τὸ
πλέον πεδίων εὐπορεῖ καὶ χώρας ἀγαθῆς. ἐπεὶ δὲ τούτων τὰ μέν ἐστιν
ἐντὸς τοῦ Ταύρου, τὰ δ' ἐκτός, περὶ μὲν τῶν ἐντὸς εἴρηται, περὶ δὲ τῶν ἐκτὸς
16 λέγωμεν ἀπὸ τῶν Τραχειωτῶν ἀρξάμενοι.

Πρῶτον τοίνυν ἐστὶ τῶν Κιλίκων φρούριον τὸ Κορακήσιον ἱδρυμένον 2
ἐπὶ πέτρας ἀπορρῶγος· ᾧ ἐχρήσατο Διόδοτος ὁ Τρύφων προσαγορευθεὶς ὁρ-
μητηρίῳ καθ' ὃν καιρὸν ἀπέστησε τὴν Συρίαν τῶν βασιλέων καὶ διεπολέμει
20 πρὸς ἐκείνους τοτὲ μὲν κατορθῶν, τοτὲ δὲ πταίων. τοῦτον μὲν οὖν Ἀντίοχος

32 sq. Greg. 23[v] marg. 668 7–12 Eust. D. P. 371, 20–4 7 St. B. 632, 6–8 9 sq. Anon. Scor. 298[r] 19 11 St. B. 632, 8 12 St. B. 632, 9 sq. 13 Eust. D. P. 385, 13–5 17 St. B. 632, 8 sq.

28 Πεδνη- Tzschucke 29 αξιολογωτατον P: om. cett. 31 μελίας E τε post Μέλας add. P 33 καὶ P: om. cett. 668 2 ἀκολουθησάντων E 4 Καλλισθένης P: καλλῖνος δὲ cett.; Καλλισθένης δὲ West (Callin. fr. [8]), fort. recte 9 οἰκουμένη E: οἰκούμενος cett.; οἰκουμένης Korais 10 προσβόρρων Korais: προσβόρων BCDE, προβόρων F 12 δ'ἡ z: δὴ F (e corr.), δὲ E, δὲ δὴ BCD καὶ ante Ἰσσοῦ add. Eust. ἧς pro ὧν Kramer 13 πρόσβορρον Korais: πρόσβορον codd. Καππάδοκες E: καππαδόκας B, καππαδώκας F, καππαδοκίας CD 14 ἐπεὶ E: ἐπὶ cett.

28 recht volkreiche Stadt, eine Gründung der Argiver; über ihr liegt Petnelis-
sos. Dann ein weiterer Fluss und viele vorgelagerte kleine Inseln. Dann Side,
eine Kolonie der Kymäer; sie besitzt ein sehr bedeutendes Athenaheiligtum;
in der Nähe ist auch die Küste der Kleinen Kibyrater. Dann der Fluss Melas
und ein Ankerplatz. Dann die Stadt Ptolemaïs und danach die Grenze Pam-
32 phyliens und Korakesion, der Anfang des Rauhen Kilikiens. Die Fahrt ent-
lang der pamphylischen Küste beträgt im ganzen sechshundertundvierzig
Stadien.

668 Herodot sagt (7, 91), die Pamphylier gehörten zu der gemischten Schar 3
die Amphilochos und Kalchas aus Troja gefolgt sei; die Meisten seien hier
4 geblieben, nur Einige hätten sich über viele Orte der Erde verstreut. Kallis-
thenes sagt (*neues Fragment*), Kalchas sei in Klaros gestorben und das Volk
habe zusammen mit Mopsos den Tauros überschritten, worauf ein Teil in
Pamphylien geblieben sei, und ein anderer sich über Kilikien und Syrien bis
ganz nach Phönizien verteilt habe.

Von Kilikien jenseits des Tauros heißt ein Teil das Rauhe, ein Teil das 1 5
8 Ebene. Das Rauhe ist der Teil dessen Küste schmal ist und nirgends oder
nur selten eine flache Stelle hat, sowie das Gebiet über dem der Tauros liegt,
dürftig bewohnt bis ganz zu seinen nördlichen Flanken bei Isaura und den
Homonadern bis Pisidien; dasselbe wird auch Tracheiotis und seine Ein-
12 wohner Tracheioter genannt. Das Ebene ist der Teil der von Soloi und Tar-
sos bis Issos reicht, sowie das Gebiet über dem auf der nördlichen Flanke
des Tauros die Kappadoker wohnen: denn dieses Land ist zum größten Teil
reich an Ebenen und gutem Land. Da hiervon Manches diesseits, Anderes
jenseits des Tauros liegt und das Diesseitige schon behandelt ist, wollen wir
16 von dem Jenseitigen sprechen, angefangen bei den Tracheiotern.

Die erste Festung der Kiliker denn ist Korakesion, das auf einem schrof- 2
fen Felsen liegt; diese hat Diodotos, Tryphon genannt, als Stützpunkt be-
nutzt zu der Zeit als er Syrien von den Königen losgelöst hatte und, bald
20 mit Erfolg, bald unterliegend, Krieg gegen sie führte. Ihn freilich hat Deme-

ὁ Δημητρίου κατακλείσας εἴς τι χωρίον ἠνάγκασε διεργάσασθαι τὸ σῶμα,
τοῖς δὲ Κίλιξιν ἀρχὴν τοῦ τὰ πειρατικὰ συνίστασθαι Τρύφων αἴτιος κατέστη
καὶ ἡ τῶν βασιλέων οὐδένεια τῶν τότε ἐκ διαδοχῆς ἐπιστατούντων τῆς Συ-
24 ρίας ἅμα καὶ τῆς Κιλικίας· τῷ γὰρ ἐκείνου νεωτερισμῷ συνενεωτέρισαν καὶ
ἄλλοι, διχοστατοῦντές τε ἀδελφοὶ πρὸς ἀλλήλους ὑποχείριον ἐποίουν τὴν
χώραν τοῖς ἐπιτιθεμένοις. ἡ δὲ τῶν ἀνδραπόδων ἐξαγωγὴ προὐκαλεῖτο μά-
λιστα εἰς τὰς κακουργίας ἐπικερδεστάτη γενομένη· καὶ γὰρ ἡλίσκοντο ῥᾳδίως
28 καὶ τὸ ἐμπόριον οὐ παντελῶς ἄπωθεν ἦν μέγα καὶ πολυχρήματον ἡ Δῆλος,
δυναμένη μυριάδας ἀνδραπόδων αὐθημερὸν καὶ δέξασθαι καὶ ἀποπέμψαι,
ὥστε καὶ παροιμίαν γενέσθαι διὰ τοῦτο ‘ἔμπορε, κατάπλευσον, ἐξελοῦ·
πάντα πέπραται’. αἴτιον δ’ ὅτι πλούσιοι γενόμενοι Ῥωμαῖοι μετὰ τὴν Καρ-
669C. χηδόνος καὶ Κορίνθου κατασκαφὴν οἰκετείαις ἐχρῶντο πολλαῖς· | ὁρῶντες
δὲ τὴν εὐπέτειαν οἱ λῃσταὶ ταύτην ἐξήνθησαν ἀθρόως, αὐτοὶ καὶ λῃϊζό-
μενοι καὶ σωματεμποροῦντες. συνήργουν δ’ εἰς ταῦτα καὶ οἱ τῆς Κύπρου
4 καὶ οἱ τῆς Αἰγύπτου βασιλεῖς ἐχθροὶ τοῖς Σύροις ὄντες· οὐδ’ οἱ Ῥόδιοι δὲ
φίλοι ἦσαν αὐτοῖς, ὥστ’ οὐδὲν ἐβοήθουν. ἅμα δὲ καὶ οἱ λῃσταὶ προσποιού-
μενοι σωματεμπορεῖν ἄλυτον τὴν κακουργίαν εἶχον. ἀλλ’ οὐδὲ Ῥωμαῖοί πω
τοσοῦτον ἐφρόντιζον τῶν ἔξω τοῦ Ταύρου, ἀλλ’ ἔπεμψαν μὲν καὶ Σκιπίωνα
8 τὸν Αἰμιλιανὸν ἐπισκεψόμενον τὰ ἔθνη καὶ τὰς πόλεις καὶ πάλιν ἄλλους τινάς,
ἔγνωσαν δὲ κακίᾳ τῶν ἀρχόντων συμβαῖνον τοῦτο, εἰ καὶ τὴν κατὰ γένος δια-
δοχὴν τὴν ἀπὸ Σελεύκου τοῦ Νικάτορος αὐτοὶ κεκυρωκότες ᾐδοῦντο ἀφαι-
ρεῖσθαι. τοῦτο δὲ συμβὰν τῆς μὲν χώρας ἐποίησε κυρίους Παρθυαίους, οἳ
12 τὰ πέραν τοῦ Εὐφράτου κατέσχον, τὸ τελευταῖον δὲ καὶ Ἀρμενίους, οἳ καὶ
τὴν ἐκτὸς τοῦ Ταύρου προσέλαβον μέχρι καὶ Φοινίκης καὶ τοὺς βασιλέας
κατέλυσαν εἰς δύναμιν καὶ τὸ γένος αὐτῶν σύμπαν· τὴν δὲ θάλατταν τοῖς

25 sq. Anon. Scor. 298r 19 sq.

22 ἀρχὴν Groskurd: -ὴ codd.   Τρύφων ⟨τ’⟩?   23 οὐδένεια Dpc: οὐδενία cett.
24 sq. καὶ οἱ ἄλλοι D   26 ἐπιθεμένοις D   28 ἐμπόριον x: ἐμπορεῖον BCD, ἐμπο-
ρίον F   ἄποθεν BC   30 λέγεσθαι Korais   32 οἰκετείαις Dpc: -τίαις cett.
669 2 λῃζό- Meineke   6 ἀκώλυτον Cobet (Misc. 196), ἄνετον? Bernardakis (53)
7 τὸν pro καὶ F   9 εἰ καὶ zs: εἰς BCDFzi; εἰ x   11 τοὺς post κυρίους add. C

trios’ Sohn Antiochos, der ihn in einem Ort eingeschlossen hatte, dazu ge-
zwungen sich zu entleiben. Für die Kiliker jedoch ist Tryphon überhaupt
der Anlass geworden, die Seeräuberei zu organisieren, und ferner die Wert-
24 losigkeit der Könige, die damals nach der Erbfolge sowohl über Syrien als
über Kilikien regierten: denn sein Umsturzversuch löste andere Umsturzver-
suche aus, und Zwiste zwischen Brüdern untereinander machten das Land
zur Beute der Angreifer. Und der Export von Sklaven lockte besonders zu
Übeltaten, da er überaus gewinnbringend geworden war; sie waren ja leicht
28 zu fangen, und gar nicht weit gab es einen großen und geldreichen Handels-
platz: Delos, das imstande war, an ein und demselben Tag Zehntausende
von Sklaven zu empfangen und zu verschicken, so dass deswegen auch das
Sprichwort aufkam ‘Kaufmann, fahr ein, lad aus: alles ist verkauft’. Die Ur-
sache war dass die Römer, die nach der Zerstörung von Karthago und Ko-
669 rinth reich geworden waren, viel Sklavenpersonal hielten: als die Räuber
diese günstige Konstellation sahen, traten sie auf einmal hervor, wobei sie
selber die Menschen nicht nur raubten sondern auch verhandelten. Dazu
4 wirkten auch die Könige von Zypern und die von Ägypten mit, die mit den
Syrern verfeindet waren; und auch die Rhodier waren nicht mit ihnen be-
freundet, so dass sie in keiner Weise zu Hilfe kamen. Außerdem hatten die
Räuber dadurch, dass sie sich für Sklavenhändler ausgaben, ihre üble Tätig-
keit unangreifbar gemacht. Aber auch die Römer kümmerten sich noch nicht
8 soviel um das Gebiet jenseits des Tauros: sie schickten zwar Scipio Aemili-
anus, um die Völker und die Städte in Augenschein zu nehmen, und später
Andere, und sie erkannten auch dass dies eine Folge der Minderwertigkeit
der Herrscher war, wenn sie sich auch scheuten die Familienerbfolge des Se-
leukos Nikator, die sie selber sanktioniert hatten, aufzuheben. Dieser Um-
12 stand machte zu Herren über das Land die Parther, die das Gebiet auf die-
ser Seite des Euphrats in Besitz nahmen, und schließlich auch die Armenier,
die auch das Gebiet jenseits des Tauros bis ganz nach Phönizien hinzu ge-
wannen und die Könige und ihre ganze Familie soviel wie möglich beseitig-

Κίλιξι παρέδωκαν. εἶτ' αὐξηθέντας ἠναγκάσθησαν καταλύειν Ῥωμαῖοι πολέ-
16 μῳ καὶ μετὰ στρατιᾶς οὓς αὐξομένους οὐκ ἐκώλυσαν. ὀλιγωρίαν μὲν οὖν
αὐτῶν χαλεπὸν καταγνῶναι, πρὸς ἑτέροις δὲ ὄντες τοῖς ἐγγυτέρω καὶ κατὰ
χεῖρα μᾶλλον οὐχ οἷοί τ' ἦσαν τὰ ἀπωτέρω σκοπεῖν. ταῦτα μὲν οὖν ἔδοξεν
ἡμῖν ἐν παρεκβάσει διὰ βραχέων εἰπεῖν.

20 Μετὰ δὲ τὸ Κορακήσιον Ἀρσινόη πόλις, εἶθ' Ἁμαξία, ἐπὶ βουνοῦ 3
κατοικία τις ὕφορμον ἔχουσα, ὅπου κατάγεται ἡ ναυπηγήσιμος ὕλη· κέδρος
δ' ἐστὶν ἡ πλείστη καὶ δοκεῖ ταῦτα τὰ μέρη πλεονεκτεῖν τῇ τοιαύτῃ ξυ-
λείᾳ· καὶ διὰ τοῦτ' Ἀντώνιος Κλεοπάτρᾳ τὰ χωρία ταῦτα προσένειμεν,
24 ἐπιτήδεια ὄντα πρὸς τὰς τῶν στόλων κατασκευάς. εἶτα Λαέρτης, φρούριον
ἐπὶ λόφου μαστοειδοῦς ὕφορμον ἔχον· εἶτα Σελινοῦς * * * ποταμός· εἶτα
Κράγος, πέτρα περίκρημνος πρὸς θαλάττῃ· εἶτα Χαραδροῦς, ἔρυμα καὶ αὐτὸ
ὕφορμον ἔχον (ὑπέρκειται δ' ὄρος Ἄνδρικλος), καὶ παράπλους τραχὺς Πλατα-
28 νιστὸς καλούμενος· εἶτ' Ἀνεμούριον ἄκρα, καθ' ἣν ἡ ἤπειρος ἐγγυτάτω τῆς
Κυπρίας ἐστὶν ἐπὶ Κρομμύου ἄκραν ἐν διάρματι σταδίων τριακοσίων πεντή-
κοντα.

Εἰς μὲν οὖν τὸ Ἀνεμούριον ἀπὸ τῶν ὅρων τῆς Παμφυλίας ὁ Κιλίκιος
32 παράπλους σταδίων ἐστὶν ὀκτακοσίων εἴκοσι· λοιπὸς δ' ἐστὶ μέχρι Σόλων
ὅσον πεντακοσίων παράπλους σταδίων.

670C. †τοῦτο† δ' | ἐστὶ Νάγιδος πρώτη μετὰ τὸ Ἀνεμούριον πόλις· εἶτ' Ἀρσινόη
πρόσορμον ἔχουσα· εἶτα τόπος Μελανία καὶ Κελένδερις, πόλις λιμένα
ἔχουσα. τινὲς δὲ ταύτην ἀρχὴν τίθενται τῆς Κιλικίας, οὐ τὸ Κορακήσιον,

20 St. B. 83, 8 · 24 St. B. 406, 9 29 Anon. Scor. 298r 21 31 *Eust. Il. 274, 45 sq.

15 αὐξηθέντας qz: -ες BCDF; -ων? 15 sq. πολέμῳ ῥωμαῖοι F 20 Ἀρσινόη multis suspectum; Συδρὴ Hopper, Σύεδρα Tzschucke, Αὔνησις? Müller (1031 ad 571, 28); at vide comm. εἶτ' ἀμαξία F (ἀμ- etiam St. B. P^{pc} NAld. V) 21 ὅποι Cobet ms. 25 Σελινοῦς D: σελινοὺς E, σελειvοῦς F, σεληνοῦς BC lacunam indicavi; vitium latere vidit Mannert (VI 2, 85); ⟨πολίχνιον καὶ⟩ Müller (1031 ad 571, 35), ⟨πόλις καὶ⟩ Jones; πόλις pro ποταμός Groskurd 26 τῇ post πρὸς add. E 27 ἄνδρυκλος E 27 sq. πλατανιστὴς E; Πλατανιστοῦς (hoc iam coniecit Korais) vel -ῆς Meineke (Vind. 228) 29 ἄκρας EF 33 ἐννακοσίων? Müller (1031 ad 571, 44) {παράπλους σταδίων} v. Herwerden (451) 34 textum corruptum etiam E legisse videtur; τούτου Meineke (Vind. 228), ἐν τούτῳ vel κατὰ τοῦτον Casaubonus 670 1 ἐστὶ Νάγιδος Casaubonus: ἐστὶν ἄγιδος BCF, ἔστιν ἄτιδος D πρώτη Casaubonus: πρῶτον codd. 2 προσ- fort. om. P (spatium non sufficere vid.) Μελαιναὶ? Μελανίαι?

ten; das Meer aber überließen sie den Kilikern. Als diese dann mächtig ge-
16 worden waren, wurden die Römer gezwungen, in einem Krieg mit Einsatz
ihrer Armee diejenigen zu erledigen deren Aufstieg sie nicht verhindert hat-
ten. Freilich ist es schwer ihnen Leichtfertigkeit vorzuwerfen: mit anderen
Dingen, die mehr in ihrer Nähe und Reichweite lagen, beschäftigt, waren
sie nicht imstande das weiter Entfernte zu verfolgen. Es schien uns ange-
bracht dies abschweifungsweise kurz zu bemerken.

20 Nach Korakesion kommt die Stadt Arsinoë, dann Hamaxia, eine Sied- 3
lung auf einem Hügel mit einem Ankerplatz, wohin das Schiffsbauholz her-
abgebracht wird; es ist zum größten Teil Zeder, und diese Region gilt als
besonders reich an dieser Holzsorte: deshalb hat Antonius der Kleopatra
24 diese Gegend zugewiesen, da sie geeignet war für den Bau der Flotten. Dann
Laertes, eine Burg auf einer kegelförmigen Spitze mit einem Ankerplatz,
dann Selinus * * * Fluss; dann Kragos, ein ringsum steil abfallender Fels am
Meer; dann Charadrus, eine natürliche Festung, ebenfalls mit einem Anker-
platz (darüber erhebt sich der Berg Andriklos), und eine rauhe Küste, Pla-
28 tanistos genannt; dann Kap Anemurion, wo das Festland dem Kyprischen
am nächsten ist; zum Zwiebelkap ist es eine Überfahrt von dreihundertfünf-
zig Stadien.

Von der Grenze Pamphyliens bis nach Anemurion misst die kilikische
32 Küste achthundertzwanzig Stadien; übrig ist noch bis Soloi eine Strecke von
etwa fünfhundert Stadien.

670 * * ist Nagidos die erste Stadt nach Anemurion; dann Arsinoë mit einem
Ankerplatz; dann ein Ort Melania und Kelenderis, eine Stadt mit Hafen.
4 Manche nehmen diese, und nicht Korakesion, als Anfang Kilikiens; zu ih-

4 ὧν ἐστι καὶ ὁ Ἀρτεμίδωρος· καί φησιν (fr. 116 Stiehle) ἀπὸ μὲν τοῦ Πηλουσια-
κοῦ στόματος εἶναι τρισχιλίους ἑξακοσίους πεντήκοντα σταδίους εἰς Ὀρθω-
σίαν, ἐπὶ δὲ τὸν Ὀρόντην ποταμὸν χιλίους ἑκατὸν τριάκοντα, ἐπὶ δὲ τὰς
Πύλας ἑξῆς πεντακοσίους εἴκοσι, ἐπὶ δὲ τοὺς ὅρους τῶν Κιλίκων χιλίους
8 ἐννακοσίους.

Εἶθ' Ὅλμοι, ὅπου πρότερον ᾤκουν οἱ νῦν Σελευκεῖς· κτισθείσης δ' ἐπὶ τῷ 4
Καλυκάδνῳ τῆς Σελευκείας ἐκεῖ μετῳκίσθησαν. εὐθὺς γάρ ἐστιν ἡ τοῦ Κα-
λυκάδνου ἐκβολὴ κάμψαντι ἠϊόνα ποιοῦσαν ἄκραν, ἣ καλεῖται Σαρπηδών (πλη-
12 σίον ἐστὶ τοῦ Καλυκάδνου καὶ τὸ Ζεφύριον, καὶ αὕτη ἄκρα). ἔχει δ' ὁ πο-
ταμὸς ἀνάπλουν εἰς τὴν Σελεύκειαν, πόλιν εὖ συνοικουμένην καὶ πολὺ ἀφ-
εστῶσαν τοῦ Κιλικίου καὶ Παμφυλίου τρόπου. ἐνταῦθα ἐγένοντο καθ' ἡμᾶς
ἄνδρες ἀξιόλογοι τῶν ἐκ τοῦ Περιπάτου φιλοσόφων Ἀθήναιός τε καὶ Ξέναρ-
16 χος. ὧν ὁ μὲν Ἀθήναιος καὶ ἐπολιτεύσατο καὶ ἐδημαγώγησε χρόνον τινὰ
ἐν τῇ πατρίδι· εἶτ' ἐμπεσὼν εἰς τὴν Μουρήνα φιλίαν ἐκείνῳ συνεάλω φεύ-
γων φωραθείσης τῆς κατὰ Καίσαρος τοῦ Σεβαστοῦ συσταθείσης ἐπιβουλῆς,
ἀναίτιος δὲ φανεὶς ἀφείθη ὑπὸ Καίσαρος (ὡς δ' ἐπανιόντα ἐκ Ῥώμης ἠσπά-
20 ζοντο καὶ ἐπυνθάνοντο οἱ πρῶτοι ἐντυγχάνοντες, τὸ τοῦ Εὐριπίδου [Hec. 1 sq.]
ἔφη

ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
λιπών)·

24 ὀλίγον δ' ἐπιβιοὺς χρόνον ἐν συμπτώσει τῆς οἰκίας ἐν ᾗ ᾤκει διεφθάρη
νύκτωρ γενομένῃ. Ξέναρχος δέ, οὗ ἠκροασάμεθα ἡμεῖς, ἐν οἴκῳ μὲν οὐ
πολὺ διέτριψεν, ἐν Ἀλεξανδρείᾳ δὲ καὶ Ἀθήνησι καὶ τὸ τελευταῖον ἐν Ῥώμῃ,
τὸν παιδευτικὸν βίον ἑλόμενος· χρησάμενος δὲ καὶ τῇ Ἀρείου φιλίᾳ καὶ μετὰ
28 ταῦτα τῇ Καίσαρος τοῦ Σεβαστοῦ διετέλεσε μέχρι γήρως ἐν τιμῇ ἀγόμε-

9 *St. B. 490, 5

5 ἑξακοσίους πεντήκοντα P (εξ.κ[|]ντηκοντα): ἐννακοσίους cett.; ἑξακοσίους Groskurd 6 χιλίους P: χίλια cett. 7 πεντακοσίους P: -κόσια cett. εἴκοσι habuisse videtur P propter spatium (coniecit Kramer): εἰκοσιπέντε cett. χιλίους P: χίλια cett. 8 ἐννακοσίους scripsi:]ακοσιους (nec plura?) P, διακόσια ἑξήκοντα BCDF; ἐννακόσια εἴκοσιν Groskurd (760, 15 ἐννακοσίους εἴκοσι traditum esse ratus), ἐνακόσια εἴκοσιν Meineke 9 οἱ νῦν fort. om. P 10 ἐκεῖσε? Kramer 11 ἠόνα D 12 δ' ante ἐστὶ add. ix καὶ αὕτη om. E 14 παμφυλίου καὶ κιλικίου E 15 Ἀθήναιός Tzschucke: ἀθηναῖός codd. 16 Ἀθήναιος Tzschucke: ἀθηναῖος codd. 17 Μουρήνα ed. pr.: -ῆνα codd. 19 ἐκ Ῥώμης P (coniecit Kramer; cf. Bowersock, CR 78, 1964, 12 sq.): εἰς ῥώμην cett. 20 τοῦ om. F 27 Ἀρείου D: ἀρίου BCF

nen gehört auch Artemidor: er sagt (fr. 116 Stiehle), von der Pelusischen
Mündung seien es dreitausendsechshundertfünfzig Stadien nach Orthosia,
bis zu dem Fluss Orontes eintausendeinhundertdreißig, bis zu dem Tor an-
schließend fünfhundertzwanzig und bis zur Grenze Kilikiens eintausend-
8 neunhundert.

Dann Holmoi, wo früher die heutigen Seleukeer gewohnt haben; als am 4
Kalykadnos Seleukeia gegründet worden war, wurden sie dorthin umgesie-
delt. Man kommt nämlich sofort an die Mündung des Kalykadnos, wenn
man um die Küste gebogen ist, die ein Kap, Sarpedon genannt, bildet (in
12 der Nähe des Kalykadnos liegt auch Zephyrion, ebenfalls ein Kap). Den
Fluss kann man hinaufschiffen nach Seleukeia, einer gut bevölkerten Stadt,
die stark abweicht von den kilikischen und pamphylischen Sitten. Dort wur-
den zu unserer Zeit die bedeutenden peripatetischen Philosophen Athenaios
16 und Xenarchos geboren. Von ihnen hat Athenaios sich eine Zeitlang in sei-
ner Heimat als Politiker und Volksführer betätigt; dann geriet er in freund-
schaftliche Beziehung zu Murena und wurde zusammen mit ihm, nachdem
das Komplott gegen Caesar Augustus aufgedeckt war, auf der Flucht ver-
haftet, aber, da sich herausstellte dass er unschuldig war, von Caesar freige-
20 lassen (als ihn bei seiner Rückkehr aus Rom die Ersten die ihm begegneten
begrüßten und ausfragten, zitierte er Euripides [Hec. 1 f.]

Ich komme vom Versteck der Toten und dem Tor
Der Finsternis);

24 nachdem er noch kurze Zeit gelebt, kam er bei dem Einsturz des Hauses in
dem er wohnte ums Leben (es geschah in der Nacht). Xenarchos, bei dem
wir gehört haben, hielt sich nicht viel zu Hause auf, sondern in Alexandrien
und Athen und zuletzt in Rom, da er sein Leben der Lehrtätigkeit gewidmet
28 hatte; als Freund sowohl des Areios als danach des Caesar Augustus blieb er

νος· μικρὸν δὲ πρὸ τῆς τελευτῆς πηρωθεὶς τὴν ὄψιν κατέστρεψε νόσῳ τὸν
βίον.

Μετὰ δὲ τὸν Καλύκαδνον ἡ Ποικίλη λεγομένη πέτρα, κλίμακα ἔχουσα **5**
32 λατομητὴν ἐπὶ Σελεύκειαν ἄγουσαν. εἶτ' Ἀνεμούριον ἄκρα ὁμώνυμος τῇ
προτέρᾳ καὶ Κράμβουσα νῆσος καὶ Κώρυκος ἄκρα, ὑπὲρ ἧς ἐν εἴκοσι σταδί-
οις ἐστὶ τὸ Κωρύκιον ἄντρον, ἐν ᾧ ἡ ἀρίστη κρόκος φύεται. ἔστι δὲ κοιλὰς
671 C. μεγάλη κυκλοτερὴς | ἔχουσα περικειμένην ὀφρὺν πετρώδη πανταχόθεν ἱκα-
νῶς ὑψηλήν· καταβάντι δ' εἰς αὐτὴν ἀνώμαλόν ἐστιν μικρὸν ἔδαφος καὶ τὸ
πολὺ πετρῶδες, μεστὸν δὲ τῆς θαμνώδους ὕλης ἀειθαλοῦς τε καὶ ἡμέρου·
4 παρέσπαρται δὲ καὶ τὰ ἐδάφη τὰ φέροντα τὴν κρόκον. ἔστι δὲ καὶ ἄντρον
αὐτόθι ἔχον πηγὴν μεγάλην ποταμὸν ἐξιεῖσαν καθαροῦ τε καὶ διαφανοῦς
ὕδατος εὐθὺς καταπίπτοντα ὑπὸ γῆς· ἐνεχθεὶς δ' ἀφανὴς ἐξίησιν εἰς τὴν
θάλατταν· καλοῦσι δὲ Πικρὸν ὕδωρ.

8 Εἶθ' ἡ Ἐλαιοῦσσα νῆσος μετὰ τὸν Κώρυκον προσκειμένη τῇ ἠπείρῳ, **6**
ἣν συνῴκισεν Ἀρχέλαος καὶ κατεσκευάσατο βασίλειον λαβὼν τὴν Τραχει-
ῶτιν Κιλικίαν ὅλην (πλὴν Σελευκείας) καθ' ὃν τρόπον καὶ Ἀμύντας πρότερον
εἶχε καὶ ἔτι πρότερον Κλεοπάτρα. εὐφυοῦς γὰρ ὄντος τοῦ τόπου πρὸς τὰ
12 ληστήρια καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν — κατὰ γῆν μὲν διὰ τὸ μέγε-
θος τῶν ὀρῶν καὶ τῶν ὑπερκειμένων ἐθνῶν πεδία καὶ γεώργια ἐχόντων
μεγάλα καὶ εὐκατατρόχαστα, κατὰ θάλατταν δὲ διὰ τὴν εὐποριάν τῆς τε
ναυπηγησίμου ὕλης καὶ τῶν λιμένων καὶ ἐρυμάτων καὶ ὑποδυτηρίων —,
16 ἐδόκει πρὸς ἅπαν τὸ τοιοῦτο βασιλεύεσθαι μᾶλλον τοὺς τόπους ἢ ὑπὸ τοῖς
Ῥωμαίων ἡγεμόσιν εἶναι τοῖς ἐπὶ τὰς κρίσεις πεμπομένοις, οἳ μήτ' ἀεὶ παρ-
εῖναι ἔμελλον μήτε μεθ' ὅπλων. οὕτω μὲν ὁ Ἀρχέλαος ἔλαβε πρὸς τῇ Καπ-

32–4 Eust. D. P. 367, 14–6 **33** St. B. 380, 23 sq. 671 **13 sq.** Anon. Scor. 298r 22 sq.

29 πηρωθεὶς D: πειρ- BCF **32** τὴν post ἐπὶ add. C **33** κραμβοῦσα F **34** ἡ ἀρίστη om. P ἔστι δὲ om. E 671 **2** μικρὸν P (μικρο[): om. cett. **3** δὲ om. E **4** καὶ prius del. Korais **5** τε om. B **6** γῆν E ἐξίησιν Bernardakis (30): ἔξεισιν BCDE, ἐξ ἔσιν F **7** Ψυχρὸν pro Πικρὸν Rebuffat (OTerr 5, 1999, 212–4) **8** Ἐλαιοῦσσα Tzschucke: ἐλεοῦσσα CE, ἐλέουσσα BF, ἐλέουσα D; Ἐλαιοῦσα Cobet ms. **9 sq.** Τραχειῶτιν EP: τραχιῶτιν CDF, τραχιώτην B **13** περικειτὸν P: τὴν cett. **13** περικειμένων P; ὑπο- Palmerius (349) **16** τοιοῦτον BC **16 sq.** τοῖς Ῥωμαίων scripsi: τῶν ῥωμαίων F, τοῖς ῥωμαίοις cett. **17** μήτ' Korais: μηδ' codd. **18** ὁ P: om. cett. παρελαβεν P

bis in sein Alter in hohen Ehren; kurz vor seinem Ende erblindet starb er an
einer Krankheit.

Nach dem Kalykadnos kommt der sogenannte Bunte Felsen, mit einer **5**
32 eingehauenen Treppe, die nach Seleukeia führt. Dann Anemurion, ein mit
dem vorigen gleichnamiges Kap, und die Insel Krambusa und Kap Korykos,
über dem, zwanzig Stadien entfernt, die Korykische Grotte liegt, in der der
671 beste Safran wächst. Es ist eine große kreisförmige Vertiefung, die an allen
Seiten von einem ziemlich hohen felsigen Rand umgeben ist; steigt man in
sie hinunter, dann trifft man auf einen kleinen unebenen und größtenteils
felsigen, aber mit immergrünem und gezüchtetem Gesträuch bedeckten Bo-
4 den; zwischendurch verstreut sind die Böden die den Safran tragen. Es gibt
auch eine Grotte dort mit einer großen Quelle, die einen Fluss mit reinem
und klarem Wasser speist, der sofort unter die Erde hinabfällt; er strömt un-
sichtbar weiter und ergießt sich ins Meer; man nennt ihn Bitterwasser.

8 Dann, nach Korykos, die direkt am Festland liegende Insel Elaiussa, die **6**
Archelaos zusammengesiedelt und als Residenz eingerichtet hat als er das
ganze Tracheiotische Kilikien (außer Seleukeia) bekommen hatte, in dersel-
ben Weise wie es früher Amyntas und noch früher Kleopatra besessen hat-
12 ten. Da nämlich die Region wie geschaffen ist für Räuberei sowohl zu Land
als zur See — zu Land wegen der großen Ausdehnung des Gebirges und weil
die oberhalb wohnenden Völker große und leicht zu überfallende Ebenen
und angebaute Flächen besitzen, zur See wegen des Reichtums sowohl an
Schiffsbauholz als an Häfen, natürlichen Festungen und Schlupfwinkeln —,
16 hielt man es im Hinblick auf dies alles für besser dass die Gegend von Köni-
gen regiert werde statt von den römischen Statthaltern, die zur Rechtspre-
chung dorthin gesandt werden und die weder ständig noch mit einer Streit-
macht dort anwesend sein würden: so bekam Archelaos zu Kappadokien

παδοκίᾳ τὴν Τραχεῖαν Κιλικίαν· εἰσὶ δ' ὅροι ταύτης μεταξὺ Σόλων τε καὶ
20 τῆς Ἐλαιούσσης ὁ Λάμος ποταμὸς καὶ κώμη ὁμώνυμος.

7 Κατὰ δὲ τὰς ἀκρωρείας τοῦ Ταύρου τὸ Ζηνικέτου πειρατήριόν ἐστιν
ὁ Ὄλυμπος, ὄρος τε καὶ φρούριον ὁμώνυμον, ἀφ' οὗ κατοπτεύεται πᾶσα ⟨ἡ⟩
Λυκία καὶ Παμφυλία καὶ Πισιδία καὶ Μιλυάς· ἁλόντος δὲ τοῦ ὄρους ὑπὸ τοῦ
24 Ἰσαυρικοῦ ἐνέπρησεν ἑαυτὸν πανοίκιον. τούτου δ' ἦν καὶ ὁ Κώρυκος καὶ ἡ
Φασηλὶς καὶ πολλὰ τῶν Παμφύλων χωρία· πάντα δ' εἷλεν ὁ Ἰσαυρικός.

8 Μετὰ δὲ Λάμον Σόλοι, πόλις ἀξιόλογος, τῆς ἄλλης Κιλικίας ἀρχὴ τῆς
περὶ τὸν Ἴσσον, Ἀχαιῶν καὶ Ῥοδίων κτίσμα τῶν ἐκ Λίνδου. εἰς ταύτην
28 λιπανδρήσασαν Πομπήϊος Μάγνος κατῴκισε τοὺς περιγενομένους τῶν πειρα-
τῶν οὓς μάλιστα ἔγνω σωτηρίας καὶ προνοίας τινὸς ἀξίους, καὶ μετωνόμασε
Πομπηΐου πόλιν. γεγόνασι δ' ἄνδρες ἐνθένδε τῶν ὀνομαστῶν Χρύσιππός τε ὁ
Στωϊκὸς φιλόσοφος (πατρὸς ὢν Ταρσέως ἐκεῖθεν μετοικήσαντος) καὶ Φιλή-
32 μων ὁ κωμικὸς ποιητὴς καὶ Ἄρατος ὁ τὰ Φαινόμενα συγγράψας ἐν ἔπεσιν.

9 Εἶτα Ζεφύριον ὁμώνυμον τῷ πρὸς Καλυκάδνῳ. εἶτ' Ἀγχιάλη μικρὸν
672C. ὑπὲρ τῆς θαλάττης, κτίσμα Σαρδαναπάλλου, φησὶν Ἀριστόβουλος (FGrHist
139 F 9)· ἐνταῦθα δ' εἶναι μνῆμα τοῦ Σαρδαναπάλλου καὶ τύπον λίθινον
συμβάλλοντα τοὺς τῆς δεξιᾶς χειρὸς δακτύλους ὡς ἂν ἀποκροτοῦντα, καὶ
4 ἐπιγραφὴν εἶναι Ἀσσυρίοις γράμμασι τοιάνδε· 'Σαρδανάπαλλος ὁ Ἀνακυν-
δαράξεω παῖς Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ· ἔσθιε, πῖνε,
παῖζε· ὡς τἆλλα τούτου οὐκ ἄξια' (τοῦ ἀποκροτήματος). μέμνηται δὲ καὶ
Χοιρίλος (SH 335) τούτων· καὶ δὴ καὶ περιφέρεται τὰ ἔπη ταυτί·

21–3 Eust. Il. 27, 42 sq. **24 sq.** Eust. D. P. 366, 47 sq. **27** *Eust. D. P. 372, 2
672 **4–9** *St. B. 24, 7–11 **4 sq.** *Σ D. P. 870 in cod. Par. gr. 2772 fol. 152v

20 τῆς P (τη[.]): om. cett. Ἐλαιούσσης P, ut vid. (ελα..υσσης) (coniecit Tzschucke): ἐλεούσσης BCDpcF, ἐλεούσης DacE; Ἐλαιούσης Cobet ms. Λάμος P, ut vid. (λα[.]ος) (coniecit Tzschucke, cf. 26): λάτμος cett. **22** addidi **22 sq.** λυκια πασα P **23** καὶ Μιλυάς om. Eust. Μιλυάς F: μιλυ.ς P, μιλύας E, λιλύας BCD ὄρους D: ὄρου cett. ὑπὸ P (.πο) (coniecit Casaubonus): om. cett. **24** ἡ om. P **25** Φασηλὶς Hopper: φασηλις P, φασιλὶς cett.; Φάσηλις Meineke **26** Λάμον Tzschucke ducibus Cellario (¹2, 237 [prior paginarum series] = ²2, 142 sq.) et Mannert (VI 2, 69 sq.): λάτμον codd. (cf. 20) **27** τὸν om. EF **28** λιπανδρ- Cobet ms. (cf. 364, 36 comm.): λειπανδρ- codd. **29** τινὸς om. DE **30** Πομπηΐου πόλιν scripsi: πομπηιούπολιν E, πομπηϊόπολιν cett. ἐνθάδε F ὀνομαστοτάτων D **33** Καλυκάδνῳ E: καλύδνῳ cett. **34** τῆς om. E 672 **3** ἔνιοι δὲ ante καὶ add. codd.: del. Kramer **4 sq.** κυνδαράξεω St. B. **5** ἔδειμεν ἐν ἡμέρᾳ St. B.; ἔδειμεν ἐν ἡμέρῃ Casaubonus **7** Χοιρίλος F: χοιρίλογος BC, χειρίλογος D

20 das Rauhe Kilikien hinzu. Dessen Grenze bilden zwischen Soloi und Elaiussa der Fluss Lamos und ein gleichnamiges Dorf.

7 Auf den Gipfeln des Tauros liegt das Räuberhauptquartier des Zeniketes: der Olympos, ein Berg und eine gleichnamige Festung, von wo man ganz Lykien, Pamphylien, Pisidien und Milyas überblickt; als der Berg von Isau-
24 ricus erobert worden war, hat er sich dort mit seinem ganzen Haushalt verbrannt. Ihm gehörten auch Korykos und Phaselis und viele Orte der Pamphylier; sie alle hat Isauricus erobert.

8 Nach Lamos kommt Soloi, eine bedeutende Stadt, der Anfang des anderen, bei Issos gelegenen, Kilikiens, eine Gründung der Achäer und der Rho-
28 dier aus Lindos. Da die Stadt entvölkert war, siedelte Pompeius Magnus dort die überlebenden Seeräuber an, die nach seinem Urteil am meisten Rettung und eine gewisse Fürsorge verdienten, und änderte den Namen in Pompeiu Polis. An namhaften Männern stammten von hier Chrysippos, der Stoi-
32 sche Philosoph (Sohn eines Tarsiers, der von dort umgesiedelt war), Philemon, der komische Dichter, und Arat, der die *Himmelserscheinungen* in Hexametern verfasst hat.

9 Dann Zephyrion, mit demselben Namen wie das beim Kalykadnos. Dann Anchiale, etwas oberhalb des Meeres, eine Gründung des Sardanapallos,
672 sagt Aristobulos (FGrHist 139 F 9): dort sei das Grab und ein Marmorrelief des Sardanapallos, das die Finger der rechten Hand wie zum Schnippchen-
4 schlagen zusammenhält, und die Inschrift in assyrischen Schriftzeichen laute folgendermaßen: 'Sardanapallos, der Sohn des Anakyndaraxes, hat Anchiale und Tarsos an einem Tage gebaut: iss, trinke, scherze, denn das Übrige ist dies – das Schnippchen – nicht wert'. Auch Choirilos erwähnt dies (SH 335); und so sind auch folgende Hexameter im Umlauf

ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἀφύβρισα καὶ μετ' ἔρωτος
τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.

10 Ὑπέρκειται δὲ τὰ Κύινδα τῆς Ἀγχιάλης ἔρυμα, ᾧ ἐχρήσαντό ποτε οἱ Μακεδόνες γαζοφυλακίῳ (ἦρε δὲ τὰ χρήματα Εὐμένης ἀποστὰς Ἀντιγόνου). ἔτι δ' ὕπερθεν τούτου τε καὶ τῶν Σόλων ὀρεινή ἐστιν, ἐν ᾗ Ὄλβη πόλις Διὸς ἱερὸν ἔχουσα, Αἴαντος ἵδρυμα τοῦ Τεύκρου. καὶ ὁ ἱερεὺς δυνάστης ἐγίνετο τῆς Τραχειώτιδος· εἶτ' ἐπέθεντο τῇ χώρᾳ τύραννοι πολλοί, καὶ συνέστη τὰ λῃστήρια· μετὰ δὲ τὴν τούτων κατάλυσιν ἐφ' ἡμῶν ἤδη τὴν τοῦ Τεύκρου δυναστείαν ταύτην ἐκάλουν, τὴν δ' αὐτὴν καὶ ἱερωσύνην· καὶ οἱ πλεῖστοί γε τῶν ἱερασαμένων ὠνομάζοντο Τεῦκροι ἢ Αἴαντες. εἰσιοῦσα δὲ Ἄβα κατ' ἐπιγαμίαν εἰς τὸν οἶκον τοῦτον ἡ Ζηνοφάνους θυγάτηρ, ἑνὸς τῶν τυράννων, αὐτὴ κατέσχε τὴν ἀρχὴν προλαβόντος τοῦ πατρὸς ἐν ἐπιτρόπου σχήματι· ὕστερον δὲ καὶ Ἀντώνιος καὶ Κλεοπάτρα κατεχαρίσαντο ἐκείνῃ θεραπείαις ἐκλιπαρηθέντες· ἔπειθ' ἡ μὲν κατελύθη, τοῖς δ' ἀπὸ τοῦ γένους διέμεινεν ἡ ἀρχή.

Μετὰ δὲ τὴν Ἀγχιάλην αἱ τοῦ Κύδνου ἐκβολαὶ κατὰ τὸ Ῥῆγμα καλούμενον. ἔστι δὲ λιμνάζων τόπος ἔχων καὶ παλαιὰ νεώρια, εἰς ὃν ἐκπίπτει ὁ Κύδνος ὁ διαρρέων μέσην τὴν Ταρσὸν τὰς ἀρχὰς ἔχων ἀπὸ τοῦ ὑπερκειμένου τῆς πόλεως Ταύρου· καί ἐστιν ἐπίνειον ἡ λίμνη τῆς Ταρσοῦ.

673C. 11 Μέχρι μὲν δὴ δεῦρο ἡ παραλία πᾶσα, ἀπὸ τῆς Ῥοδίων περαίας ἀρξαμένη, πρὸς ἰσημερινὰς ἀνατολὰς ἀπὸ τῶν ὁμωνύμων ἐκτείνεται δύσεων. εἶτ' ἐπὶ τὴν χειμερινὴν ἀνατολὴν ἐπιστρέφει μέχρι Ἰσσοῦ κἀντεῦθεν ἤδη καμπὴν λαμβάνει πρὸς νότον μέχρι Φοινίκης (τὸ δὲ λοιπὸν πρὸς δύσιν μέχρι Στηλῶν τελευτᾷ). τὸ μὲν οὖν ἀληθὲς ὁ ἰσθμὸς τῆς περιωδευμένης χερρονήσου οὗτός ἐστιν ὁ ἀπὸ Ταρσοῦ καὶ τῆς ἐκβολῆς τοῦ Κύδνου μέχρι Ἀμισοῦ. τὸ γὰρ ἐλάχιστον ἐξ Ἀμισοῦ διάστημα ἐπὶ τοὺς Κιλίκων ὅρους τοῦτ' ἔστιν, ἐντεῦθεν δὲ ἑκατὸν εἴκοσίν εἰσιν εἰς Ταρσὸν στάδιοι κἀκεῖθεν οὐ πλείους ἐπὶ τὴν ἐκβολὴν τοῦ Κύδνου. καὶ μὴν ἐπί γε Ἰσσὸν καὶ τὴν κατ' αὐτὴν θάλατταν οὔτ' ἄλλη ὁδὸς συντομωτέρα ἐστὶν ἐξ Ἀμισοῦ τῆς διὰ Ταρσοῦ οὔτ' ἐκ Ταρ-

8 ἐφύβρισα E 9 τερπνὰ πάθον St. B. 12 τε om. C Ὄλβη D: ὄλβοι cett. 14 Τραχει- Tzschucke: τραχι- codd. 17 ἱερω- F δ' pro δὲ Müller 19 αὕτη F προσλαβόντος F 24 παλαιὰ ixyz: πάλαι BCDEF 673 3 καὶ ante Ἰσσοῦ add. E 8 πλείους F: πλείους πέντε cett.; πλείους ο' Müller (1032 ad 574, 19; cf. iam ad Stad. M. M. 168), Kiessling (RE s. v. Regma 505, 21 sqq.) coll. Stad. M. M. 168, prob. Aly 1957, 28 9 θάλασσαν B

Das hab ich was ich gegessen, geschwelgt und genossen in Liebe
Wonniglich: all jenen Reichtum, den riesigen, ließ ich zurücke.

10 Oberhalb von Anchiale liegt Kyinda, eine natürliche Festung, die einst die Makedonen als Schatzkammer benutzt haben (das Geld nahm Eumenes mit, als er von Antigonos abfiel). Noch weiter oberhalb davon und von Soloi ist ein Bergland, in dem die Stadt Olbe liegt mit einem Zeusheiligtum, einer Stiftung von Teukros' Sohn Aias. Sein Priester wurde immer Herrscher der Tracheiotis; dann überfielen viele Tyrannen das Land und entstanden die Räuberbanden; nach deren Beseitigung nannte man dies schließlich zu unserer Zeit das Fürstentum und gleichzeitig auch das Priestertum des Teukros; und die meisten Verwalter des Priesteramtes trugen auch den Namen Teukros oder Aias. Als aber Aba, die Tochter des Zenophanes, eines der Tyrannen, in diese Familie eingeheiratet hatte, brachte sie selber die Herrschaft an sich, die vorher ihr Vater als Vormund ausgeübt hatte; später schenkten Antonius und Kleopatra sie ihr, die sich durch ihre Liebedienerei hatten erweichen lassen; dann wurde sie zu Fall gebracht, und das Geschlecht behielt die Herrschaft.

Nach Anchiale kommt die Mündung des Kydnos bei dem sogenannten Durchbruch (*Rhegma*): es ist eine zu einem See gewordene Stelle (wo auch alte Schiffswerften liegen), in die der Kydnos mündet, der mitten durch Tarsos fließt und auf dem Tauros entspringt, der sich über der Stadt erhebt; der See ist der Hafenplatz von Tarsos.

673 11 Bis hierher verläuft die ganze Küste, angefangen bei der Peraia der Rhodier, in west-östlicher Richtung. Danach biegt sie nach Südosten bis Issos, und dort macht sie schließlich eine Biegung nach Süden bis Phönizien (das Übrige endet in westlicher Richtung bei den Säulen). In Wirklichkeit ist die Landenge der umwanderten Halbinsel eben diese, die von Tarsos und der Mündung des Kydnos bis Amisos läuft: denn dies ist die kürzeste Entfernung von Amisos zu der Grenze der Kiliker; von dort sind es hundertzwanzig Stadien nach Tarsos und von dort zur Mündung des Kydnos nicht mehr. Ja, auch nach Issos und dem dortigen Meer gibt es keinen kürzeren Weg

σοῦ ἐπὶ Ἰσσὸν ἐγγυτέρω ἐστὶν ἢ ἐπὶ Κύδνον. ὥστε δῆλον ὅτι ταῖς μὲν
12 ἀληθείαις οὗτος ἂν εἴη ὁ ἰσθμός· λέγεται δ' ὅμως ὁ μέχρι τοῦ Ἰσσικοῦ
κόλπου παρακλεπτόντων διὰ τὸ σημειῶδες. διὰ δὲ τοῦτ' αὐτὸ καὶ τὴν ἐκ
τῆς Ῥοδίας γραμμήν, ἣν μέχρι τοῦ Κύδνου κατηγάγομεν, τὴν αὐτὴν ἀποφαί-
νομεν τῇ μέχρι Ἰσσοῦ οὐδὲν παρὰ τοῦτο ποιούμενοι, καὶ τὸν Ταῦρόν φαμεν
16 διήκειν ἐπ' εὐθείας τῇδε τῇ γραμμῇ μέχρι τῆς Ἰνδικῆς.

Ἡ δὲ Ταρσὸς κεῖται μὲν ἐν πεδίῳ, κτίσμα δ' ἐστὶ τῶν μετὰ Τριπτολέ- **12**
μου πλανηθέντων Ἀργείων κατὰ ζήτησιν Ἰοῦς. διαρρεῖ δ' αὐτὴν μέσην ὁ
Κύδνος παρ' αὐτὸ τὸ γυμνάσιον τῶν νέων· ἅτε δὴ τῆς πηγῆς οὐ πολὺ
20 ἄπωθεν οὔσης καὶ τοῦ ῥείθρου διὰ φάραγγος βαθείας ἰόντος, εἶτ' εὐθὺς
εἰς τὴν πόλιν ἐκπίπτοντος, ψυχρόν τε καὶ ταχὺ τὸ ῥεῦμά ἐστιν· ὅθεν καὶ
τοῖς παχυνευροῦσι ῥοϊζομένοις καὶ κτήνεσι καὶ ἀνθρώποις ἐπικουρεῖ.

Τοσαύτη δὲ τοῖς ἐνθάδε ἀνθρώποις σπουδὴ πρός τε φιλοσοφίαν καὶ τὴν **13**
24 ἄλλην παιδείαν ⟨τὴν⟩ ἐγκύκλιον ἅπασαν γέγονεν ὥσθ' ὑπερβέβληνται καὶ
Ἀθήνας καὶ Ἀλεξάνδρειαν καὶ εἴ τινα ἄλλον τόπον δυνατὸν εἰπεῖν ἐν ᾧ
σχολαὶ καὶ διατριβαὶ φιλοσόφων γεγόνασι. διαφέρει δὲ τοσοῦτον ὅτι ἐν-
ταῦθα μὲν οἱ φιλομαθοῦντες ἐπιχώριοι πάντες εἰσί, ξένοι δ' οὐκ ἐπιδημοῦσι
28 ῥᾳδίως· οὐδ' αὐτοὶ οὗτοι μένουσιν αὐτόθι, ἀλλὰ καὶ τελειοῦνται ἐκδημήσαν-
τες καὶ τελειωθέντες ξενιτεύουσιν ἡδέως, κατέρχονται δ' ὀλίγοι (ταῖς δ' ἄλλαις
πόλεσιν ἃς ἀρτίως εἶπον — πλὴν Ἀλεξανδρείας — συμβαίνει τἀναντία· φοιτῶσι
674C. γὰρ εἰς αὐτὰς πολλοὶ καὶ διατρίβουσιν αὐτόθι ἄσμενοι, | τῶν δ' ἐπιχωρίων οὐ
πολλοὺς οὔτ' ἂν ἔξω φοιτῶντας ἴδοις κατὰ φιλομάθειαν οὔτ' αὐτόθι περὶ
τοῦτο σπουδάζοντας· Ἀλεξανδρεῦσι δ' ἀμφότερα συμβαίνει· καὶ γὰρ δέχονται
4 πολλοὺς τῶν ξένων καὶ ἐκπέμπουσι τῶν ἰδίων οὐκ ὀλίγους). καί εἰσι σχολαὶ
παρ' αὐτοῖς παντοδαπαὶ τῶν περὶ λόγους τεχνῶν· καὶ τἆλλα δ' εὐανδρεῖ καὶ
πλεῖστον δύναται, τὸν τῆς μητροπόλεως ἐπέχουσα λόγον.

Ἄνδρες δ' ἐξ αὐτῆς γεγόνασι τῶν μὲν Στωϊκῶν Ἀντίπατρός τε καὶ Ἀρ- **14**
8 χέδημος καὶ Νέστωρ, ἔτι δ' Ἀθηνόδωροι δύο, ὧν ὁ μὲν Κορδυλίων ἐπικα-

673 **17 sq.** *Eust. D. P. 369, 45–7 **21 sq.** *Eust. D. P. 369, 30–2. Σ Lucian. Dom. 1 p. 15, 19–22 Rabe (cf. Diller 1975, 80) **23–675, 18** *Eust. D. P. 369, 49 sq.

11 ἐγγύτερον E **14** ἣν om. E (cf. ad 14 sq.) **14 sq.** ἀποφαίνομεν Groskurd: -φαινόμενοι BCEF, -φαινόμενος D **15** τῇ q: τῇ τῇ E[ac], τῇ τὴν E[pc], τὴν BCDF παρα-{τοῦτο}ποιούμενοι Madvig (Adv. 1, 544) **19** δὲ pro δὴ Korais **20** ἄποθεν C **21** τραχὺ Eust. BCQR, gq **24** παίδευσιν X addidi **29** κατέρχονται Xylander: κατέχ- codd. 674 **3** τούτου F γε μὴν pro δ' Plan. **4** post ὀλίγους quaedam excidisse coniecit Casaubonus; at vide comm. **5** δ' C: τ' BD, τε F **6** ἐπέχουσα D[s]F: ἀπ- BCD[i] **8 sq.** καλούμενος q

von Amisos als den über Tarsos, und von Tarsos ist es nach Issos nicht nä-
12 her als zum Kydnos. Es ist also klar dass in Wirklichkeit dies die Landenge
wäre; man bezeichnet aber als solche trotzdem die die bis zum Issischen
Golf läuft, indem man der markanten Stelle zuliebe mogelt. Aus eben dem-
selben Grunde erklären wir auch, ohne einen Unterschied zu machen, die
Linie die wir vom Rhodischen bis zum Kydnos gezogen haben für identisch
16 mit der bis Issos gezogenen und behaupten dass der Tauros sich in Fortset-
zung dieser Linie bis Indien erstreckt.

Tarsos liegt in der Ebene; es ist eine Gründung der Argiver, die mit Trip- **12**
tolemos umhergezogen waren um Io zu suchen. Mitten durch die Stadt
fließt der Kydnos, direkt am Gymnasion der Jungen vorbei; da seine Quelle
20 ja nicht weit entfernt ist und sein Bett durch eine tiefe Schlucht läuft und
dann sofort in die Stadt kommt, ist sein Strom kalt und schnell, wodurch er
wohltuend wirkt auf geschwollene Sehnen die man hineinhält, sowohl beim
Vieh als beim Menschen.

So stark ist bei den Leuten hier der Drang zur Philosophie und der gan- **13**
24 zen übrigen allgemeinen Bildung dass sie Athen und Alexandrien übertref-
fen und jeden anderen Ort den man sonst etwa noch nennen kann, in dem es
Philosophenschulen und -vorlesungen gibt. Der Unterschied liegt nur darin
dass hier die Lernbegierigen sämtlich Einheimische sind und Fremde sich
28 hier nicht leicht länger aufhalten; und auch die Einheimischen selber bleiben
nicht hier, sondern vollenden ihre Ausbildung im Ausland, bleiben, wenn
sie ausgelernt haben, gern in der Fremde und kehren selten zurück (bei den
anderen Städten dagegen, die ich eben nannte – außer Alexandrien – geht
es umgekehrt: es kommen Viele dorthin und halten sich dort mit Freuden
674 auf, von den Einheimischen dagegen sieht man nicht Viele aus Lernbegierde
sei's ins Ausland gehen sei's an Ort und Stelle sich darum bemühen; bei den
4 Alexandrinern geschieht beides: einerseits empfangen sie viele Ausländer,
andererseits schicken sie nicht Wenige von ihren eigenen Leuten in die
Fremde). Und es gibt bei ihnen alle möglichen Schulen für die Redekünste,
und auch sonst ist die Stadt volkreich und überaus mächtig, so dass sie die
Stellung der Hauptstadt einnimmt.

8 Aus ihr gebürtige Männer waren von den Stoikern Antipatros, Archede- **14**
mos und Nestor, sowie die beiden Athenodore, von denen der eine, Kordy-

λούμενος συνεβίωσε Μάρκῳ Κάτωνι καὶ τελευτᾷ παρ' ἐκείνῳ. ὁ δὲ τοῦ Σάν-
δωνος, ὃν καὶ Κανανίτην φασὶν ἀπὸ κώμης τινός, Καίσαρος καθηγήσατο
καὶ τιμῆς ἔτυχε μεγάλης κατιών τε εἰς τὴν πατρίδα ἤδη γηραιὸς κατέλυσε
12 τὴν καθεστῶσαν πολιτείαν κακῶς φερομένην ὑπό τε ἄλλων καὶ Βοήθου,
κακοῦ μὲν ποιητοῦ, κακοῦ δὲ πολίτου δημοκοπίαις ἰσχύσαντος τὸ πλέον. ἐπ-
ῆρε δ' αὐτὸν καὶ Ἀντώνιος κατ' ἀρχὰς ἀποδεξάμενος τὸ γραφὲν εἰς τὴν ἐν
Φιλίπποις νίκην ἔπος (καὶ ἔτι μᾶλλον ἡ εὐχέρεια ἡ ἐπιπολάζουσα παρὰ τοῖς
16 Ταρσεῦσιν, ὥστ' ἀπαύστως σχεδιάζειν παραχρῆμα πρὸς τὴν δεδομένην ὑπό-
θεσιν)· καὶ δὴ καὶ γυμνασιαρχίαν ὑποσχόμενος Ταρσεῦσι τοῦτον ἀντιγυμ-
νασίαρχον κατέστησε καὶ τὰ ἀναλώματα ἐπίστευσεν αὐτῷ. ἐφωράθη δὲ
νοσφισάμενος τά τε ἄλλα καὶ τοὔλαιον· ἐλεγχόμενος δ' ὑπὸ τῶν κατηγόρων
20 ἐπὶ τοῦ Ἀντωνίου παρῃτεῖτο τὴν ὀργὴν σὺν ἄλλοις καὶ ταῦτα λέγων ὅτι
'ὥσπερ Ὅμηρος ἐξύμνησεν Ἀχιλλέα καὶ Ἀγαμέμνονα καὶ Ὀδυσσέα, οὕτως
ἐγὼ σέ· οὐ δίκαιος οὖν εἰμι εἰς τοιαύτας ἄγεσθαι διαβολὰς ἐπὶ σοῦ' (πα-
ραλαβὼν οὖν ὁ κατήγορος τὸν λόγον 'ἀλλ' Ὅμηρος μέν' ἔφη 'ἔλαιον Ἀγα-
24 μέμνονος οὐκ ἔκλεψεν, ἀλλ' οὐδὲ Ἀχιλλέως, σὺ δέ· ὥστε δώσεις δίκην').
διακρουσάμενος δ' οὖν θεραπείαις τισὶ τὴν ὀργὴν οὐδὲν ἧττον διετέλεσεν
ἄγων καὶ φέρων τὴν πόλιν μέχρι τῆς καταστροφῆς τοῦ Ἀντωνίου. τοιαύτην
δὲ τὴν πόλιν καταλαβὼν ὁ Ἀθηνόδωρος τέως μὲν ἐπεχείρει λόγῳ μετάγειν
28 κἀκεῖνον καὶ τοὺς συστασιώτας· ὡς δ' οὐκ ἀπείχοντο ὕβρεως οὐδεμιᾶς,
ἐχρήσατο τῇ δοθείσῃ ὑπὸ τοῦ Καίσαρος ἐξουσίᾳ καὶ ἐξέβαλεν αὐτοὺς κατα-
γνοὺς φυγήν. οἱ δὲ πρῶτον μὲν κατετοιχογράφησαν αὐτοῦ τοιαῦτα·

675C. ἔργα νέων, βουλαὶ δὲ μέσων, πορδαὶ δὲ γερόντων.

ἐπεὶ δ' ἐκεῖνος ἐν παιδιᾶς μέρει δεξάμενος ἐκέλευσε παρεπιγράψαι 'βρονταὶ
δὲ γερόντων', καταφρονήσας τις τοῦ ἐπιεικοῦς εὔλυτον τὸ κοιλίδιον ἔχων
4 προσέρρανε πολὺ τῇ θύρᾳ καὶ τῷ τοίχῳ νύκτωρ παριὼν τὴν οἰκίαν. ὁ δὲ
τῆς στάσεως κατηγορῶν ἐν ἐκκλησίᾳ 'τὴν νόσον τῆς πόλεως' ἔφη 'καὶ τὴν
καχεξίαν πολλαχόθεν σκοπεῖν ἔξεστι καὶ δὴ καὶ ἐκ τῶν διαχωρημάτων'.

15–7 *Eust. D. P. 369, 47–9 **675 3 sq.** Anon. Scor. 298r 22

9 ἐτελεύτα Korais **10** κανίτην B **11** κατιὼν δὲ D **12** ἀπό F Βοήθου Meineke (Vind. 228): βοηθοῦ codd. **16** ἀπταίστως σχεδιάζειν? Casaubonus (De satyrica Graecorum poesi ..., Parisiis 1605, 202), Piccolos (1860, 729); ἀποσχεδιάζειν Eust., ἀπαυτοσχεδιάζειν Korais, αὐτοσχεδιάζειν Cobet (Misc. 196) **17 sq.** ἀντὶ γυμνασιάρχου Plan., sw **22** οὖν om. C **23** ἔλαιον xz: ἔλαιον μὲν BCDF **24** ἀλλ' om. Plan. **26 sq.** τοιαύτην μὲν καταλαβὼν τὴν πόλιν D **27** λέγων pro λόγῳ D **28** ἐκεῖνον F **675 2** ἐπεὶ δ' Xylander: ἔπειτ' codd. **3** τις Korais: δέ τις C^{pc}, δέ τι F, δ' ἔτι BC^{ac}D (cf. 2)

lion genannt, sein Leben mit Marcus Cato teilte und in dessen Hause starb.
Der Sohn Sandons, den man auch nach irgendeinem Dorf den Kananiter
nennt, war Caesars Lehrer und kam zu großen Ehren. Als er, bereits ein al-
12 ter Mann, in seine Vaterstadt zurückkehrte, machte er der derzeitigen Re-
gierung ein Ende, die schlecht geführt wurde, besonders durch Zutun von
Boëthos, einem schlechten Dichter und schlechten Bürger, der seine Macht
hauptsächlich seinem demagogischen Treiben verdankte. Auftrieb gegeben
hatte ihm auch Antonius, der anfänglich sehr eingenommen war von seinem
auf den Sieg in Philippi verfassten Epos (und noch mehr die bei den Tar-
16 siern verbreitete Geschicklichkeit, ohne zu stocken sofort zu jedem gegebe-
nen Thema zu improvisieren); so kam es dass er, als er den Tarsiern die
Gymnasiarchie versprochen hatte, ihn zum Vizegymnasiarchen ernannte
und ihm die Ausgaben anvertraute. Da entdeckte man dass er unter anderem
20 das Öl veruntreut hatte; von den Anklägern vor Antonius überführt ver-
suchte er dessen Zorn abzuwenden indem er neben Anderem auch sagte:
'Wie Homer den Achill, den Agamemnon und den Odysseus, so habe ich
dich gefeiert: ich habe es also nicht verdient, vor dir solchen Verleumdungen
preisgegeben zu werden' (der Ankläger griff das Argument auf und sagte:
24 'Aber Homer hat nicht nur Agamemnons sondern auch Achills Öl nicht ge-
stohlen, du aber hast es getan: deshalb wirst du bestraft werden'). Indessen
wusste er durch irgendwelche Schmeicheleien seinem Zorn zu entgehen und
plünderte nichtsdestoweniger die Stadt weiter bis zum Sturz des Antonius.
Athenodoros, der die Stadt in einem solchen Zustand vorfand, versuchte
28 eine Zeitlang ihn und seine Parteigänger mit Vorhaltungen zu einem ande-
ren Kurs zu bewegen. Als sie aber von keiner einzigen Brutalität ließen,
machte er Gebrauch von seiner ihm von Caesar verliehenen Vollmacht, ver-
urteilte sie zur Verbannung und warf sie hinaus. Sie hatten ihm erst auf die
Hausmauer geschrieben

675 Jungen die Tat, den Mittleren Rat, den Alten das Furzen.

Als er es aber als Spaß aufnahm und daneben schreiben ließ 'den Alten das
Donnern', hatte einer, der die Schicklichkeit missachtete und einen leicht-
4 flüssigen Bauch hatte, als er nachts an seinem Haus vorbeikam, die Tür und
die Mauer tüchtig bespritzt. Er aber sagte in der Volksversammlung bei sei-
ner Anklage gegen die Umtriebe: 'Die Krankheit und das schlechte Befinden
der Stadt kann man aus Vielem ersehen, besonders aber aus ihrem Stuhl-
gang'.

Οὗτοι μὲν Στωϊκοὶ ἄνδρες. Ἀκαδημαϊκὸς δὲ Νέστωρ ὁ καθ' ἡμᾶς, ὁ Μαρ-
8 κέλλου καθηγησάμενος τοῦ Ὀκταουίας παιδὸς τῆς Καίσαρος ἀδελφῆς· καὶ
οὗτος δὲ προέστη τῆς πολιτείας διαδεξάμενος τὸν Ἀθηνόδωρον καὶ διετέλεσε
τιμώμενος παρά τε τοῖς ἡγεμόσι καὶ ἐν τῇ πόλει. τῶν δ' ἄλλων φιλοσόφων, **15**
'οὕς κεν εὖ γνοίην καὶ τοὔνομα μυθησαίμην', Πλουτιάδης τε ἐγένετο καὶ
12 Διογένης, τῶν περιπολιζόντων καὶ σχολὰς διατιθεμένων εὐφυῶς· ὁ δὲ Διο-
γένης καὶ ποιήματα ὥσπερ ἀπεφοίβαζε τεθείσης ὑποθέσεως (τραγικὰ ὡς ἐπὶ
τὸ πολύ)· γραμματικοὶ δέ, ὧν καὶ συγγράμματά ἐστιν, Ἀρτεμίδωρός τε καὶ
Διόδωρος· ποιητὴς δὲ τραγῳδίας ἄριστος, τῶν τῆς Πλειάδος καταριθμουμέ-
16 νων, Διονυσι⟨ά⟩δης. μάλιστα δ' ἡ Ῥώμη δύναται διδάσκειν τὸ πλῆθος τῶν
ἐκ τῆσδε τῆς πόλεως φιλολόγων· Ταρσέων γὰρ καὶ Ἀλεξανδρέων ἐστὶ μεστή.
τοιαύτη μὲν ἡ Ταρσός.

Μετὰ δὲ τὸν Κύδνον ὁ Πύραμος, ἐκ τῆς Καταονίας ῥέων, οὗπερ καὶ **16**
20 πρότερον ἐμνήσθημεν (536, 3 sqq.)· φησὶ δ' Ἀρτεμίδωρος (fr. 115 Stiehle) ἐντεῦ-
θεν εἰς Σόλους εὐθυπλοίᾳ σταδίους εἶναι πεντακοσίους. πλησίον δὲ καὶ
Μαλλὸς ἐφ' ὕψους κειμένη, κτίσμα Ἀμφιλόχου καὶ Μόψου τοῦ Ἀπόλλωνος
καὶ Μαντοῦς, περὶ ὧν πολλὰ μυθολογεῖται· καὶ δὴ καὶ ἡμεῖς ἐμνήσθημεν
24 αὐτῶν ἐν τοῖς περὶ Κάλχαντος λόγοις καὶ τῆς ἔριδος ἣν ἤρισαν περὶ τῆς
μαντικῆς ὅ τε Κάλχας καὶ ὁ Μόψος (642, 23 sqq.). ταύτην τε γὰρ τὴν ἔριν
μεταφέρουσιν ἔνιοι, καθάπερ καὶ Σοφοκλῆς (F 180), εἰς τὴν Κιλικίαν, καλέ-
σας ἐκεῖνος αὐτὴν Παμφυλίαν τραγικῶς (F 180 a), καθάπερ καὶ τὴν Λυκίαν
28 Καρίαν καὶ τὴν Τροίαν καὶ Λυδίαν Φρυγίαν· καὶ τὸν θάνατον δὲ τοῦ Κάλ-
χαντος ἐνταῦθα παραδιδόασιν ἄλλοι τε καὶ Σοφοκλῆς. οὐ μόνον δὲ τὴν περὶ
τῆς μαντικῆς ἔριν μεμυθεύκασιν ἀλλὰ καὶ περὶ τῆς ἀρχῆς. τὸν γὰρ Μόψον
676C. φασὶ καὶ τὸν Ἀμφίλοχον ἐκ Τροίας ἐλθόντας κτίσαι Μαλλόν· | εἶτ' Ἀμφίλο-
χον εἰς Ἄργος ἀπελθεῖν, δυσαρεστήσαντα δὲ τοῖς ἐκεῖ πάλιν ἀναστρέψαι

10 ἐν om. D 11 εὖ γνοίην Tzschucke: εὖ γνοίην DF, εὐγνοίην BC καί κ' οὔνομα F; καί τ' οὔνομα Meineke Homeri textum receptum secutus τε F: δὲ cett. 14 τὸ BC: om. DF 15 sq. καταριθμούμενος G. Bernhardy (Grundriss der Griech. Literatur. Zweite Bearb. II 2, Halle 1859, 70) 16 add. Stemplinger (27[1]) δὲ τὴν Ῥώμην inepte Sihler (AJPh 44, 1923, 141) 23 Μαντοῦς Xylander: λητοῦς codd. 27 καὶ om. E 28 καὶ Λυδίαν Φρυγίαν Korais: κιλικίαν καὶ φρυγίαν E, καὶ λυκίαν καὶ φρυγίαν cett.; Μυσίαν καὶ Λυδίαν καὶ Φρυγίαν v. Herwerden 451) coll. 665, 17 sq. 30 περὶ F: om. cett. 31 Ἀμφίλοχον q: ἀντί- BCDF

Dies waren Stoiker. Ein Akademiker war unser Zeitgenosse Nestor, der
8 Lehrer des Marcellus, des Sohnes der Octavia, Caesars Schwester. Auch er
war Vorsteher der Regierung, als Nachfolger des Athenodoros, und wurde
bis an sein Ende geehrt, sowohl bei den Statthaltern als in der Stadt. Zu den **15**
übrigen Philosophen, 'die ich gar wohl kenne und nennen könnte mit Na-
12 men', gehörten Plutiades und Diogenes, vom Schlage derer die herumreisen
und virtuose Vorlesungen halten; Diogenes gab auch gleichsam in Trance
Gedichte von sich, wenn ihm ein Thema aufgegeben wurde (meistens tragi-
sche); Philologen, von denen es auch Schriften gibt, waren Artemidoros
und Diodoros; und ein vortrefflicher Tragödiendichter – einer der zu der
16 Pleiade gezählten – war Dionysiades. Am besten aber kann Rom über die
Menge der aus dieser Stadt stammenden Gelehrten unterrichten: denn die
Stadt ist voll von Tarsiern und Alexandrinern. So ist Tarsos.

Nach dem Kydnos kommt der Pyramos, aus Kataonien fließend, den wir **16**
20 schon früher erwähnt haben (536, 3 ff.); Artemidor sagt (fr. 115 Stiehle),
von dort nach Soloi seien es in gerader Fahrt fünfhundert Stadien. In der
Nähe ist auch Mallos, auf einer Höhe liegend, eine Gründung von Amphilo-
chos und Mopsos, dem Sohn Apollons und der Manto, von denen viele Fa-
24 beln erzählt werden; auch wir haben sie erwähnt in dem Abschnitt über Kal-
chas und den Streit den Kalchas und Mopsos um die Seherkunst führten
(642, 23 ff.). Nicht nur diesen Streit nämlich verlegen Manche, wie z. B. So-
phokles (F 180), nach Kilikien – das dieser in tragischem Stil 'Pamphylien'
28 nennt (F 180 a), ebenso wie Lykien 'Karien' und Troja und Lydien 'Phry-
gien' –: auch den Tod des Kalchas lassen Manche, worunter Sophokles,
hier stattfinden. Und nicht nur von dem Streit um die Seherkunst fabelt
man, sondern auch von dem um die Herrschaft. Mopsos nämlich und Am-
676 philochos sollen, aus Troja gekommen, Mallos gegründet haben; dann sei
Amphilochos weggezogen nach Argos, aber da es ihm dort nicht gefiel, wie-

δεῦρο, ἀποκλειόμενον δὲ τῆς κοινωνίας συμβαλεῖν εἰς μονομαχίαν πρὸς τὸν
4 Μόψον, πεσόντας δ' ἀμφοτέρους ταφῆναι μὴ ἐν ἐπόψει ἀλλήλοις· καὶ νῦν οἱ
τάφοι δείκνυνται περὶ Μάγαρσα τοῦ Πυράμου πλησίον. ἐντεῦθεν δ' ἦν Κράτης
ὁ γραμματικός, οὗ φησι γενέσθαι μαθητὴς Παναίτιος (fr. 5 v. Straaten).

Ὑπέρκειται δὲ τῆς παραλίας ταύτης τὸ Ἀλήϊον πεδίον, δι' οὗ Φιλώτας 17
8 διήγαγεν Ἀλεξάνδρῳ τὴν ἵππον ἐκείνου τὴν φάλαγγα ἄγοντος ἐκ τῶν Σόλων
διὰ τῆς παραλίας καὶ τῆς Μαλλώτιδος ἐπί τε Ἰσσὸν καὶ τὰς Δαρείου δυνά-
μεις. φασὶ δὲ καὶ ἐναγίσαι τῷ Ἀμφιλόχῳ τὸν Ἀλέξανδρον διὰ τὴν ἐξ Ἄργους
συγγένειαν· Ἡσίοδος δ' (fr. 279 M.-W.) ἐν Σόλοις ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆ-
12 ναι τὸν Ἀμφίλοχόν φησιν, οἱ δὲ περὶ τὸ Ἀλήϊον πεδίον, οἱ δ' ἐν Συρίᾳ ἀπὸ
τοῦ Ἀληΐου ἀπιόντα διὰ τὴν ἔριν.

Μετὰ δὲ Μαλλὸν Αἰγαῖαι πολίχνιον ὕφορμον ἔχον· εἶτ' Ἀμανίδες πύλαι 18
ὕφορμον ἔχουσαι, εἰς ἃς τελευτᾷ τὸ Ἀμανὸν ὄρος ἀπὸ τοῦ Ταύρου καθῆκον,
16 ὃ τῆς Κιλικίας ὑπέρκειται κατὰ τὸ πρὸς ἕω μέρος, ἀεὶ μὲν ὑπὸ πλειόνων
δυναστευόμενον τυράννων ἐχόντων ἐρύματα· καθ' ἡμᾶς δὲ κατέστη κύριος
πάντων ἀνὴρ ἀξιόλογος (καὶ βασιλεὺς ὑπὸ Ῥωμαίων ὠνομάσθη διὰ τὰς ἀνδρα-
γαθίας) Ταρκονδίμοτος καὶ τὴν διαδοχὴν τοῖς μετ' αὐτὸν παρέδωκε.

20 Μετὰ δὲ Αἰγαίας Ἰσσὸς πολίχνιον ὕφορμον ἔχον καὶ ποταμὸς Πίναρος. 19
ἐνταῦθα ὁ ἀγὼν συνέπεσεν Ἀλεξάνδρῳ καὶ Δαρείῳ. καὶ ὁ κόλπος εἴρηται
Ἰσσικός· ἐν αὐτῷ δὲ πόλεις Ῥωσὸς καὶ Μυρίανδρος καὶ Ἀλεξάνδρεια καὶ Νι-
κόπολις καὶ Μόψου ἑστία καὶ ⟨αἱ⟩ Πύλαι λεγόμεναι, ὅριον Κιλίκων τε καὶ
24 Σύρων. ἐν δὲ τῇ Κιλικίᾳ ἐστὶ καὶ τὸ τῆς Σαρπηδονίας Ἀρτέμιδος ἱερὸν
καὶ μαντεῖον· τοὺς δὲ χρησμοὺς ἔνθεοι προθεσπίζουσιν.

3 {εἰς}? Korais 4 ἀπόψει Kontos (BCH 2, 1878, 236) 5 Μάγαρσα E: μάργαρσα CF, μάργασα BD 7 τὸ EF: om. cett. Ἀλήϊον $D^{pc}E$ (coniecit Xylander): ἀλήνιον $BCD^{ac}F$ φιλωτᾶς F 8 ἄγοντος scripsi: ἀγαγόντος codd. 12 Ἀλήϊον D^{pc}: ἀλή-νιον cett. 13 Ἀληΐου D^{pc}: ἀληνίου cett. 14 αἰγαῖα D^{i}, αἰγαία E εἶτ' Ἀμανίδες E: εἶθ' ἀμ- BCD, εἶτ' εὐμενίδης (ε supra η scr.) F 15 ὕφορμον ἔχουσαι om. E, fort. recte 18 ⟨ὃς⟩ καὶ Cobet (Misc. 197) 19 Ταρκονδίμοτος Casaubonus: ταρκοδί-μεντος BCF, ταρκοδήμεντος D 20 Πίναρος Meursius (Apollonii Dyscoli ... Historiae commentitiae liber, Lugduni Bat. 1620, 139), Blancardus (Arriani De expeditione Alexandri Magni Historiarum Libri VII, Amstelodami 1668, 96), Harduinus (C. Plinii Secundi Naturalis Historiae libri xxxvi ... 1, Parisiis 1685, 584^{7}): πίν*δος C^{pc} (post πίν littera erasa est), πίνδος BEF, πίδνος D 22 δὲ om. E πόλεις scripsi: πόλις codd. ῥωσσὸς D^{s}, ῥῶσος F Μυρίανδρος x: Μυρίανδρος πόλις BCDEF 23 μοψουεστία F add. Casaubonus

der hierher zurückgekehrt und, als ihm die Partnerschaft verweigert wurde,
4 einen Zweikampf mit Mopsos angegangen, in dem Beide fielen. Sie seien so
begraben worden dass sie sich gegenseitig nicht sehen konnten; heute wer-
den die Gräber bei Magarsa dicht am Pyramos gezeigt. Von dort stammte
Krates, der Philologe, dessen Schüler nach seinem eigenen Zeugnis (fr. 5 v.
Straaten) Panaitios war.

8 Oberhalb dieser Küste liegt die Aleische Ebene, durch die Philotas Ale- 17
xanders Reiterei geführt hat, während dieser die Infanterie aus Soloi über
die Küste und die Mallotis gegen Issos und die Streitkräfte des Dareios
führte. Alexander soll auch dem Amphilochos ein Totenopfer gebracht ha-
ben wegen seiner Verwandtschaft von Argos her; Hesiod (fr. 279 M.-W.)
12 sagt, Amphilochos sei in Soloi von Apollon erlegt worden, Andere in der
Aleischen Ebene, wieder Andere in Syrien, als er wegen des Streites die Alei-
sche Ebene verließ.

Nach Mallos kommt das Städtchen Aigaiai mit einem Ankerplatz; dann 18
das Amanische Tor mit einem Ankerplatz, wo das Amanos-Gebirge endet,
16 das sich vom Tauros herabkommend über der Ostseite Kilikiens erhebt; es
wird immer von mehreren Tyrannen beherrscht, die natürliche Festungen
besitzen; zu unserer Zeit war Herr über alle ein bedeutender Mann, Tar-
kondimotos, der wegen seiner Verdienste sogar von den Römern den Titel
König bekommen und die Erbfolge seinen Nachkommen hinterlassen hat.

20 Nach Aigaiai kommt das Städtchen Issos mit einem Ankerplatz und der 19
Fluss Pinaros. Dort ist es zu dem Treffen zwischen Alexander und Dareios
gekommen. Und der Golf wird der Issische genannt; an ihm liegen die Städ-
te Rhosos, Myriandros, Alexandreia, Nikopolis, Mopsu Hestia und das so-
24 genannte Tor, die Grenze zwischen den Kilikern und den Syrern. In Kili-
kien liegt auch das Heiligtum und Orakel der Sarpedonischen Artemis; die
Orakel werden von Gottbegeisterten verkündet.

Μετὰ δὲ τὴν Κιλικίαν πρώτη πόλις ἐστὶ τῶν Σύρων Σελεύκεια ἡ ἐν 20
Πιερίᾳ, καὶ πλησίον Ὀρόντης ἐκδίδωσι ποταμός. ἔστι δ' ἀπὸ Σελευκείας εἰς
28 Σόλους ἐπ' εὐθείας πλοῦς ὀλίγον ἀπολείπων τῶν χιλίων σταδίων.

Τῶν δ' ἐν Τροίᾳ Κιλίκων, ὧν Ὅμηρος μέμνηται, πολὺ διεστώτων ἀπὸ 21
τῶν ἔξω τοῦ Ταύρου Κιλίκων οἱ μὲν ἀποφαίνουσιν ἀρχηγέτας τοὺς ἐν τῇ
Τροίᾳ τούτων καὶ δεικνύουσί τινας τόπους κἀνταῦθα, ὥσπερ ἐν τῇ Παμφυ-
32 λίᾳ Θήβην καὶ Λυρνησσόν· οἱ δ' ἔμπαλιν καὶ Ἀλήϊόν τι πεδίον κἀκεῖ
δεικνύουσι.

Περιωδευμένων δὲ καὶ τῶν ἔξω τοῦ Ταύρου μερῶν τῆς προειρημέ-
677C. νης χερρονήσου προσθετέον ἐστὶ καὶ ταῦτα. | ὁ γὰρ Ἀπολλόδωρος ἐν τοῖς 22
Περὶ νεῶν ἔτι καὶ τοιαῦτα λέγει (FGrHist 244 F 170). τοὺς γὰρ ἐκ τῆς
Ἀσίας ἐπικούρους τῶν Τρώων ἅπαντας καταριθμεῖσθαί φησιν ὑπὸ τοῦ ποι-
4 ητοῦ τῆς χερρονήσου κατοίκους ὄντας ἧς ὁ στενότατος ἰσθμός ἐστι τὸ
μεταξὺ τοῦ κατὰ Σινώπην μυχοῦ καὶ Ἰσσοῦ· 'αἱ δ' ἐκτὸς πλευραί ', φησί,
'τριγωνοειδοῦς οὔσης εἰσὶ μὲν ἄνισοι, παρήκουσι δὲ ἡ μὲν ἀπὸ Κιλικίας
ἐπὶ Χελιδονίας, ἡ δ' ἐνθένδε ἐπὶ τό στόμα τοῦ Εὐξείνου, ἡ δ' ἐπὶ Σινώ-
8 πην πάλιν ἐνθένδε '. τὸ μὲν οὖν μόνους τοὺς ἐν τῇ χερρονήσῳ διὰ τῶν
αὐτῶν ἐλέγχοιτ' ἂν ψεῦδος ὂν δι' ὧν ἠλέγξαμεν πρότερον (552, 9 sqq.) μὴ
μόνους τοὺς ἐντὸς Ἅλυος. οἱ γὰρ περὶ Φαρνάκειαν τόποι, ἐν οἷς τοὺς Ἀλιζώ-
νους ἔφαμεν, ὥσπερ ἔξω τοῦ Ἅλυός εἰσιν, οὕτω καὶ ἔξω τοῦ ἰσθμοῦ, εἴπερ
12 καὶ τῶν στενῶν τῶν μεταξὺ Σινώπης καὶ Ἰσσοῦ (καὶ οὐ τούτων γε μόνων,
ἀλλὰ καὶ τῶν κατ' ἀλήθειαν στενῶν τῶν μεταξὺ Ἀμισοῦ τε καὶ Ταρσοῦ· οὐ-
δὲ γὰρ ἐκεῖνος ὀρθῶς ἀφώρισται τὸν ἰσθμὸν καὶ τὰ κατ' αὐτὸν στενά, ἐκεῖ-
να ἀντὶ τούτων τιθείς). πάντων δ' εὐηθέστατον τὸ τὴν χερρόνησον τριγω-
16 νοειδῆ φήσαντα τρεῖς ἀποφήνασθαι τὰς ἔξω πλευράς. ὁ γὰρ τὰς ἔξω λέγων
πλευρὰς ἔοικεν ὑπεξαιρουμένῳ τὴν κατὰ τὰ στενὰ ὡς καὶ ταύτην οὖσαν
πλευράν, οὐκ ἔξω δὲ οὐδ' ἐπὶ θαλάττῃ. εἰ μὲν τοίνυν τὰ στενὰ ταῦτα οὕτως

29–33 Eust. D. P. 367, 38 sq. **29–32** *Eust. Il. 119, 19 sq. *Σ D. P. 875 (GGM 2, 455 a 17 sq.); vide Diller 1975, 83

31 δεικνύασί F **32** Ἀλήϊόν E: ἀλήνιόν cett. **34** καὶ om. F **35** {ἐστὶ}?
677 **2** ταῦτα Korais **3** καταριθμεῖσθαι Kramer: καριθ- C, κατηριθ- cett. **4** στε-νότατος F: στενώ- cett.; cf. 64, 9 comm. **5** μετὰ pro κατὰ D **10** Φαρνάκειαν Cobet ms. (vide 548, 15 comm.): φαρμακία F, φαρνακίαν cett. **10 sq.** ἀλιζώνας D **13** Ταρσοῦ Korais: Ἰσσοῦ codd.

Nach Kilikien ist die erste Stadt der Syrer Seleukeia in Pierien; in ihrer 20
28 Nähe mündet der Fluss Orontes ins Meer. Von Seleukeia nach Soloi beträgt
die Fahrt in gerader Linie etwas weniger als tausend Stadien.

Da die Kiliker in Troja, die Homer erwähnt, weit von den Kilikern jen- 21
seits des Tauros entfernt sind, erklären Manche die in Troja für deren
Stammväter, und weisen auf gewisse Orte die auch hier begegnen, ebenso
32 wie in Pamphylien Thebe und Lyrnessos; Andere weisen umgekehrt auf eine
Aleische Ebene, die sich auch dort finde.

Nachdem nun auch die jenseits des Tauros liegenden Teile der besagten
677 Halbinsel durchwandert sind, muss noch dies hinzugefügt werden. Apollo- 22
dor in seiner Schrift *Über die Schiffe* sagt auch noch Folgendes (FGrHist
244 F 170). Die Helfer der Trojaner aus Asien, die der Dichter aufzählt,
4 sind sämtlich, sagt er, Bewohner der Halbinsel deren schmalste Landenge
die Strecke zwischen der Einbuchtung bei Sinope und Issos ist; 'sie ist drei-
eckförmig', sagt er, 'und ihre äußeren Seiten sind ungleich: eine läuft von
Kilikien zu den Chelidonien, eine von dort zur Mündung des Schwarzen
8 Meeres und eine wieder zurück von dort nach Sinope'. Nun lässt sich die
Behauptung, er nenne nur die innerhalb der Halbinsel Wohnenden, mit
demselben Argument als falsch erweisen mit dem wir früher (552, 9 ff.) die
Ansicht widerlegt haben dass er nur die diesseits des Halys Wohnenden
nenne. Denn die Gegend um Pharnakeia, in der wir die Halizoner angesetzt
haben, liegt ebenso jenseits der Landenge wie sie jenseits des Halys liegt, da
12 sie sich ja jenseits der Einschnürung zwischen Sinope und Issos befindet
(und nicht nur dieser sondern auch jenseits der wirklichen Einschnürung
zwischen Amisos und Tarsos; denn auch er bestimmt die Landenge und ihre
Einschnürung nicht richtig, indem er jene statt dieser ansetzt). Das Allerein-
fältigste aber ist dass er, nachdem er behauptet hat, die Halbinsel sei drei-
16 eckförmig, drei äußere Seiten angibt. Denn wer von den äußeren Seiten re-
det, nimmt doch offenbar die Linie bei der Einschnürung aus, da sie zwar
eine weitere Seite bildet, aber nicht außen und nicht am Meer liegt. Wenn

ἦν συνηγμένα ὥστε μικρὸν ἀπολείπειν τοῦ συνάπτειν ἀλλήλαις τήν τε ἐπὶ Ἰσσὸν καὶ τὴν ἐπὶ Σινώπην πίπτουσαν πλευράν, συνεχώρει ἂν τριγωνοειδῆ λέγεσθαι τὴν χερρόνησον· νῦν δέ γε τρισχιλίους σταδίους ἀπολειπόντων μεταξὺ τῶν ὑπ' αὐτοῦ λεγομένων στενῶν ἀμαθία τὸ λέγειν τριγωνοειδὲς τὸ τοιοῦτον τετράπλευρον οὐδὲ χωρογραφικόν (ὁ δὲ καὶ χωρογραφίαν ἐξέδωκεν ἐν κωμικῷ μέτρῳ Γῆς περίοδον ἐπιγράψας). μένει δ' ἡ αὐτὴ ἀμαθία κἂν εἰς τοὐλάχιστον καταγάγῃ διάστημά τις τὸν ἰσθμόν, ὅσον εἰρήκασιν οἱ πλεῖστον ψευσάμενοι, τὸ ἥμισυ τοῦ παντός (ὅσον εἴρηκε καὶ Ἀρτεμίδωρος [fr. 114 Stiehle]), χιλίους καὶ πεντακοσίους σταδίους· οὐδὲ γὰρ τοῦτο συναγωγήν πω τριγωνοειδοῦς ποιεῖ σχήματος. ἀλλ' οὐδὲ τὰς πλευρὰς ὀρθῶς διῄρηται τὰς ἔξω τὴν ἀπὸ Ἰσσοῦ μέχρι Χελιδονίων εἰπών· λοιπὴ γάρ ἐστιν ὅλη ἐπ' εὐθείας ἡ Λυκιακὴ παραλία ταύτῃ καὶ ἡ τῶν Ῥοδίων περαία μέχρι Φύσκου· ἐντεῦθεν δὲ καμπὴν λαβοῦσα ἡ ἤπειρος ἄρχεται τὴν δευτέραν καὶ δυσμικὴν ποιεῖν πλευρὰν ἄχρι Προποντίδος καὶ Βυζαντίου.

23 Φήσαντος δὲ τοῦ Ἐφόρου (FGrHist 70 F 162) διότι τὴν χερρόνησον (678C.) κατοικεῖ ταύτην ἑκκαίδεκα γένη — τρία μὲν Ἑλληνικά, τὰ δὲ λοιπὰ βάρβαρα χωρὶς τῶν μιγάδων· ἐπὶ θαλάττῃ μὲν Κίλικες καὶ Πάμφυλοι καὶ Λύκιοι καὶ Βιθυνοὶ καὶ Παφλαγόνες καὶ Μαριανδυνοὶ καὶ Τρῶες καὶ Κᾶρες, Πισίδαι δὲ καὶ Μυσοὶ καὶ Χάλυβες καὶ Φρύγες καὶ Μιλύαι ἐν τῇ μεσογαίᾳ — διαιτῶν ταῦτα ὁ Ἀπολλόδωρος (ibid.) ἑπτακαιδέκατόν φησιν εἶναι τὸ τῶν Γαλατῶν, ὃ νεώτερόν ἐστι τοῦ Ἐφόρου, τῶν δ' εἰρημένων τὰ μὲν Ἑλληνικὰ μήπω κατὰ τὰ Τρωϊκὰ κατῳκίσθαι, τὰ δὲ βάρβαρα πολλὴν ἔχειν σύγχυσιν διὰ τὸν χρόνον· καταλέγεσθαι δ' ὑπὸ τοῦ ποιητοῦ τό τε τῶν Τρώων καὶ τῶν ⟨καὶ⟩ νῦν ὀνομαζομένων Παφλαγόνων καὶ Μυσῶν καὶ Φρυγῶν καὶ

19 ἀλλήλαις Korais: ἐπαλλήλαις C, ἐπ' ἀλλήλαις cett. 23 τοιοῦτο CD 23 sq. {ὁ δὲ — ἐπιγράψας} Wachsmuth (teste Kunze 1892, 70), Jacoby (Apollodors Chronik … [Philol. Untersuchungen 16], Berlin 1902, 25⁰) 24 μένει DF: -οι BC (unde μένοι δ' ⟨ἂν⟩ z) 25 καταγάγῃ D: -οι C, -ει F, κατάγοι B διάστημά τις Xylander: διάστημά τι BC, διαστήματι DF 26 καὶ ὁ Ἀρτ. F 27 {χιλίους — σταδίους}? 678 2 πλὴν pro χωρὶς E 4 μεσογαίῳ B 5 διαιτῶν Casaubonus: διαιρῶν codd. 7 κατὰ Casaubonus: καὶ codd. ἔχειν Casaubonus: ἔχει codd. 8 Τρώων z: τρωϊκῶν BCDF 9 addidi; etiam ⟨ἔτι⟩ possis

nun diese Einschnürung so eng wäre dass nur wenig daran fehlen würde dass die nach Issos und nach Sinope laufenden Seiten sich berühren, wäre es akzeptabel die Halbinsel dreieckförmig zu nennen. Da aber in Wirklichkeit die von ihm genannte Einschnürung dreitausend Stadien dazwischen offen lässt, ist es Dummheit, ein solches Viereck dreieckförmig zu nennen, und gegen alle Regeln der Landesbeschreibung (und dabei hat er eine Landesbeschreibung in komischem Versmaß unter dem Titel *Erdbeschreibung* herausgegeben). Und dieselbe Dummheit bleibt auch wenn man die Landenge auf die kleinste Entfernung reduziert welche die angeben die am meisten lügen, nämlich die Hälfte des Ganzen, eintausendundfünfhundert Stadien (was auch Artemidor angibt [fr. 114 Stiehle]); denn auch dies bewirkt noch nicht den Zusammenschluss zur Dreieckform. Aber auch die äußeren Seiten unterscheidet er nicht richtig, wenn er die von Issos ausgehende bis zu den Chelidonien reichen lässt; denn es bleibt dann noch die ganze lykische Küste übrig, die diese Seite in gerader Linie fortsetzt, und die Peraia der Rhodier bis Physkos: erst dort macht das Festland eine Biegung und damit den Anfang der zweiten, westlichen, Seite bis zur Propontis und Byzanz.

23 (678) Ephoros hatte gesagt (FGrHist 70 F 162), diese Halbinsel bewohnten sechzehn Völker, drei griechische, sonst barbarische, abgesehen von den Mischvölkern: am Meer die Kiliker, Pamphylier, Lykier, Bithyner, Paphlagonen, Mariandyner, Trojaner und Karer; die Pisider, Myser, Chalyber, Phryger und Milyer im Binnenland. In seiner kritischen Prüfung dieser Angaben sagt Apollodor (ebd.), das siebzehnte sei das der Galater, das jünger ist als Ephoros, von den genannten hätten die griechischen dort zur Zeit des Trojanischen Krieges noch nicht gewohnt und die barbarischen seien durch die Zeit sehr durcheinander geraten; aufgezählt würden von dem Dichter das der Trojaner und der noch jetzt Paphlagonen, Myser, Phryger, Karer

Καρῶν καὶ Λυκίων, Μῄονας ⟨δ'⟩ ἀντὶ Λυδῶν καὶ ἄλλους ἀγνῶτας, οἷον Ἁλιζῶνας καὶ Καύκωνας, ἐκτὸς δὲ τοῦ Καταλόγου Κητείους τε καὶ Σολύμους καὶ Κίλικας τοὺς ἐκ Θήβης πεδίου καὶ Λέλεγας· Παμφύλους δὲ καὶ Βιθυνοὺς καὶ Μαριανδυνοὺς καὶ Πισίδας καὶ Χάλυβας καὶ Μιλύας καὶ Καππάδοκας μηδ' ὠνομάσθαι, τοὺς μὲν διὰ τὸ μηδέπω τοὺς τόπους κατῳκηκέναι τούτους, τοὺς δὲ διὰ τὸ ἑτέροις γένεσι περιέχεσθαι, ὡς Ἰδριεῖς μὲν καὶ Τερμίλαι Καρσί, Δολίονες δὲ καὶ Βέβρυκες Φρυξί.

24 Φαίνεται δ' οὔτε τοῦ Ἐφόρου τὴν ἀπόφασιν διαιτῶν ἱκανῶς τά τε τοῦ ποιητοῦ ταράττων καὶ καταψευδόμενος. Ἔφορόν τε γὰρ τοῦτο πρῶτον ἀπαιτεῖν ἐχρῆν τί δὴ τοὺς Χάλυβας τίθησιν ἐντὸς τῆς χερρονήσου τοσοῦτον ἀφεστῶτας καὶ Σινώπης καὶ Ἀμισοῦ πρὸς ἕω. οἱ γὰρ λέγοντες τὸν ἰσθμὸν τῆς χερρονήσου ταύτης τὴν ἀπὸ Ἰσσοῦ γραμμὴν ἐπὶ τὸν Εὔξεινον ὡς ἂν μεσημβρινήν τινα τιθέασι ταύτην· ⟨ἣν⟩ οἱ μὲν εἶναι νομίζουσι τὴν ἐπὶ Σινώπης, οἱ δὲ τὴν ἐπ' Ἀμισοῦ, ἐπὶ δὲ τῶν Χαλύβων οὐδείς· λοξὴ γάρ ἐστι τελέως. ὁ γὰρ δὴ διὰ Χαλύβων μεσημβρινὸς διὰ τῆς μικρᾶς Ἀρμενίας γράφοιτ' ἂν καὶ τοῦ Εὐφράτου, τὴν Καππαδοκίαν ὅλην ἐντὸς ἀπολαμβάνων καὶ τὴν Κομμαγηνὴν καὶ τὸν Ἀμανὸν καὶ τὸν Ἰσσικὸν κόλπον. εἰ δ' οὖν καὶ τὴν λοξὴν γραμμὴν ὁρίζειν τὸν ἰσθμὸν συγχωρήσαιμεν, τὰ πλεῖστά γε τούτων καὶ μάλιστα ἡ Καππαδοκία ἐντὸς ἀπολαμβάνοιτ' ἂν καὶ ὁ νῦν ἰδίως λεγόμενος Πόντος, τῆς Καππαδοκίας μέρος ὢν τὸ πρὸς τῷ Εὐξείνῳ· ὥστ' εἰ τοὺς Χάλυβας τῆς χερρονήσου θετέον μέρος, πολὺ μᾶλλον τοὺς Κατάονας καὶ Καππάδοκας ἀμφοτέρους καὶ Λυκάονας δέ, οὓς καὶ αὐτοὺς παρῆκε.

13 sq. Eust. D. P. 385, 13–5 31 Eust. D. P. 385, 13–5

10 Λυκίων Korais: λικίων F, κιλίκων BCD Μῄονας Korais: μήϊόνας B, μηϊόνας CDF addidi; τε i 11 Κητείους Xylander: -τίους codd. 13 sq. Καππάδοκας Tzschucke (cf. Eust.): καππαδόκας codd. 15 Ἰδριεῖς F: ἰδρυ- BCD 16 Τερμίλαι Xylander: -ίδαι codd. Δολίονες Casaubonus: δολίω- codd. 18 Ἔφορόν Kramer: ἐφόρου codd. 19 ταύτης post χερρονήσου add. C 21 τοῦ ante Ἰσσοῦ add. E 22 add. Korais οὖν pro εἶναι E, fort. recte 23 τῶν E: τὴν cett. 24 δὲ pro γὰρ δὴ E 26 καὶ tertium om. E 27 συγχωρήσαις E 29 μέρος ὂν πρὸς D τῷ om. E 30 μέρος E: μέρη cett. 31 Καππάδοκας Tzschucke (cf. Eust.): καππαδόκας codd.

und Lykier Genannten, die Meionen an Stelle der Lyder und weiter Unbekannte wie die Halizonen und Kaukonen, und außerhalb des Katalogs nenne er die Keteier, die Solymer, die Kiliker aus der Ebene von Thebe und die Leleger; die Pamphylier, Bithyner, Mariandyner, Pisider, Chalyber, Milyer und Kappadoker würden überhaupt nicht genannt, teils weil sie diese Gegenden noch nicht bewohnten, teils weil sie in anderen Völkern inbegriffen waren, wie die Idrier und Termiler in den Karern und die Dolionen und Bebryker in den Phrygern.

24 Es ist klar dass er einerseits Ephoros' Behauptung nicht hinreichend prüft, andererseits des Dichters Aussagen durcheinanderbringt und falsch interpretiert. Denn von Ephoros hätte er erst einmal Rechenschaft darüber verlangen müssen, weshalb er die Chalyber innerhalb der Halbinsel ansetzt, die so weit nach Osten sowohl von Sinope als von Amisos entfernt sind. Denn diejenigen die als die Landenge dieser Halbinsel die Linie von Issos zum Schwarzen Meer bezeichnen, betrachten diese Linie als eine Meridianlinie. Manche meinen, es sei die Linie in Richtung Sinope, Andere die in Richtung Amisos, aber in Richtung der Chalyber niemand: denn die ist völlig schief. Der Meridian durch die Chalyber würde ja durch Kleinarmenien und den Euphrat laufen und so ganz Kappadokien, Kommagene, den Amanos und den Issischen Golf auf dieser Seite lassen. Und gesetzt selbst, wir würden zugeben dass die schiefe Linie die Grenze der Landenge bilde, dann würden doch noch weitaus die meisten der genannten Gebiete auf dieser Seite liegen, vor allem Kappadokien und das heute mit einem eigenen Namen bezeichnete Pontos, der am Schwarzen Meer liegende Teil Kappadokiens: wenn man also die Chalyber zu der Halbinsel rechnen soll, gilt das noch viel mehr für die Kataonen und beiderlei Kappadoker und auch für die Lykaonen, die er ebenfalls weggelassen hat.

32 Διὰ τί δ' ἐν τοῖς μεσογαίοις ἔταξε τοὺς Χάλυβας (οὓς ὁ ποιητὴς 'Αλι-
679C. ζῶνας ἐκάλεσεν, ὥσπερ καὶ ἡμεῖς ἀπεδείξαμεν [549, 23 sqq.]); ἄμεινον γὰρ ἦν διελεῖν καὶ τοὺς μὲν ἐπὶ θαλάττῃ φάναι, τοὺς δ' ἐν τῇ μεσογαίᾳ. ὅπερ καὶ ἐπὶ τῆς Καππαδοκίας ποιητέον καὶ τῆς Κιλικίας· ὁ δὲ τὴν μὲν οὐδ' ὠνόμακε,
4 τοὺς Κίλικας δὲ τοὺς ἐπὶ θαλάττῃ μόνον εἴρηκεν. οἱ οὖν ἐπ' 'Αντιπάτρῳ τῷ Δερβήτῃ καὶ οἱ 'Ομοναδεῖς καὶ ἄλλοι πλείους οἱ συνάπτοντες τοῖς Πισίδαις, 'οἳ οὐκ ἴσασι θάλασσαν ἀνέρες οὐδέ θ' ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσι', τίνα λάβωσι τάξιν; ἀλλ' οὐδὲ Λυδοὺς οὐδὲ Μήονας εἴρηκεν (εἴτε δύο εἴθ'
8 οἱ αὐτοί εἰσι καὶ εἴτε καθ' ἑαυτοὺς εἴτ' ἐν ἑτέρῳ γένει περιεχόμενοι)· οὔτω γὰρ ἐπίσημον ἔθνος οὔτ' ἀποκρύψαι δυνατὸν οὔθ' ὁ μὴ λέγων περὶ αὐτοῦ μηδὲν οὐκ ἂν δόξειε παραλιπεῖν τι τῶν κυριωτάτων.

25 Τίνες δ' εἰσὶν οἱ μιγάδες; οὐ γὰρ ἂν ἔχοιμεν εἰπεῖν παρὰ τοὺς λεχθέν-
12 τας τόπους ἢ ὠνομάσθαι ὑπ' αὐτοῦ ἢ παραλελεῖφθαι ἄλλους, οὓς ἀποδώσομεν τοῖς μιγάσιν, οὐδέ γε αὐτῶν τινας τούτων ὧν ἢ εἶπεν ἢ παρέλιπε. καὶ γὰρ εἰ κατεμίχθησαν, ἀλλ' ἡ ἐπικράτεια πεποίηκεν ἢ Ἕλληνας ἢ βαρβάρους· τρίτον δὲ γένος οὐδὲν ἴσμεν τὸ μικτόν.

16 26 Πῶς δὲ τρία γένη τῶν 'Ελλήνων ἐστὶ τὰ τὴν χερρόνησον οἰκοῦντα; εἰ γὰρ ὅτι τὸ παλαιὸν οἱ αὐτοὶ ἦσαν Ἴωνες καὶ 'Αθηναῖοι, λεγέσθωσαν καὶ οἱ Δωριεῖς καὶ οἱ Αἰολεῖς οἱ αὐτοί· ὥστε δύο ἔθνη γίνοιτ' ἄν. εἰ δὲ διαιρετέον κατὰ τὰ ὕστερα ἔθη, καθάπερ καὶ τὰς διαλέκτους, τέτταρα ἂν εἴη
20 καὶ τὰ ἔθνη, καθάπερ καὶ αἱ διάλεκτοι· οἰκοῦσι γὰρ τὴν χερρόνησον ταύτην — καὶ μάλιστα κατὰ τὸν τοῦ 'Εφόρου διορισμόν — οὐκ Ἴωνες μόνον, ἀλλὰ καὶ 'Αθηναῖοι, καθάπερ ἐν τοῖς καθ' ἕκαστα δεδήλωται.

Τοιαῦτα μὲν δὴ πρὸς τὸν Ἔφορον διαπορεῖν ἄξιον. 'Απολλόδωρος δὲ τού-
24 των μὲν ἐφρόντισεν οὐδέν, τοῖς δ' ἑκκαίδεκα ἔθνεσι προστίθησιν ἑπτακαι-

32 μεσογείοις E **32 sq.** 'Αλιζῶνας gz: -ζώνας D, -ζώνους BCF 679 **2** τοὺς μὲν ἐν τῇ μεσ., τοὺς δ' ἐπὶ θαλ. φάναι E ἐπὶ θαλ. EF: ἐπὶ τῇ θαλ. cett. ὃ pro ὅπερ E **3** ἐπὶ post καὶ add. EF **4** ἐπὶ θαλ. BCF: ἐπὶ τῇ θαλ. D ὑπ' Cobet (Misc. 197) **5** 'Ομοναδεῖς Xylander (*Homonades* iam Tifernate): μαοναδεῖς codd. **6** θάλατταν q **8** εἴτ' E: καὶ εἴτ' cett. περιεχόμενοι scripsi: -εχομένους codd. **9** οὔτ' Korais: οὐκ codd. οὔθ' ὁ Korais: οὔτ' ὁ F, οὔτε BCD; ὅ τε (cum nota interrogationis post 10 κυριωτάτων) Groskurd **13** ἢ prius om. F **15** γένος EF: γένους BCD **18** οἱ αἰολεῖς καὶ οἱ δωριεῖς D ἔθνη om. E **19** ἔθη BCDEF (coniecit Casaubonus): ἔθνη q[s], ed. pr. **20** γὰρ scripsi: δὲ codd. **21** τοῦ om. E

32 Und weshalb hat er die Chalyber (die der Dichter Halizonen genannt
679 hat, wie auch wir gezeigt haben [549, 23 ff.]) zu den Völkern des Binnenlandes gestellt? Es wäre doch besser gewesen sie aufzuteilen und von einem am Meer und einem im Binnenland ansässigen Teil zu reden. Das muss man ja auch bei Kappadokien und Kilikien machen – er aber nennt ersteres über-
4 haupt nicht, und von den Kilikern erwähnt er nur die am Meer ansässigen. Die Leute die dem Antipatros von Derbe unterstanden und die Homonader und mehrere andere an die Pisider Grenzende, 'welche das Meer nicht kennen und nimmer mit Salz gewürzete Speise genießen': wo sollen sie also eingeordnet werden? Aber er nennt ja auch die Lyder und die Meionen nicht
8 (sei es nun dass sie zwei verschiedene Völker oder ein und dasselbe bilden, und sei es dass sie selbständig oder in einem anderen Volk mitinbegriffen sind): denn ein so bemerkenswertes Volk kann man nicht unterschlagen, und wer darüber nichts sagt kann dem Urteil nicht entgehen dass er etwas vom Entscheidendsten weglässt.

25 Und was sind die Mischvölker? Wir wüssten nämlich nicht zu sagen dass
12 er außer den genannten Gegenden noch andere genannt oder weggelassen hätte, die wir den Mischvölkern zuweisen könnten, und auch keine von eben den Gegenden die er genannt oder weggelassen hat. Denn auch wenn sie sich vermischt haben, hat doch das dominierende Element sie entweder zu Griechen oder zu Barbaren gemacht: eine dritte, gemischte, Gattung ist uns unbekannt.

16 26 Und wieso sind es drei Völker der Griechen, die die Halbinsel bewohnen? Wenn der Grund nämlich ist dass vor alters die Ionier und die Athener ein und dieselben waren, dann sollten auch die Dorier und die Äoler als ein und dieselben bezeichnet werden; damit würden es zwei Völker. Soll man dagegen nach den späteren Sitten, wie z. B. den Sprachen, unterscheiden, dann
20 wären auch die Völker, ebenso wie die Sprachen, vier an der Zahl: denn es bewohnen diese Halbinsel –und gerade nach Ephoros' Einteilung – nicht nur Ionier, sondern auch Athener, wie in der Behandlung des Einzelnen gezeigt worden ist.

Das sind die Fragen die man an Ephoros stellen sollte. Apollodor aber
24 hat sich darüber überhaupt keine Gedanken gemacht, sondern fügt nur zu

δέκατον τὸ τῶν Γαλατῶν, ἄλλως μὲν χρήσιμον λεχθῆναι, πρὸς δὲ τὴν δίαιταν τῶν ὑπὸ τοῦ Ἐφόρου λεγομένων ἢ παραλειπομένων οὐ δέον (εἴρηκε δὲ τὴν αἰτίαν αὐτός, ὅτι ταῦτα πάντα νεώτερα τῆς ἐκείνου ἡλικίας).

28 Μεταβὰς δ' ἐπὶ τὸν ποιητὴν τοῦτο μὲν ὀρθῶς λέγει διότι πολλὴ σύγχυσις γεγένηται τῶν βαρβάρων ἐθνῶν ἀπὸ τῶν Τρωϊκῶν εἰς τὰ νῦν διὰ τὰς μεταπτώσεις· καὶ γὰρ προσγέγονέ τινα καὶ ἐκλέλοιπε καὶ διέσπασται καὶ συνῆκται εἰς ἕν. οὐκ εὖ δὲ τὴν αἰτίαν διττὴν ἀποφαίνει δι' ἣν οὐ μέμνηταί τινων ὁ ποιητής, | ἢ τῷ μήπω τότ' οἰκεῖσθαι ὑπὸ τοῦ ἔθνους τούτου ἢ τῷ ἐν ἑτέρῳ γένει περιέχεσθαι. τὴν γὰρ Καππαδοκίαν οὐκ εἴρηκεν οὐδὲ τὴν Καταονίαν, ὣς δ' αὔτως τὴν Λυκαονίαν, δι' οὐδέτερον τούτων· οὐ γὰρ 4 ἔχομεν τοιαύτην ἱστορίαν ἐπ' αὐτῶν οὐδεμίαν. γελοῖόν τε τὸ τοὺς Καππάδοκας καὶ Λυκάονας διὰ τί μὲν Ὅμηρος παρέλιπε φροντίσαι καὶ ἀπολογήσασθαι, διὰ τί δ' Ἔφορος παρῆλθε παρελθεῖν καὶ αὐτόν (καὶ ταῦτα παραθέμενον πρὸς αὐτὸ τοῦτο τὴν ἀπόφασιν τἀνδρός, πρὸς τὸ ἐξετάσαι καὶ διαιτῆσαι) καὶ 8 διότι μὲν Μῄονας ἀντὶ Λυδῶν Ὅμηρος εἶπε διδάξαι, ὅτι δ' οὔτε Λυδοὺς οὔτε Μῄονας εἴρηκεν Ἔφορος μὴ ἐπισημήνασθαι. [27] [680C.]

Φήσας δὲ ἀγνώτων τινῶν μεμνῆσθαι τὸν ποιητὴν Καύκωνας μὲν ὀρθῶς λέγει καὶ Σολύμους καὶ Κητείους καὶ Λέλεγας καὶ Κίλικας τοὺς ἐκ Θήβης 12 πεδίου, τοὺς δ' Ἁλιζῶνας αὐτὸς πλάττει, μᾶλλον δ' οἱ πρῶτοι τοὺς Ἁλιζῶνας ἀγνοήσαντες, τίνες εἰσί, καὶ μεταγράφοντες πλεοναχῶς καὶ πλάττοντες τὴν τοῦ ἀργύρου γενέθλην καὶ ἄλλα πολλὰ μέταλλα ἐκλελειμμένα ἅπαντα. πρὸς ταύτην δὲ τὴν φιλοτιμίαν κἀκείνας συνήγαγον τὰς ἱστορίας ἃς ὁ Σκήψιος 16 (fr. 44 Gaede) τίθησι παρὰ Καλλισθένους (FGrHist 124 F 54) λαβὼν καὶ ἄλλων τινῶν οὐ καθαρευόντων τῆς περὶ τῶν Ἁλιζώνων ψευδοδοξίας, ὡς ὁ μὲν Ταντάλου πλοῦτος καὶ τῶν Πελοπιδῶν ἀπὸ τῶν περὶ Φρυγίαν καὶ Σίπυλον μετάλλων ἐγένετο, ὁ δὲ Κάδμου ⟨ἐκ τῶν⟩ περὶ Θρᾴκην καὶ τὸ Παγγαῖον 20 ὄρος, ὁ δὲ Πριάμου ἐκ τῶν ἐν Ἀστύροις περὶ Ἄβυδον χρυσείων (ὧν καὶ [28]

680 4 sq. Eust. D. P. 385, 13–5 **10–2** Eust. Il. 363, 5–7

29 ἐς q **30** ἐκλέλοιπε scripsi: ἐλλέλοιπε D, ἐλλέλοιπεν B, ἐλέλοιπεν F, ἐλλέλειπται C 680 **3** ὣς δ' αὔτως scripsi (cf. Schwyzer 2, 577): ὡς δ' αὔτως codd. **4 sq.** Καππάδοκας BE (cf. Eust.): καππαδόκας CDF; Καππάδοκας ⟨καὶ Κατάονας⟩ Groskurd **11** Κητεί- E, Eust. (coniecit Xylander): κητί- cett. **12** Ἁλίζωνοι in paraphrasi Eust. **14** μέταλλα Korais: μεγάλα codd. ἅπαντα F: ἀπαντᾶ cett. **17** Ἁλιζώνων Hopper: ἀλιζόνων D, ἀλυζόνων BC, ἀλαζόνων F **19** add. Korais **20** ἐν Ἀστύροις Xylander: ἀσσυρίοις BCX, ἀσυρίοις DF χρυσείων X: -σίων cett.

den sechzehn Völkern als siebzehntes das der Galater hinzu, was an sich eine nützliche Mitteilung, aber für die Prüfung dessen was Ephoros sagt oder weglässt irrelevant ist (den Grund, weshalb, hat er selber angegeben, nämlich dass das alles jünger ist als seine Zeit).

28 Wenn er dann zu dem Dichter übergeht, sagt er zwar richtig dass seit dem Trojanischen Krieg bis heute die Barbarenvölker infolge der Veränderungen stark durcheinandergeraten sind; denn es sind manche hinzugekommen oder ausgestorben, auseinandergerissen oder zusammengefügt worden. Falsch aber ist dass er nur zwei Gründe dafür angibt dass der Dichter manche nicht erwähnt: entweder weil dieses Volk damals noch nicht dort wohnte oder weil es in einem anderen Volk mitinbegriffen war. Denn dass er Kappadokien nicht nennt und auch Kataonien nicht und ebensowenig 4 Lykaonien, hat keinen dieser beiden Gründe: haben wir doch für diese Gebiete keinerlei dahingehende Kunde. Auch ist es lächerlich sich zwar Gedanken darüber zu machen und Entschuldigungen dafür beizubringen weshalb Homer die Kappadoker und Lykaonen übergangen hat, aber auch seinerseits die Frage zu übergehen weshalb Ephoros sie übergangen hat (und das nachdem er die Behauptung des Mannes zu eben diesem Zweck zitiert 8 hat, nämlich um sie zu prüfen und kritisch zu behandeln), und zwar mitzuteilen dass Homer von Meionen statt von Lydern spricht, aber nicht darauf aufmerksam zu machen dass Ephoros weder Lyder noch Meionen erwähnt. [27] [680]

Nachdem er gesagt hat dass der Dichter auch einige Unbekannte erwähnt, nennt er richtig die Kaukonen, Solymer, Keteier, Leleger und Kili-12 ker aus der Ebene von Thebe; die Halizonen dagegen erfindet er selber, oder vielmehr die Ersten die nicht wussten wer die Halizonen sind und deshalb den Text mehrfach änderten und die Geburt des Silbers und viele weitere Bergwerke erfanden, die sämtlich erschöpft sind. Zur Unterstützung dieses Ehrgeizes sammelten sie auch jene Geschichten die der Skepsier 16 (fr. 44 Gaede) bietet – er hat sie aus Kallisthenes (FGrHist 124 F 54) und Anderen entlehnt, die nicht unberührt sind von der falschen Theorie über die Halizonen –: dass der Reichtum des Tantalos und der Pelopiden aus den Gruben in Phrygien am Sipylos stammte; der des Kadmos aus denen in 20 Thrakien im Pangaion-Gebirge; der des Priamos aus den Goldgruben in [28]

νῦν ἔτι μικρὰ λείπεται· πολλὴ δ' ἡ ἐκβολὰς καὶ τὰ ὀρύγματα σημεῖα τῆς πάλαι μεταλλείας), ὁ δὲ Μίδου ἐκ τῶν περὶ τὸ Βέρμιον ὄρος, ὁ δὲ Γύγου καὶ Ἀλυάττου καὶ Κροίσου ἀπὸ τῶν ἐν Λυδίᾳ ⟨καὶ⟩ †τῆς† μεταξὺ Ἀταρνέ-
24 ως τε καὶ Περγάμου πολίχνῃ ἐρήμῃ ἐκμεμεταλλευμένα ἐχούσῃ τὰ χωρία.

Ἔτι καὶ ταῦτα μέμψαιτο ἄν τις τοῦ Ἀπολλοδώρου ὅτι τῶν νεωτέρων **29** καινοτομούντων πολλὰ παρὰ τὰς Ὁμηρικὰς ἀποφάσεις εἰωθὼς ταῦτ' ἐλέγχειν ἐπὶ πλέον ἐνταῦθα οὐκ ὠλιγώρηκε μόνον ἀλλὰ καὶ τἀναντία εἰς ἓν συν-
28 άγει τὰ μὴ ὡσαύτως λεγόμενα. ὁ μὲν γὰρ Ξάνθος ὁ Λυδὸς (FGrHist 765 F 14) μετὰ τὰ Τρωϊκά φησιν ἐλθεῖν τοὺς Φρύγας ἐκ τῆς Εὐρώπης καὶ τῶν Ἀριστερῶν τοῦ Πόντου, ἀγαγεῖν δ' αὐτοὺς Σκαμάνδριον ἐκ Βερεκύντων καὶ Ἀσκανίας. ἐπιλέγει δὲ τούτοις ὁ Ἀπολλόδωρος (ibid.) ὅτι τῆς Ἀσκανίας ταύτης
32 μνημονεύει καὶ Ὅμηρος ἧς ὁ Ξάνθος·

Φόρκυς δὲ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδὴς
τῆλ' ἐξ Ἀσκανίης (B 862 sq.).

681 C. ἀλλ' εἰ οὕτως ἔχει, ἡ μὲν μετανάστασις ὕστερον | ἂν εἴη τῶν Τρωϊκῶν γεγονυῖα, ἐν δὲ τοῖς Τρωϊκοῖς τὸ λεγόμενον ὑπὸ τοῦ ποιητοῦ ἐπικουρικὸν ἧκεν ἐκ τῆς περαίας ἐκ τῶν Βερεκύντων καὶ τῆς Ἀσκανίας. τίνες οὖν Φρύγες
4 ἦσαν

οἵ ῥα τότ' ἐστρατόωντο παρ' ὄχθας Σαγγαρίοιο (Γ 187),

ὅτε ὁ Πρίαμος

ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέγμην (Γ 188)

8 φησί; πῶς δὲ ἐκ μὲν Βερεκύντων μετεπέμπετο Φρύγας ὁ Πρίαμος, πρὸς οὓς οὐδὲν ἦν αὐτῷ συμβόλαιον, τοὺς δ' ὁμόρους καὶ οἷς αὐτὸς πρότερον ἐπεκούρησε παρέλιπεν; οὕτω δὲ περὶ τῶν Φρυγῶν εἰπὼν ἐπιφέρει καὶ τὰ περὶ τῶν Μυσῶν οὐχ ὁμολογούμενα τούτοις. λέγεσθαι γάρ φησι καὶ τῆς Μυσίας

21 πολλὴ FX: -ὰ cett. ἐκβολὰς Cobet (Misc. 197): -ὴ codd. 23 sq. add. Korais in †τῆς† dativum nominis latere suspicor; τῇ z, ⟨καὶ * (genetivus nominis)⟩ τῆς Jacoby πολίχνῃ ἐρήμῃ X: -η -η BCDF; -ης -ης Casaubonus (duce Gelenio, qui in Chrestomathiae editione tacite genetivum pro dativo substituerat) ἐκμεμεταλλευμένα X[pc]: ἐκμεταλλευμένα X[ac], ἐκμεταλλευόμενα BCF, ἐκμεταλευόμενα D ἐχούσῃ z: ἔχουσα BCDFX; ἐχούσης Casaubonus duce Gelenio nominativos πολίχνη ἐρήμη .. ἔχουσα recipientes τῇ μ. Ἀ. τε καὶ Π. ⟨, οὗ (vel ἔνθα) (Μαλίνη?)⟩ Müller (1032 ad 580, 27) (⟨οὗ⟩ prob. Aly 1957, 64), ⟨καὶ⟩ τῆς Ἀ. τε καὶ Π. ⟨, ὅπου⟩ Jones 29 φησὶ (s. l. additum) μετὰ τὰ Τ. ἐλθεῖν E {τοὺς} Thraemer (293[1]) 31 τούτοις ἐπιλέγει ἀπολλόδωρος E 681 3 καὶ pro ἐκ post. E ⟨οἱ⟩ Φρύγες Korais 9 πρότερον αὐτὸς D 11 τῶν om. D μὲν ante γάρ add. BF

Astyra bei Abydos (von denen auch heute noch kleine Reste übrig sind; der mächtige Auswurf und die Schächte zeugen von der Abbautätigkeit in alter Zeit); der des Midas aus denen am Bermion-Gebirge; der des Gyges, des Alyattes und des Kroisos aus denen in Lydien * *, einem verlassenen Städt-
24 chen zwischen Atarneus und Pergamon mit ganz ausgebeuteten Stellen.

Auch dies noch kann man bei Apollodor kritisieren dass, während er **29** sonst die vielen neuen Dinge, die die Jüngeren im Widerspruch mit Homers Aussagen vorbringen, ausführlich zu widerlegen pflegt, er das hier nicht nur
28 verschmäht sondern sogar im Gegenteil das nicht in gleichem Sinne Gesagte miteinander verbindet. So sagt Xanthos der Lyder (FGrHist 765 F 14), nach dem Trojanischen Krieg seien die Phryger aus Europa und von der Linken Seite des Pontos gekommen, und Skamandrios habe sie aus dem Land der Berekynter und Askania geführt. Dazu bemerkt Apollodor (ebd.), dieses
32 Askania, das Xanthos nennt, werde auch von Homer erwähnt (Il. 2, 862 f.):

Phorkys sodann und der Held Askanios führten die Phryger
Fern von Askania her.

681 Aber wenn dies tatsächlich so ist, dann hätte die Migration zwar nach dem Trojanischen Krieg stattgefunden, wären aber die vom Dichter genannten Hilfstruppen während des Trojanischen Krieges vom anderen Ufer aus dem Land der Berekynter und Askania gekommen. Was für Phryger waren es
4 dann

Welche umher am Gestade Sangarios' weit sich gelagert
(Il. 3, 187),

als Priamos, wie er sagt,

ward als Bundesgenoss mit ihnen gerechnet (Il. 3, 188)?

8 Und wieso ließ Priamos Phryger aus dem Land der Berekynter kommen, mit denen es für ihn keine Verbindlichkeiten gab, und überging seine Grenznachbarn, Leute denen er früher selber zu Hilfe gekommen war? Zu dem was er so von den Phrygern behauptet hat stimmt außerdem nicht was er danach von den Mysern berichtet. Er sagt nämlich, es gebe auch in My-

12 κώμην Ἀσκανίαν περὶ λίμνην ὁμώνυμον, ἐξ ἧς καὶ τὸν Ἀσκάνιον ποταμὸν ῥεῖν, οὗ μνημονεύει καὶ Εὐφορίων (CA 43 fr. 74)

Μυσοῖο παρ' ὕδασιν Ἀσκανίοιο

καὶ ὁ Αἰτωλὸς Ἀλέξανδρος (fr. 6 Magnelli)

16 οἳ καὶ ἐπ' Ἀσκανίῳ δώματ' ἔχουσι ῥόῳ,
λίμνης Ἀσκανίης ἐπὶ χείλεσιν, ἔνθα Δολίων
υἱὸς Σιληνοῦ νάσσατο καὶ Μελίης·

καλοῦσι δέ, φησί, Δολιονίδα καὶ Μυσίαν τὴν περὶ Κύζικον ἰόντι εἰς Μιλή-20 του πόλιν. εἰ οὖν οὕτως ἔχει ταῦτα καὶ ἐκμαρτυρεῖται ὑπὸ τῶν δεικνυμένων νῦν καὶ ὑπὸ τῶν ποιητῶν, τί ἐκώλυε τὸν Ὅμηρον ταύτης μνησθῆναι τῆς Ἀσκανίας, ἀλλὰ μὴ τῆς ὑπὸ Ξάνθου λεγομένης; εἴρηται δὲ καὶ πρότερον περὶ τούτων ἐν τῷ περὶ Μυσῶν καὶ Φρυγῶν λόγῳ (564, 25 sqq. 566, 11 sqq.)· 24 ὥστε ἐχέτω πέρας.

Λοιπὸν δὲ τὴν πρὸς νότου παρακειμένην τῇ χερρονήσῳ ταύτῃ περιο- **1 6** δεῦσαι νῆσον τὴν Κύπρον. εἴρηται δ' (121, 27 sq.) ὅτι ἡ περιεχομένη θάλαττα ὑπὸ τῆς Αἰγύπτου καὶ Φοινίκης καὶ Συρίας καὶ τῆς λοιπῆς παραλίας 28 μέχρι τῆς Ῥοδίας σύνθετός πώς ἐστιν ἔκ τε τοῦ Αἰγυπτίου πελάγους καὶ τοῦ Παμφυλίου καὶ τοῦ κατὰ τὸν Ἰσσικὸν κόλπον. ἐν δὲ ταύτῃ ἐστὶν ἡ Κύπρος, τὰ μὲν προσάρκτια μέρη συνάπτοντα ἔχουσα τῇ Τραχείᾳ Κιλικίᾳ (καθ' ἃ δὴ καὶ προσεχεστάτη τῇ ἠπείρῳ ἐστί), τὰ δ' ἑῷα τῷ Ἰσσικῷ 32 κόλπῳ, τὰ δ' ἑσπέρια τῷ Παμφυλίῳ κλυζόμενα πελάγει, τὰ δὲ νότια τῷ Αἰγυπτίῳ. τοῦτο μὲν οὖν σύρρουν ἐστὶν ἀπὸ τῆς ἑσπέρας τῷ Λιβυκῷ καὶ τῷ Καρπαθίῳ πελάγει, ἀπὸ δὲ τῶν νοτίων καὶ τῶν ἑῴων μερῶν ἥ τε Αἴγυπτός ἐστι καὶ ἡ ἐφεξῆς παραλία μέχρι Σελευκείας τε καὶ Ἰσσοῦ, 36 πρὸς ἄρκτον δ' ἥ τε Κύπρος καὶ τὸ Παμφύλιον πέλαγος. τοῦτο δὲ ἀπὸ μὲν τῶν ἄρκτων περιέχεται τοῖς τε ἄκροις τῆς Τραχείας Κιλικίας καὶ τῆς Παμφυλίας καὶ τῆς Λυκίας μέχρι τῆς Ῥοδίας, ἀπὸ δὲ τῆς δύσεως τῇ Ῥοδίων νήσῳ, ἀπὸ δὲ τῆς ἀνατολῆς τῇ Κύπρῳ τῇ κατὰ Πάφον καὶ τὸν Ἀκάμαντα, 682C. ἀπὸ δὲ τῆς | μεσημβρίας σύρρουν ἐστὶ τῷ Αἰγυπτίῳ πελάγει.

31 sq. Eust. D. P. 312, 32 sq.

16 οἳ Xylander: εἰ codd. **18** σειληνοῦ D **19** καὶ post φησί add. F Δολιονίδα Xylander: δολιωνίδα BCDF, δολίωνας E **19 sq.** Μιλήτου πόλιν scripsi (cf. 611, 1 comm.): μιλητούπολιν codd. **21** μνησθῆναι F: μεμνῆσθαι cett. **25** νότον F **27** -λασσα D **37** τῆς posterius om. E **38** τῆς Λυκίας F: λυκίας cett.

12 sien ein Dorf mit dem Namen Askania bei einem gleichnamigen See, aus dem auch der Fluss Askanios fließe, den auch Euphorion erwähnt (CA 43 fr. 74)

bei Askanios' mysischen Wassern

sowie der Ätoler Alexandros (fr. 6 Magnelli)

16 Deren Wohnungen sind an dem Askanischen Strom
Auf des Askanischen Sees Gestade, dort wo Dolion
Wohnsitz hatte, der Sohn Melias und des Silen;

und man nennt, sagt er, Dolionis und Mysien das Land bei Kyzikos in Rich-20 tung Miletu Polis. Wenn dies nun tatsächlich so ist und von dem was man heute dort zeigt sowie von den Dichtern bezeugt wird, was spricht dann dagegen dass Homer dieses Askania, und nicht das von Xanthos genannte erwähnt hat? Aber es ist hiervon schon früher in dem Abschnitt über Myser 24 und Phryger (564, 25 ff. 566, 11 ff.) die Rede gewesen: so sei hier Schluss gemacht.

Übrig ist noch die Umwanderung der sich südlich an dieser Halbinsel **1 6** entlang ziehenden Insel Zypern. Es wurde schon gesagt (121, 27 f.) dass das 28 von Ägypten, Phönizien, Syrien und der übrigen Küste bis zum Rhodischen umschlossene Meer sich gewissermaßen zusammensetzt aus der Ägyptischen See, der Pamphylischen See und der See am Issischen Golf. In diesem Meer liegt Zypern, das mit seiner nördlichen Seite an das Rauhe Kilikien stößt (dort nähert es sich auch am meisten dem Festland), mit der östli-32 chen an den Issischen Golf, im Westen von der Pamphylischen und im Süden von der Ägyptischen See bespült wird. Letztere fließt im Westen zusammen mit der Libyschen und der Karpathischen See; an ihrer Süd- und Ostseite liegt Ägypten und die anschließende Küste bis Seleukeia und Issos, 36 und im Norden Zypern und die Pamphylische See. Diese wird im Norden umschlossen von den Enden des Rauhen Kilikiens, Pamphyliens und Lykiens bis zum Rhodischen, im Westen von der Insel der Rhodier, im Osten 682 von Zypern bei Paphos und dem Akamas, und im Süden fließt sie zusammen mit der Ägyptischen See.

Ἔστι δ᾽ ὁ μὲν κύκλος τῆς Κύπρου σταδίων τρισχιλίων καὶ τετρακοσί- 2
ων εἴκοσι κατακολπίζοντι, μῆκος δὲ ἀπὸ Κλειδῶν ἐπὶ τὸν Ἀκάμαντα πεζῇ
4 σταδίων χιλίων τετρακοσίων ὁδεύοντι ἀπ᾽ ἀνατολῆς ἐπὶ δύσιν. εἰσὶ δ᾽ αἱ
μὲν Κλεῖδες νησία δύο προσκείμενα τῇ Κύπρῳ κατὰ τὰ ἑωθινὰ μέρη τῆς
νήσου διέχοντα τοῦ Πυράμου σταδίους ἑπτακοσίους. ὁ δ᾽ Ἀκάμας ἐστὶν ἄκρα
δύο μαστοὺς ἔχουσα καὶ ὕλην πολλήν, κείμενος μὲν ἐπὶ τῶν ἑσπερίων τῆς
8 νήσου μερῶν, ἀνατείνων δὲ πρὸς ἄρκτους, ἐγγυτάτω μὲν πρὸς Σελινοῦντα
τῆς Τραχείας Κιλικίας ἐν διάρματι χιλίων σταδίων, πρὸς Σίδην δὲ τῆς
Παμφυλίας χιλίων καὶ ἑξακοσίων, πρὸς δὲ Χελιδονίας χιλίων ἐνναкοσίων.
ἔστι δὲ ἑτερόμηκες τὸ ὅλον τῆς νήσου σχῆμα, καί που καὶ ἰσθμοὺς ποι-
12 εῖ κατὰ τὰς τὸ πλάτος διοριζούσας πλευράς. ἔχει δὲ τὰ καθ᾽ ἕκαστα, ὡς ἐν
βραχέσιν εἰπεῖν, οὕτως, ἀρξαμένοις ἀπὸ τοῦ προσεχεστάτου σημείου τῇ
ἠπείρῳ.

Ἔφαμεν δέ που (669, 28 sqq.) κατὰ τὸ Ἀνεμούριον, ἄκραν τῆς Τραχείας 3
16 Κιλικίας, ἀντικεῖσθαι τὸ τῶν Κυπρίων ἀκρωτήριον τὴν Κρομμύου ἄκραν ἐν
τριακοσίοις καὶ πεντήκοντα σταδίοις. ἐντεῦθεν δ᾽ ἤδη δεξιὰν τὴν νῆσον
ἔχουσιν, ἐν ἀριστερᾷ δὲ τὴν ἤπειρον, πρὸς ἄρκτον ὁ πλοῦς ἐστι καὶ πρὸς
ἕω καὶ πρὸς τὰς Κλεῖδας εὐθυπλοΐᾳ σταδίων ἑπτακοσίων. ἐν δὲ τῷ μεταξὺ
20 Λάπαθός τέ ἐστι πόλις ὕφορμον ἔχουσα καὶ νεώρια, Λακώνων κτίσμα καὶ
Πραξάνδρου, καθ᾽ ἣν ἡ Νάγιδος· εἶτ᾽ Ἀφροδίσιον, καθ᾽ ὃ στενὴ ἡ νῆσος
(εἰς γὰρ Σαλαμῖνα ὑπέρβασις σταδίων ἑβδομήκοντα)· εἶτ᾽ Ἀχαιῶν ἀκτή, ὅπου
Τεῦκρος προσωρμίσθη πρῶτον ⟨ὁ⟩ κτίσας Σαλαμῖνα τὴν ἐν Κύπρῳ ἐκβληθείς,
24 ὥς φασιν, ὑπὸ τοῦ πατρὸς Τελαμῶνος· εἶτα Καρπασία πόλις λιμένα ἔχουσα
(κεῖται δὲ κατὰ τὴν ἄκραν τὴν Σαρπηδόνα)· ἐκ δὲ τῆς Καρπασίας ὑπέρβασίς
ἐστιν ἰσθμοῦ τριάκοντα σταδίων πρὸς τὰς νήσους τὰς Καρπασίας καὶ τὸ νό-
τιον πέλαγος· εἶτ᾽ ἄκρα καὶ ὄρος· ἡ δ᾽ ἀκρώρεια καλεῖται Ὄλυμπος, ἔχουσα

2–9 Greg. 23ᵛ marg. **3 sq.** *Eust. D. P. 313, 3 sq. **11 sq.** *Eust. D. P. 313, 4 sq.
20 *St. B. 412, 6 **27 sq.** *Eust. Il. 27, 40 sq.

2 καὶ om. F 4 δὲ pro δ᾽ q 5 προσκείμενα E^{pc} (coniecit Casaubonus): πρὸς κείμε-να E^{ac}, προκείμενα cett. 6 διέχοντα Kramer: τὰ διέχοντα codd., Greg. 8 Σελι-νοῦντα D^{pc} (coniecit Xylander; *Selinuntem* iam Guarino ms.): ἐλνοῦντα D^{ac}, ἐλνοῦντα BC, ἐλυοῦντα EF 10 Χελιδονίας E: -νέας cett. ἐνα- Meineke 12 δὲ scripsi: δὲ καὶ codd. 15 δή pro δέ Korais 17 {δ᾽}? δεξιᾷ E^{pc}; ἐν δεξιᾷ Casaubonus 20 Λάπηθός Kramer 21 ἡ Νάγιδος Casaubonus: ἦν ἄγιδος codd. 22 ὑπέρβασίς ⟨ἐστι⟩? εἶτ᾽ Ἀχαιῶν qxz: εἶτα ἀχαιῶν B, εἶτα χάρων B^{mg} CDEF 23 add. Kramer

Der Umkreis Zyperns beträgt mit allen Buchten dreitausendundvierhun- 2
4 dertzwanzig Stadien, die Länge von den Schlüsseln bis zum Akamas eintau-
sendvierhundert Stadien über Land (von Ost nach West wandernd). Die
Schlüssel sind zwei kleine Inseln die an der Ostseite direkt vor Zypern lie-
gen, siebenhundert Stadien vom Pyramos entfernt. Der Akamas ist ein Vor-
8 gebirge mit zwei Kegeln und viel Wald; er liegt auf der Westseite der Insel,
12 abgelagerte Schlick sie vergrößere oder vielmehr schaffe indem alles gute
und weiche Erdreich von den Bergen herabgetragen werde; das Herabtra-
gen aber sei das Werk der Flüsse, so dass die Ebenen gleichsam deren Ge-
schöpfe seien und man mit Recht sage, es seien *ihre* Ebenen. Das ist dasselbe
16 wie Herodots Wort (2, 5, 1) über den Nil und das an ihm liegende Land: es
sei *sein* Geschenk; deshalb, sagt Nearchos, sei der Nil auch mit Recht mit
demselben Namen bezeichnet worden wie Ägypten.

Aristobulos sagt (FGrHist 139 F 35), Regen und Schnee falle nur in den **17**
Gebirgen und ihrem Vorland, in den Ebenen dagegen gebe es weder Regen-
20 güsse noch Schneefälle: sie würden bloß bei dem Anstieg der Flüsse über-
spült. Schnee falle in den Bergen im Winter, am Anfang des Frühlings fingen
auch die Regengüsse an und nähmen immer mehr zu und während der Ete-
sien schütteten sie sogar ununterbrochen und heftig Tag und Nacht bis zum
24 Aufgang des Arkturos; von dem Schnee und dem Regen angefüllt tränkten
die Flüsse dann die Ebenen. Dies, sagt er, hätten er sowohl als die Anderen
bemerkt als sie von den Paropamisadern nach Indien aufgebrochen waren,

σαδῶν, μετὰ δὲ δυσμὰς Πληϊάδος διατριψάντων κατὰ τὴν ὀρεινὴν ἔν τε τῇ
28 Ὑπασίων καὶ τῇ Ἀσσακανοῦ γῇ τὸν χειμῶνα, τοῦ δ' ἔαρος ἀρχομένου καταβεβηκότων εἰς τὰ πεδία καὶ πόλιν Τάξιλα εὐμεγέθη, ἐντεῦθεν δ' ἐπὶ Ὑδάσπην καὶ τὴν Πώρου χώραν· τοῦ μὲν οὖν χειμῶνος ὕδωρ οὐκ ἰδεῖν, ἀλλὰ χιόνας μόνον, ἐν δὲ τοῖς Ταξίλοις πρῶτον ὑσθῆναι, καὶ ἐπειδὴ καταβᾶσιν
32 ἐπὶ τὸν Ὑδάσπην καὶ νικήσασι Πῶρον ὁδὸς ἦν ἐπὶ τὸν Ὕπανιν πρὸς ἕω κἀκεῖθεν ἐπὶ τὸν Ὑδάσπην πάλιν, ὕεσθαι συνεχῶς, καὶ μάλιστα τοῖς ἐτησίαις, ἐπιτείλαντος δὲ Ἀρκτούρου γενέσθαι παῦλαν. διατρίψαντας δὲ περὶ τὴν ναυπηγίαν ἐπὶ τῷ Ὑδάσπῃ καὶ πλεῖν ἀρξαμένους πρὸ δύσεως Πληϊάδος

692C. οὐ πολλαῖς ἡμέραις | καὶ τὸ φθινόπωρον πᾶν καὶ τὸν χειμῶνα καὶ τὸ ἐπιὸν ἔαρ καὶ θέρος ἐν τῷ κατάπλῳ πραγματευθέντας ἐλθεῖν εἰς τὴν Παταληνὴν περὶ Κυνὸς ἐπιτολήν· δέκα μὲν δὴ τοῦ κατάπλου γενέσθαι μῆνας, οὐδαμοῦ
4 δ' ὑετῶν αἰσθέσθαι — οὐδ' ὅτε ἐπήκμασαν οἱ ἐτησίαι —, τῶν δὲ ποταμῶν πληρουμένων τὰ πεδία κλύζεσθαι· τὴν δὲ θάλατταν ἄπλουν εἶναι τῶν ἀνέμων ἀντιπνεόντων, ἀπογαίας δὲ μηδεμίας πνοῆς ἐκδεξαμένης.

Τοῦτο μὲν οὖν αὐτὸ καὶ ὁ Νέαρχος λέγει (FGrHist 133 F 18), περὶ δὲ **18**
8 τῶν θερινῶν ὄμβρων οὐχ ὁμολογεῖ, ἀλλά φησιν ὕεσθαι τὰ πεδία θέρους, χειμῶνος δ' ἄνομβρα εἶναι. λέγουσι δ' ἀμφότεροι καὶ τὰς ἀναβάσεις τῶν ποταμῶν. ὁ μέν γε Νέαρχος τοῦ Ἀκεσίνου πλησίον στρατοπεδεύοντάς φησιν ἀναγκασθῆναι μεταλαβεῖν τόπον ἄλλον ὑπερδέξιον κατὰ τὴν ἀνάβασιν, γε-
12 νέσθαι δὲ τοῦτο κατὰ θερινὰς τροπάς. ὁ δ' Ἀριστόβουλος καὶ μέτρα τῆς ἀναβάσεως ἐκτίθεται τετταράκοντα πήχεις, ὧν τοὺς μὲν εἴκοσιν ὑπὲρ τὸ προϋπάρχον βάθος πληροῦν μέχρι χείλους τὸ ῥεῖθρον, τοὺς δ' εἴκοσιν ὑπέρχυσιν εἶναι εἰς τὰ πεδία. ὁμολογοῦσι δὲ καὶ διότι συμβαίνει νησίζειν
16 τὰς πόλεις ἐπάνω χωμάτων ἱδρυμένας, καθάπερ καὶ ἐν Αἰγύπτῳ καὶ Αἰθιοπίᾳ· μετὰ δὲ Ἀρκτοῦρον παύεσθαι τὴν πλήμμυραν ἀποβαίνοντος τοῦ ὕδατος·

29 St. B. 602, 8 31 Eust. D. P. 403, 5 sq. 692 10–6 Eust. D. P. 402, 25–30

27 {δὲ} Müller, Jacoby δυσμὰς EF: -οὺς BCD Πληϊάδος scripsi: -δων codd. καὶ ante διατριψάντων add. codd.: delevi 28 Ἱππασίων Casaubonus, Ἀσπασίων F. Schmieder (Arriani Historia Indica ..., Halis Magdeburgicis 1798, 6) Ἀσσακανοῦ Korais: μουσικανοῦ B, μουσικάνου cett. 31 καταβᾶσιν D: καταβάσιν (sic) C, κατάβασιν BF 32 ⟨ἡ⟩ ὁδὸς? 692 6 ἀπογαίας BCD[pc] (coniecit Korais): ἀπὸ γαίας cett. 7 αὐτὸ Xylander: -οὶ codd. 10 στρατοπεδεύοντας Casaubonus: στρατεύοντα E, στρατεύοντος cett. 14 τοὺς F: τοῖς cett. 17 τὴν πλήμμυραν Kramer: τὴν πλημμύραν CD, τὴν πλημύραν BF, τὰς πλημμύρας E ὑποβαίνοντος z

28 nach dem Untergang der Pleiaden den Winter im Gebirge, im Land der Hypasier und des Assakanos, verbracht hatten, am Anfang des Frühlings in die Ebenen und zu der ansehnlichen Stadt Taxila und von dort zum Hydaspes und dem Land des Poros hinab gezogen waren: im Winter hätten sie kein Wasser sondern nur Schnee gesehen, in Taxila habe es zum ersten Mal ge-
32 regnet, und als sie nach ihrem Abstieg zum Hydaspes und ihrem Sieg über Poros nach Osten zum Hypanis und von dort wieder zum Hydaspes zogen, habe es unausgesetzt geregnet, besonders während der Etesien; beim Aufgang des Arkturos habe es aufgehört. Und nachdem sie dann eine Zeit am Hydaspes mit dem Schiffbau verbracht, wenige Tage vor dem Untergang

692 der Pleiaden die Schiffsreise begonnen hatten und den ganzen Herbst und Winter und den darauf folgenden Frühling und Sommer mit der Rückfahrt beschäftigt gewesen waren, seien sie etwa beim Aufgang des Hundssterns in Patalene angekommen; zehn Monate habe die Rückfahrt gedauert und nir-
4 gends hätten sie Regen bemerkt – auch nicht als die Etesien auf ihrem Höhepunkt waren –, doch als die Flüsse sich füllten, seien die Ebenen überspült worden; das Meer sei unbeschiffbar gewesen, weil die Winde widrig waren und kein Landwind sie ablöste.

Eben dies berichtet auch Nearchos (FGrHist 133 F 18). Was dagegen die **18**
8 sommerlichen Regenfälle betrifft stimmt er nicht mit ihm überein sondern sagt, die Ebenen bekämen im Sommer Regen und seien nur im Winter regenlos. Beide sprechen auch von dem Anstieg der Flüsse. Nearchos sagt, als sie in der Nähe des Akesines ein Lager hatten, seien sie bei seinem Anstieg gezwungen worden, das Lager an eine andere, höher gelegene Stelle zu ver-
12 legen, und das sei zur Sommersonnenwende geschehen. Aristobulos gibt auch die Höhe des Anstiegs an: vierzig Ellen, von denen zwanzig das Flussbett über den anfänglichen Wasserstand hinaus bis zum Rande füllten, die übrigen zwanzig den Überlauf in die Ebenen bildeten. Sie stimmen auch
16 darin überein dass die Städte, die auf aufgeschütteten Höhen gebaut sind, zu Inseln werden, wie in Ägypten und Äthiopien; nach dem Arkturos höre die Überflutung auf indem das Wasser abziehe; noch halbtrocken werde

ἔτι δ' ἡμίψυκτον σπείρεσθαι τὴν γῆν ὑπὸ τοῦ τυχόντος ὀρυκτοῦ χαραχθεῖ-
σαν, καὶ ὅμως φύεσθαι τὸν καρπὸν τέλειον καὶ καλόν. τὴν δ' ὄρυζάν φησιν
20 ὁ 'Αριστόβουλος ἑστάναι ἐν ὕδατι κλειστῷ· πρασιὰς δ' εἶναι τὰς ἐχούσας
αὐτήν, ὕψος δὲ τοῦ φυτοῦ τετράπηχυ, πολύσταχύ τε καὶ πολύκαρπον· θε-
ρίζεσθαι δὲ περὶ δύσιν Πληϊάδος καὶ πτίσσεσθαι ὡς τὰς ζειάς· φύεσθαι
δὲ καὶ ἐν τῇ Βακτριανῇ καὶ Βαβυλωνίᾳ καὶ Σουσίδι (καὶ ἡ κάτω δὲ Συρία
24 φύει). Μέγιλλος δὲ (FGrHist 721 F 12) τὴν ὄρυζαν σπείρεσθαι μὲν πρὸ
τῶν ὄμβρων φησίν, ἀρδείας δὲ καὶ φυτείας δεῖσθαι ἀπὸ τῶν κλειστῶν πο-
τιζομένην ὑδάτων. περὶ δὲ τοῦ βοσμόρου φησὶν 'Ονησίκριτος (FGrHist 134
F 15) διότι σῖτός ἐστι μικρότερος τοῦ πυροῦ, γεννᾶται δ' ἐν ταῖς μεσο-
28 ποταμίαις· φρύγεται δ' ἐπὰν ἀλοηθῇ, προομνύντων μὴ ἀποίσειν ἄπυρον ἐκ
τῆς ἅλω τοῦ μὴ ἐξάγεσθαι σπέρμα.

Τὴν δ' ὁμοιότητα τῆς χώρας ταύτης πρός τε τὴν Αἴγυπτον καὶ τὴν Αἰ- 19
θιοπίαν καὶ πάλιν τὴν ἐναντιότητα παραθεὶς ὁ 'Αριστόβουλος (l. c.), διότι
32 τῷ Νείλῳ μὲν ἐκ τῶν νοτίων ὄμβρων ἐστὶν ἡ πλήρωσις, τοῖς 'Ινδικοῖς δὲ
693C. ποταμοῖς ἀπὸ τῶν ἀρκτικῶν, | ζητεῖ πῶς οἱ μεταξὺ τόποι οὐ κατομβροῦνται·
οὔτε γὰρ ἡ Θηβαῒς μέχρι Συήνης καὶ τῶν ἐγγὺς Μερόης οὔτε τῆς 'Ινδικῆς
τὰ ἀπὸ τῆς Παταληνῆς μέχρι τοῦ 'Υδάσπου (τὴν δ' ὑπὲρ ταῦτα τὰ μέρη χώ-
4 ραν, ἐν ᾗ καὶ ὄμβροι καὶ νιφετοί, παραπλησίως ἔφη γεωργεῖσθαι τῇ ἄλλῃ
τῇ ἔξω τῆς 'Ινδικῆς χώρᾳ· ποτίζεσθαι γὰρ ἐκ τῶν ὄμβρων καὶ χιόνων).

Εἰκὸς δ' οἷς εἴρηκεν οὗτος καὶ εὔσειστον εἶναι τὴν γῆν χαυνουμένην
ὑπὸ τῆς πολλῆς ὑγρασίας καὶ ἐκρήγματα λαμβάνουσαν, ὥστε καὶ ῥεῖθρα
8 ποταμῶν ἀλλάττεσθαι. πεμφθεὶς γοῦν ἐπί τινα χρείαν ἰδεῖν φησιν ἐρημω-
θεῖσαν χώραν πλειόνων ἢ χιλίων πόλεων σὺν κώμαις ἐκλιπόντος τοῦ 'Ινδοῦ
τὸ οἰκεῖον ῥεῖθρον, ἐκτραπομένου δ' εἰς ἕτερον ἐν ἀριστερᾷ κοιλότερον
πολὺ καὶ οἷον καταράξαντος, ὡς τὴν ἀπολειφθεῖσαν ἐν δεξιᾷ χώραν μηκέτι
12 ποτίζεσθαι ταῖς ὑπερχύσεσι μετεωροτέραν οὖσαν οὐ τοῦ ῥείθρου τοῦ καινοῦ
μόνον ἀλλὰ καὶ τῶν ὑπερχύσεων.

27 Eust. Il. 707, 42 sq. 693 8–11 *Eust. D. P. 398, 17–22

18 ὑπὸ Casaubonus, Korais: ἀπὸ codd. τυχόντος E (coniecit Casaubonus): ψύχοντος codd. ὀρύκτου Korais **22** τε pro δὲ E πτίσσεσθαι D^{pc} (coniecit Casaubonus): πτίζ- cett. **25** ⟨μὴ⟩ δεῖσθαι Korais ὑπὸ Korais **25 sq.** ⟨μὴ⟩ ποτιζομένην Groskurd **26** βωσμόρου CD ὃν post βοσμόρου add. codd.: del. Korais **27** σῖτός X: σεπτός BCDF, om. E γεννᾶσθαι E **32 sq.** τοῖς 'Ι. ποταμοῖς δὲ q **693 5** τῶν ante χιόνων add. q **9** ταῖς ante κώμαις add. Eust. **10** τὸ ante ἕτερον add. codd.: del. Korais; τι Groskurd **11** καταράξαντος Cobet ms. (vide comm.): καταρράξοντος F, καταρράξαντος cett. **12** καινοῦ z^{pc}, Xylander: κενοῦ BCDF

das Land besät, nachdem es von der einfachsten Pflugschar gerissen ist, und
trotzdem wachse die Frucht zu voller Reife und guter Qualität. Der Reis,
20 sagt Aristobulos, stehe in abgeschlossenem Wasser; es seien Beete, in denen
er steht, die Höhe des Gewächses sei vier Ellen und es trage viele Ähren und
viel Frucht; er werde geerntet in der Zeit des Untergangs der Pleiaden und
enthülst wie der Emmer; er wachse auch in Baktriane, Babylonien und Susis
24 (auch im unteren Syrien gedeiht er). Megillos sagt (FGrHist 721 F 12), der
Reis werde vor den Regengüssen gesät und brauche Bewässerung und Aus-
pflanzung; er werde von dem abgeschlossenen Wasser getränkt. Über das
Bosmoron sagt Onesikritos (FGrHist 134 F 15), es sei ein kleineres Getreide
28 als der Weizen und komme in den Gebieten zwischen den Flüssen vor; es
werde nach dem Dreschen geröstet, da man vorher schwört, es nicht unge-
röstet von der Tenne fortzuschaffen, damit nicht Saatgut ausgeführt wird.

Nachdem Aristobulos (a.a.O.) auf die Ähnlichkeit dieses Landes mit 19
Ägypten und Äthiopien hingewiesen hat und wiederum auch auf die Gegen-
32 sätzlichkeit, da das Anschwellen beim Nil von den südlichen, bei den indi-
693 schen Flüssen dagegen von den nördlichen Regenfällen herrührt, fragt er
sich wieso die zwischenliegenden Gegenden keinen Regen bekommen: falle
doch weder in der Thebais bis nach Syene und dem Land in der Nähe von
Meroë Regen noch in dem Teil Indiens von Patalene bis zum Hydaspes (das
4 Land oberhalb davon, in dem es sowohl Regen- als Schneefälle gibt, werde
ebenso angebaut wie das übrige Land außerhalb Indiens: es werde ja von
dem Regen und dem Schnee getränkt).

Was er berichtet macht es wahrscheinlich dass das Land auch leicht von
Erdbeben erschüttert wird, da es sich durch die große Feuchtigkeit lockert
8 und aufbricht, so dass auch Flussbetten sich ändern. Jedenfalls erzählt er,
als er mit irgendeinem Auftrag ausgeschickt worden war, habe er gesehen
wie ein Land mit mehr als tausend Städten einschließlich der Dörfer verödet
war weil der Indus sein eigentliches Bett verlassen hatte und in ein anderes
viel tieferes zur Linken abgelenkt und gleichsam herabgestürzt war, so dass
12 das von ihm verlassene Land zur Rechten nicht mehr von dem übertretenden
Wasser getränkt wurde, da es nicht nur höher lag als das neue Bett sondern
auch höher als das übertretende Wasser.

20 Ταῖς δὲ τῶν ποταμῶν πληρώσεσι καὶ τῷ τοὺς ἀπογαίους μὴ πνεῖν ὁμολογεῖ καὶ τὸ λεχθὲν ὑπὸ τοῦ Ὀνησικρίτου (FGrHist 134 F 8)· τεναγώδη γάρ φησιν εἶναι τὴν παραλίαν, καὶ μάλιστα κατὰ τὰ στόματα τῶν ποταμῶν, διά τε τὴν χοῦν καὶ τὰς πλημμυρίδας καὶ τὴν τῶν πελαγίων ἀνέμων ἐπικράτειαν.

Μεγασθένης δὲ (FGrHist 715 F 8) τὴν εὐδαιμονίαν τῆς Ἰνδικῆς ἐπισημαίνεται τῷ δίκαρπον εἶναι καὶ δίφορον (καθάπερ καὶ Ἐρατοσθένης [fr. III B 17 Berger] ἔφη, τὸν μὲν εἰπὼν σπόρον χειμερινόν, τὸν δὲ θερινόν, καὶ ὄμβρον ὁμοίως· οὐδὲν γὰρ ἔτος εὑρίσκεσθαί φησι πρὸς ἀμφοτέρους καιροὺς ἄνομβρον, ὥστ' εὐετηρίαν ἐκ τούτου συμβαίνειν ἀφόρου μηδέποτε τῆς γῆς οὔσης). τούς τε ξυλίνους καρποὺς γεννᾶσθαι πολλοὺς καὶ τὰς ῥίζας τῶν φυτῶν, καὶ μάλιστα τῶν μεγάλων καλάμων, γλυκείας καὶ φύσει καὶ ἑψήσει, χλιαινομένου τοῦ ὕδατος τοῖς ἡλίοις τοῦ τ' ἐκπίπτοντος ἐκ Διὸς καὶ τοῦ ποταμίου. τρόπον δή τινα λέγειν βούλεται διότι ἡ παρὰ τοῖς ἄλλοις λεγομένη πέψις καὶ καρπῶν καὶ χυμῶν παρ' ἐκείνοις ἕψησίς ἐστι καὶ κατεργάζεται τοσοῦτον εἰς εὐστομίαν ὅσον καὶ ἡ διὰ πυρός. διὸ καὶ τοὺς κλάδους φησὶν εὐκαμπεῖς εἶναι τῶν δένδρων, ἐξ ὧν οἱ τροχοί, ἐκ δὲ τῆς αὐτῆς αἰτίας ἐνίοις καὶ ἐπανθεῖν ἔριον· ἐκ τούτου δὲ Νέαρχός φησι (FGrHist 133 F 19) τὰς εὐητρίους ὑφαίνεσθαι σινδόνας, τοὺς δὲ Μακεδόνας ἀντὶ κναφάλλων αὐτῷ χρῆσθαι καὶ τοῖς σάγμασι σάγης (τοιαῦτα
694C. δὲ καὶ τὰ Σηρικά, ἔκ τινων φλοιῶν ξαινομένης βύσσου). | εἴρηκε δὲ καὶ περὶ τῶν καλάμων, ὅτι ποιοῦσι μέλι μελισσῶν μὴ οὐσῶν· καὶ γὰρ δένδρον εἶναι καρποφόρον, ἐκ δὲ τοῦ καρποῦ συντίθεσθαι μέλι (τοὺς δὲ φαγόντας ὠμοῦ τοῦ καρποῦ μεθύειν).

21 Πολλὰ γὰρ δὴ καὶ δένδρα παράδοξα ἡ Ἰνδικὴ τρέφει. ὧν ἐστι καὶ τὸ κάτω νεύοντας ἔχον τοὺς κλάδους, τὰ δὲ φύλλα ἀσπίδος οὐκ ἐλάττω. Ὀνησίκριτος δὲ (FGrHist 134 F 22) καὶ περιεργότερον τὰ ἐν τῇ Μουσικανοῦ διεξιών (ἣν φησι νοτιωτάτην εἶναι τῆς Ἰνδικῆς) διηγεῖται μεγάλα δένδρα

17 Eust. Il. 305, 43 sq. Od. 1390, 60. 1504, 38 **20** *Eust. D. P. 400, 32 **24–6** *Eust. D. P. 401, 5–8 **26 sq.** Eust. Od. 1505, 53–5 **31 sq.** *Eust. D. P. 400, 41–3 **33 sq.** *Eust. D. P. 400, 39 sq. **34** *Areth. Apoc. 57 (Migne PG 106, 740 B)? 694 **1–4** *Eust. D. P. 401, 8 sq. **1 sq.** Eust. D. P. 382, 30–2

14 τῷ Xylander: τὸ codd. τοὺς om. F **20** δίσπορον? **25** τῶν καλάμων τῶν μεγάλων E **26** θεοῦ pro Διὸς E **27** δέ pro δή Korais **28** χυλῶν? Korais **33** κναφάλλων B[s]CF: -φάλων cett. αὐτῷ scripsi: -οῖς codd. σάγης Tzschucke: σάγην codd.; σαγῆς Salmasius (Plin. exerc. 998 C/D) 694 **2** καὶ EF: οὐ cett. γὰρ om. x **5** aut καὶ prius deleri aut παράδοξα ante δένδρα transponi iussit Korais **7** μουσικανῶν E **8** ἣν .. νοτιωτάτην scripsi: ἅ .. νοτιώτατα codd. εἶναι post δένδρα add. q

20 Zu dem Anschwellen der Flüsse und dem Nichtwehen von Landwinden stimmt auch was Onesikritos berichtet (FGrHist 134 F 8); er sagt nämlich, die Küste sei seicht, besonders bei den Mündungen der Flüsse, und das käme einmal durch den Schlick und die Fluten, zum andern durch das Vorherrschen der Seewinde.

Megasthenes (FGrHist 715 F 8) unterstreicht die Segensfülle Indiens damit dass es zweimal Frucht und Ernte trage (wie auch Eratosthenes [fr. III B 17 Berger] gesagt hat, der von einer Winter- und einer Sommersaat spricht und ebenso von Winter- und Sommerregen: finde sich doch kein Jahr in dem es in den beiden Perioden nicht regne, so dass sich dadurch eine reiche Ernte ergebe, da das Land niemals keine Frucht trage). Baumfrüchte gebe es viele, und die Wurzeln der Pflanzen, besonders des großen Rohres, seien süß, nicht nur von Natur sondern auch durch die Kochung, da das Wasser, sowohl das aus dem Himmel fallende als das Flusswasser, von den Sonnenstrahlen erhitzt wird. Gewissermaßen will er also sagen dass das was bei den Anderen Reifung von Früchten und Säften genannt wird, bei ihnen Kochung ist und ebenso zum Wohlgeschmack beiträgt wie das Kochen durch Feuer. Daher, sagt er, seien auch die Zweige der Bäume aus denen die Räder gemacht werden biegsam, und aus demselben Grunde sprieße aus manchen sogar Wolle hervor; aus dieser, sagt Nearchos (FGrHist 133 F 19), würden die feinen Musseline gewebt, und die Makedonen hätten sie statt der Füllung für Kissen und Sattel gebraucht (derart sind auch die Serischen Stoffe, zu denen aus irgendwelchem Bast Leinen gekrempelt
694 wird). Er spricht auch von dem Rohr, dass es Honig erzeuge ohne dass Bienen da sind; es gebe ja auch einen Fruchtbaum aus dessen Frucht Honig bereitet werde (die Leute aber die die Frucht roh äßen würden betrunken).

21 Zahlreich sind ja überhaupt die wunderbaren Bäume die Indien hervorbringt. Dazu gehört z. B. der Baum mit nach unten wachsenden Zweigen und mit Blättern die nicht kleiner sind als ein Schild. Onesikritos (FGrHist 134 F 22) in seiner eingehenden Beschreibung der Dinge im Lande des Musikanos (nach ihm das südlichste Indiens) erzählt von gewissen großen Bäu-

τινά, ὧν τοὺς κλάδους αὐξηθέντας ἐπὶ πήχεις καὶ δώδεκα ἔπειτα τὴν λοι-
πὴν αὔξησιν καταφερῆ λαμβάνειν ὡς ἂν κατακαμπτομένους, ἕως ἂν ἅψωνται
τῆς γῆς· ἔπειτα κατὰ γῆς διαδοθέντας ῥιζοῦσθαι ὁμοίως ταῖς κατώρυξιν,
12 εἶτ' ἀναδοθέντας στελεχοῦσθαι· ἐξ οὗ πάλιν ὁμοίως τῇ αὐξήσει κατακαμφ-
θέντας ἄλλην κατώρυγα ποιεῖν, εἶτ' ἄλλην, καὶ οὕτως ἐφεξῆς, ὥστ' ἀφ'
ἑνὸς δένδρου σκιάδειον γενέσθαι μακρόν, πολυστύλῳ σκηνῇ ὅμοιον. λέγει
δὲ καὶ μεγέθη δένδρων, ὥστε πέντε ἀνθρώποις δυσπερίληπτα εἶναι τὰ
16 στελέχη. κατὰ δὲ τὸν Ἀκεσίνην καὶ τὴν συμβολὴν τὴν πρὸς Ὑάρωτιν καὶ
Ἀριστόβουλος (FGrHist 139 F 36) εἴρηκε περὶ τῶν κατακαμπτομένους ἐχόν-
των τοὺς κλάδους καὶ περὶ τοῦ μεγέθους, ὥσθ' ὑφ' ἑνὶ δένδρῳ μεσημβρί-
ζειν σκιαζομένους ἱππέας πεντήκοντα (οὗτος δὲ τετρακοσίους). λέγει δὲ
20 ὁ Ἀριστόβουλος (FGrHist 139 F 37) καὶ ἄλλο δένδρον οὐ μέγα, μεγάλους
λοβοὺς ἔχον ὡς ὁ κύαμος, δεκαδακτύλους τὸ μῆκος, πλήρεις μέλιτος· τοὺς
δὲ φαγόντας οὐ ῥᾳδίως σῴζεσθαι. ἅπαντας δ' ὑπερβέβληνται περὶ τοῦ με-
γέθους τῶν δένδρων οἱ φήσαντες ἑωρᾶσθαι πέραν τοῦ Ὑαρώτιδος δένδρον
24 ποιοῦν σκιὰν ταῖς μεσημβρίαις πενταστάδιον. καὶ τῶν ἐριοφόρων δένδρων
φησὶν οὗτος τὸ ἄνθος ἔχειν πυρῆνα, ἐξαιρεθέντος δὲ τούτου ξαίνεσθαι
τὸ λοιπὸν ὁμοίως ταῖς ἐρέαις.

Ἐν δὲ τῇ Μουσικανοῦ καὶ σῖτον αὐτοφυῆ λέγει πυρῷ παραπλήσιον καὶ **22**
28 ἄμπελον, ὥστ' οἰνοφορεῖν (τῶν ἄλλων ἄοινον λεγόντων τὴν Ἰνδικήν· ὥστε
μήτ' αὐλὸν εἶναι κατὰ τὸν Ἀνάχαρσιν μήτ' ἄλλο τῶν μουσικῶν ὀργάνων μη-
δὲν πλὴν κυμβάλων καὶ τυμπάνων καὶ κροτάλων, ἃ τοὺς θαυματοποιοὺς κε-
κτῆσθαι). καὶ πολυφάρμακον δὲ καὶ πολύρριζον τῶν τε σωτηρίων καὶ τῶν
32 ἐναντίων, ὥσπερ καὶ πολυχρώματον, καὶ οὗτος εἴρηκε καὶ ἄλλοι γε· προσ-
τίθησι δ' οὗτος ὅτι καὶ νόμος εἴη τὸν ἀνευρόντα τι τῶν ὀλεθρίων, ἐὰν

31 sq. *Eust. D. P. 400, 30–2 **33 sq.** *Eust. D. P. 401, 13 sq.

11 διαδοθέντα E; διαδύντας? Korais ταῖς om. B **12** ἀναδοθέντας h^{s}q: -τα BCDEF; ἀναδύντας? Korais **12 sq.** κατακαμφθέντας B^{pc} (coniecit Korais): -φέντα E, -φθέντα cett. **13 sq.** ὑφ' ἑνὶ δένδρῳ Korais **14** σκιάδειον D: -διον cett. γί-νεσθαι Korais **20 sq.** οὐ μέγα μεγάλους λοβοὺς z, Casaubonus: οὐ μεγαλολεπισματα-ποὺς D (μεγά- a. c.), οὐ μεγαλολεπισματαποῦς BC, οὐ μεγαλολεπίσματα πους F, μεγά-λους λοβοὺς EC^{mg}, μεγάλους λοοὺς B^{mg}; οὐ μέγα λοβοὺς μεγάλους x, οὐ μέγα λοβοὺς Vil-lebrune, οὐ μέγα λοποὺς Kramer **24** ⟨δὲ⟩ δένδρων Korais **25** πυρῆνας· ἐξαιρε-θέντων δὲ τούτων? Korais **27** μουσικανῶν E **28** ὡς pro ὥστε E **29** μήτ' prius Korais: μηδ' codd.; μηδ' pro μήτ' post. scribi maluit Meineke **30** τυμπάνων καὶ κυμ-βάλων D θαυματοποιοὺς EF: θαυμαστο- BCD **32** δέ προ γε? Meineke (3, V ad 968, 11)

men, deren Zweige, wenn sie eine Länge von nicht weniger als zwölf Ellen
erreicht haben, von dann an nach unten wüchsen, als würden sie herabgebo-
gen, bis sie die Erde berühren; dann verzweigten sie sich unter der Erde und
12 bildeten Wurzeln, genau so wie Absenker; dann brächen sie hervor und bil-
deten einen Stamm, aus dem sie sich wieder genau so beim Weiterwachsen
herabbiegen und einen neuen Absenker machen, dann wieder einen, und so
fort, mit der Folge dass aus *einem* Baum ein langer Sonnenschirm entstehe,
der einem Zelt mit vielen Stützen ähnlich sieht. Er spricht auch von Riesen-
bäumen, so groß dass ihre Stämme kaum von fünf Menschen zu umfassen
16 seien. Beim Akesines und seinem Zusammenfluss mit dem Hyarotis berichtet
auch Aristobulos (FGrHist 139 F 36) von den Bäumen mit den herabgebo-
genen Zweigen und von ihrer Größe, die es möglich mache dass unter *einem*
Baum fünfzig Reiter im Schatten Mittagsruhe halten (nach jenem vierhun-
20 dert). Aristobulos (FGrHist 139 F 37) beschreibt auch einen anderen, nicht
großen Baum, der wie die Bohne große Schoten trage die zehn Finger lang
und voller Honig seien; wer sie esse komme nicht leicht mit dem Leben da-
von. Alle Berichte aber über die Größe der Bäume übertreffen die die erzäh-
24 len, man habe jenseits des Hyarotis einen Baum gesehen, der mittags einen
fünf Stadien großen Schatten warf. Ferner sagt jener, die Blüte der wolletra-
genden Bäume habe einen Kern, und nach dessen Entfernung werde der
Rest genau so gekrempelt wie Wolle.

Im Land des Musikanos, sagt er, gebe es auch ein wildwachsendes, dem **22**
28 Weizen ähnliches Getreide und die Rebe, so dass es Wein produziere (wäh-
rend nach den Anderen Indien keinen Wein kennt, so dass es dort laut Ana-
charsis auch weder Flöten noch irgendein anderes Musikinstrument gebe
außer Becken, Trommeln und Klappern, die die Gaukler besäßen). Auch
32 reich an Giften und Wurzeln – sowohl den heilsamen als den gegenteiligen
– wie auch reich an Farben wird das Land nicht nur von jenem sondern
auch von Anderen genannt; jener fügt hinzu, es gebe auch ein Gesetz dass

μὴ προσανεύρῃ καὶ τὸ ἄκος αὐτοῦ, θανατοῦσθαι· ἀνευρόντα δὲ τιμῆς τυγ-
695C. χάνειν παρὰ τοῖς βασιλεῦσιν. | ἔχειν δὲ καὶ κιννάμωμον καὶ νάρδον καὶ
τὰ ἄλλα ἀρώματα τὴν νότιον γῆν τὴν Ἰνδικὴν ὁμοίως ὥσπερ τὴν Ἀραβίαν
καὶ τὴν Αἰθιοπίαν, ἔχουσάν τι ἐμφερὲς ἐκείναις κατὰ τοὺς ἡλίους· δια-
4 φέρειν δὲ τῷ πλεονασμῷ τῶν ὑδάτων, ὥστ' ἔνικμον εἶναι τὸν ἀέρα καὶ τρο-
φιμώτερον παρὰ τοῦτο καὶ γόνιμον μᾶλλον, ὣς δ' αὔτως καὶ τὴν γῆν καὶ
τὸ ὕδωρ. ᾗ δὴ καὶ μείζω τά τε χερσαῖα τῶν ζῴων καὶ τὰ καθ' ὕδατος τὰ
ἐν Ἰνδοῖς τῶν παρ' ἄλλοις εὑρίσκεσθαι. καὶ τὸν Νεῖλον δὲ εἶναι γόνιμον
8 μᾶλλον ἑτέρων καὶ μεγαλοφυῆ γεννᾶν καὶ τὰ ἄλλα καὶ τὰ ἀμφίβια· τάς τε
γυναῖκας ἔσθ' ὅτε καὶ τετράδυμα τίκτειν τὰς Αἰγυπτίας. Ἀριστοτέλης δέ
(fr. 284 Rose) τινα καὶ ἑπτάδυμα ἱστορεῖ τετοκέναι, καὶ αὐτὸς πολύ-
γονον καλῶν τὸν Νεῖλον καὶ τρόφιμον διὰ τὴν ἐκ τῶν ἡλίων μετρίαν
12 ἕψησιν αὐτὸ καταλειπόντων τὸ τρόφιμον, τὸ δὲ περιττὸν ἐκθυμιώντων.
ἀπὸ δὲ τῆς αὐτῆς αἰτίας καὶ τοῦτο συμβαίνειν εἰκός, ὅπερ φησὶν **23**
οὗτος, ὅτι τῷ ἡμίσει πυρὶ ἕψει τὸ τοῦ Νείλου ὕδωρ ἢ τὰ ἄλλα. ὅσῳ δέ
γε, φησί, τὸ μὲν τοῦ Νείλου ὕδωρ δι' εὐθείας ἔπεισι πολλὴν χώραν καὶ
16 στενὴν καὶ μεταβάλλει πολλὰ κλίματα καὶ πολλοὺς ἀέρας, τὰ δ' Ἰνδικὰ
ῥεύματα ἐς πεδία ἀναχεῖται μείζω καὶ πλατύτερα ἐνδιατρίβοντα πολὺν
χρόνον τοῖς αὐτοῖς κλίμασι, τοσῷδε ἐκεῖνα τούτου τροφιμώτερα· διότι
καὶ τὰ κήτη μείζω τε καὶ πλείω. καὶ ἐκ τῶν νεφῶν δὲ ἑφθὸν ἤδη χεῖσθαι
20 τὸ ὕδωρ (τοῦτο δ' οἱ μὲν περὶ Ἀριστόβουλον οὐκ ἂν συγχωροῖεν οἱ φάσ- **24**
κοντες μὴ ὕεσθαι τὰ πεδία).

Ὀνησικρίτῳ δὲ δοκεῖ τόδε τὸ ὕδωρ αἴτιον εἶναι τῶν ἐν τοῖς ζῴοις
ἰδιωμάτων· καὶ φέρει σημεῖον τὸ καὶ τὰς χρόας τῶν πινόντων βοσκημά-
24 των ξενικῶν ἀλλάττεσθαι πρὸς τὸ ἐπιχώριον. τοῦτο μὲν οὖν εὖ, οὐκέτι
δὲ ⟨τὸ⟩ καὶ τοῦ μέλανας εἶναι καὶ οὐλότριχας τοὺς Αἰθίοπας ἐν ψιλοῖς

695 **7–12** *Eust. D. P. 258, 8–12

695 **5** ὣς δ' αὔτως scripsi (cf. Schwyzer 2, 577): ὡς δ' αὔτως codd. **6** ᾗ δὴ Korais (*quapropter* iam Tifernate): ἤδη codd. **7** δ' Casaubonus **8** μεγαλοφυῆ Xylander (cf. Eust. CD): μεγαλοφυεῖν καὶ codd. καὶ secundum om. E τ' ἄλλα ed. pr., τἄλλα Hopper, τᾶλλα Kramer **10** καὶ prius ante τινα collocat E πεντάδυμα Korais (duce Casaubono; cf. comm.) **11** ἐκεῖ pro ἐκ Eust. **12** καταλειπόντων Korais: κατα-λιπ- codd. λοιπὸν pro περιττὸν E **14** πυρὶ ἕψει Kramer: πυρὶ ἑψεῖται BC, πυρὶ ἑψεῖτο D, περιεψεῖτο F **23** ὁμοι[[.....]]ωμάτων pro ἰδιωμάτων B, ὁμοιωμάτων F[mg] **25** καὶ prius om. F h. l. add. Kassel (post καὶ Korais)

jemand der eines der tödlichen Gifte gefunden habe getötet werde wenn er
nicht auch das Gegengift dazu finde; finde er es aber, dann erlange er Ehre
695 am Königshof. In dem südlichen Teil Indiens gebe es auch Zimt, Narde und
die übrigen Spezereien, ebenso wie in Arabien und Äthiopien, da er eine ge-
wisse Ähnlichkeit mit jenen Ländern habe was den Sonnenschein betrifft; er
4 unterscheide sich aber von ihnen durch den Wasserreichtum, der bewirke
dass die Atmosphäre feucht und dadurch nährender und zeugungsfähiger
ist, und ebenso auch das Land und das Wasser. Weshalb denn auch sowohl
die Land- als die Wassertiere in Indien größer seien als anderswo. Auch der
8 Nil sei zeugungsfähiger als andere Flüsse und bringe Geschöpfe, besonders
Amphibien, von großem Wuchs hervor; und die ägyptischen Frauen bräch-
ten manchmal sogar Vierlinge zur Welt. Aristoteles (fr. 284 Rose) sagt, eine
hätte sogar Siebenlinge geboren; auch er nennt den Nil vielzeugend und
12 nährend wegen der maßvollen Kochung durch die Sonnenstrahlen, die nur
das Nährende zurücklassen und das Überflüssige verdunsten lassen. Aus **23**
demselben Grunde geschieht wahrscheinlich auch Folgendes wovon jener
spricht: dass das Nilwasser mit halb so viel Feuer kocht wie die anderen
Wasser. In demselben Maße aber, sagt er, wie das Wasser des Nils in ge-
16 rader Linie viel schmales Land durchquert und viele Breiten und viele Atmo-
sphären wechselt, die indischen Ströme dagegen in größere und breitere
Ebenen ausufern und lange Zeit in denselben Breiten bleiben, umso nähren-
der seien diese als jener; daher seien auch die Meerestiere größer und zahl-
reicher. Auch das Wasser das sich aus den Wolken ergießt sei bereits ge-
20 kocht (dies würde Aristobulos nicht zugeben, der behauptet, in den Ebenen **24**
falle kein Regen).

Onesikritos hält dieses Wasser für die Ursache der bei den Lebewesen
auftretenden Eigentümlichkeiten und führt als Zeichen dafür an dass auch
24 die Farben des davon trinkenden ausländischen Viehs in die des einheimi-
schen übergehen. Damit hat er recht, nicht aber damit dass er die schwarze

τοῖς ὕδασι τὴν αἰτίαν τιθέναι, μέμφεσθαι δὲ τὸν Θεοδέκτην εἰς αὐτὸν
τὸν ἥλιον ἀναφέροντα τὸ αἴτιον· ὅς φησιν οὕτως (TrGF 72 F 17)·

28 οἷς ἀγχιτέρμων ἥλιος διφρηλατῶν
σκοτεινὸν ἄνθος ἐξέχρωσε λιγνύος
εἰς σώματ' ἀνδρῶν καὶ συνέστρεψεν κόμας
μορφαῖς ἀναυξήτοισι συντήξας πυρί.

32 ἔχοι δ' ἄν τινα λόγον· φησὶ γὰρ μήτε ἐγγυτέρω τοῖς Αἰθίοψιν εἶναι τὸν
ἥλιον ἢ τοῖς ἄλλοις — ἀλλὰ μᾶλλον κατὰ κάθετον εἶναι καὶ διὰ τοῦτ' ἐπι-
καίεσθαι πλέον· ὥστ' οὐκ εὖ λέγεσθαι ἀγχιτέρμονα αὐτοῖς τὸν ἥλιον ἴσον
696C. πάντων διέχοντα — μήτε τὸ θάλπος | εἶναι τοῦ τοιούτου πάθους αἴτιον·
μηδὲ γὰρ τοῖς ἐν γαστρί, ὧν οὐχ ἅπτεται ἥλιος. βέλτιον δὲ οἱ τὸν ἥλιον
αἰτιώμενοι καὶ τὴν ἐξ αὐτοῦ ἐπίκαυσιν κατ' ἐπίλειψιν σφοδρὰν τῆς ἐπι-
4 πολῆς ἰκμάδος (καθ' ὃ καὶ τοὺς Ἰνδοὺς μὴ οὐλοτριχεῖν φαμεν [690, 29 sq.]
μηδ' οὕτως ἀπεφεισμένως ἐπικεκαῦσθαι τὴν χρόαν, ὅτι ὑγροῦ κοινωνοῦσιν
ἀέρος). ἐν δὲ τῇ γαστρὶ ἤδη κατὰ σπερματικὴν διάδοσιν τοιαῦτα γίνεται
οἷα τὰ γεννῶντα· καὶ γὰρ πάθη συγγενικὰ οὕτω λέγεται καὶ ἄλλαι ὁμοιό-
8 τητες. καὶ τὸ πάντων δ' ἴσον ἀπέχειν τὸν ἥλιον πρὸς αἴσθησιν λέγεται,
οὐ πρὸς λόγον, καὶ πρὸς αἴσθησιν οὐχ ὡς ἔτυχεν, ἀλλ' ὥς φαμεν σημείου
λόγον ἔχειν τὴν γῆν πρὸς τὴν τοῦ ἡλίου σφαῖραν· ἐπεὶ πρός γε τὴν τοι-
αύτην αἴσθησιν καθ' ἣν θάλπους ἀντιλαμβανόμεθα — ἐγγύθεν μὲν μᾶλλον,
12 πόρρωθεν δὲ ἧττον —, οὐκ ἴσον, οὕτω δ' ἀγχιτέρμων ὁ ἥλιος λέγεται τοῖς
Αἰθίοψιν, οὐχ ὡς Ὀνησίκριτος δέδεκται.

Καὶ τοῦτο δὲ τῶν ὁμολογουμένων ἐστὶ καὶ τῶν σῳζόντων τὴν πρὸς τὴν **25**
Αἴγυπτον ὁμοιότητα καὶ τὴν Αἰθιοπίαν ὅτι τῶν πεδίων ὅσα μὴ ἐπίκλυστα
16 ἄκαρπά ἐστι διὰ τὴν ἀνυδρίαν. Νέαρχος δὲ (FGrHist 133 F 20) τὸ ζητού-
μενον πρότερον ἐπὶ τοῦ Νείλου, πόθεν ἡ πλήρωσις αὐτοῦ, διδάσκειν ἔφη

34 sq. *Eust. Od. 1385, 60 sq. 696 **2–4** *Eust. D. P. 399, 44–6

27 ὅς DF: ὥς BC q οὗτος q **28** οἷς xz: ἧς BCDF **31** ὀμφαῖς Porson (Tracts 231), φοραῖς Lobeck (Paral. 459), ὁρμαῖς? Meineke (Vind. 244) (ὁρμαῖς) ἀνικήτοισι? v. Herwerden (452) πυρί Kramer: -ός codd. **32** {δ'} Korais **33** τοῦτο q 696 **2** βέλτιον Cobet (Misc. 195): βελτίους codd. **3** ἐξ αὐτοῦ Xylander: αὐτοῦ E (post ἐπίκαυσιν collocans a. c.), ἑαυτοῦ cett. **5** οὕτως ἀπεφεισμένως Meineke (Vind. 231): οὕτως πεπεισμένως CF, οὕτω πεπυσμένως D, οὕτως πεπεισμένους B, οὕτω E; οὕτω πεπλησμένως Korais, οὕτω πεπιεσμένως ('ut adeo firmiter imprimeretur') Madvig (Adv. 1, 561) τὴν χρόαν ἐπικεκαῦσθαι E **6** διάδοσιν F: -θεσιν cett. **7** γίνεται pro λέγεται Kramer; cf. comm. **13** Ὀνησίκριτος δέδεκται BCD: ὀνησικρίτῳ δέδοκται B[mg] C[mg] F

Farbe und Kraushaarigkeit der Äthiopen bloß aus dem Wasser erklärt und Theodektes kritisiert, der sie nur auf die Sonne zurückführt; er spricht folgendermaßen (TrGF 72 F 17):

28 Die Sonne, ihnen nah auf ihrer Wagenfahrt,
Hat Qualmes dunkle Farbe auf der Männer Leib
Gebrannt und ihnen, schmelzend mit des Feuers Glut,
Zu wachstumsloser Form die Haare eingerollt.

32 Seine Kritik könnte zwar eine gewisse Berechtigung haben; er sagt nämlich, zum einen sei die Sonne den Äthiopen nicht näher als den übrigen Menschen – sie stehe vielmehr senkrechter über ihnen und brenne deshalb stärker; es sei daher nicht richtig die von Allen gleich weit entfernte Sonne 'ihnen nah' 696 zu nennen –, zum anderen sei nicht die Sonnenhitze die Ursache dieser Phänomene: sei sie es doch auch nicht für die Frucht im Mutterleib, die von der Sonne nicht berührt werde. Aber richtiger ist die Ansicht derer die die Sonne und ihr Brennen bei starkem Mangel an Oberflächenfeuchtigkeit da-4 für verantwortlich machen (weshalb wir auch sagten [690, 29 f.], die Inder hätten kein Kraushaar und keine so extrem verbrannte Haut weil sie von einer feuchten Atmosphäre umgeben sind). Im Mutterleib aber wird die Frucht bereits durch die Weitergabe über den Samen so wie die Zeugenden; sollen doch auch angeborene Gebrechen und andere Ähnlichkeiten sich so 8 erklären. Und auch die Behauptung, die Sonne sei von Allen gleich weit entfernt, beruht auf Wahrnehmung, nicht auf rationaler Überlegung; wobei 'Wahrnehmung' nicht in irgendeinem beliebigen Sinne zu verstehen ist, sondern in dem Sinne in dem wir sagen, die Erde sei im Verhältnis zu der Sonnenkugel ein Punkt; im Sinne der Wahrnehmung mit der wir Hitze verspü-12 ren – aus der Nähe mehr, aus der Ferne weniger – ist sie nämlich nicht gleich weit entfernt, und in diesem Sinne heißt die Sonne 'den Äthiopen nah', nicht wie Onesikritos es auffasst.

Auch Folgendes gehört zu dem worüber Einigkeit herrscht und was die **25** Ähnlichkeit mit Ägypten und Äthiopien bestätigt: der Umstand dass alle 16 nicht überfluteten Ebenen infolge des Wassermangels keine Frucht tragen. Nearchos sagt (FGrHist 133 F 20), die ehemals beim Nil erörterte Frage, woher sein Anschwellen rühre, werde von den indischen Flüssen beantwor-

τοὺς Ἰνδικοὺς ποταμοὺς ὅτι ἐκ τῶν θερινῶν ὄμβρων συμβαίνει. Ἀλέξανδρον
δ' ἐν μὲν τῷ Ὑδάσπῃ κροκοδείλους ἰδόντα, ἐν δὲ τῷ Ἀκεσίνῃ κυάμους Αἰ-
20 γυπτίους, εὑρηκέναι δόξαι τὰς τοῦ Νείλου πηγὰς καὶ παρασκευάζεσθαι στό-
λον εἰς τὴν Αἴγυπτον ὡς τῷ ποταμῷ τούτῳ μέχρις ἐκεῖσε πλευσόμενον,
μικρὸν δ' ὕστερον γνῶναι διότι οὐ δυνατὸν ὃ ἤλπισε·

μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα,
24 Ὠκεανὸς μὲν πρῶτον (Hom. λ 157 sq.),

εἰς ὃν ἐκδιδόασιν οἱ Ἰνδικοὶ πάντες ποταμοί, ἔπειτα ἡ Ἀριανὴ καὶ ὁ
Περσικὸς κόλπος καὶ ὁ Ἀράβιος καὶ αὐτὴ ἡ Ἀραβία καὶ ἡ Τρωγοδυτική.

Τὰ μὲν οὖν περὶ τῶν ἀνέμων καὶ τῶν ὄμβρων τοιαῦτα λέγεται καὶ τῆς
28 πληρώσεως τῶν ποταμῶν καὶ τῆς ἐπικλύσεως τῶν πεδίων. δεῖ δὲ καὶ τὰ **26**
καθ' ἕκαστα περὶ τῶν ποταμῶν εἰπεῖν, ὅσα πρὸς τὴν γεωγραφίαν χρήσιμα
καὶ ὅσων ἱστορίαν παρειλήφαμεν. ἄλλως τε γὰρ οἱ ποταμοὶ φυσικοί τινες
ὅροι καὶ μεγεθῶν καὶ σχημάτων τῆς χώρας ὄντες ἐπιτηδειότητα πολλὴν
32 παρέχουσι πρὸς ὅλην τὴν νῦν ὑπόθεσιν, ὁ δὲ Νεῖλος καὶ οἱ κατὰ τὴν Ἰν-
697C. δικὴν πλεονέκτημά τι ἔχουσι παρὰ τοὺς ἄλλους | διὰ τὸ τὴν χώραν ⟨ἂν⟩
ἀοίκητον εἶναι χωρὶς αὐτῶν, πλωτὴν ἅμα καὶ γεωργήσιμον οὖσαν καὶ μήτ'
ἐφοδεύεσθαι δυναμένην ἄλλως μήτ' οἰκεῖσθαι τὸ παράπαν.

4 Τοὺς μὲν οὖν εἰς τὸν Ἰνδὸν καταφερομένους ἱστοροῦμεν τοὺς ἀξίους
μνήμης καὶ τὰς χώρας δι' ὧν ἡ φορά, τῶν δ' ἄλλων ἐστὶν ἄγνοια πλείων
ἢ γνῶσις. Ἀλέξανδρος γὰρ — ὁ μάλιστα ταῦτ' ἀνακαλύψας — κατ' ἀρχὰς μέν,
ἡνίκα οἱ Δαρεῖον δολοφονήσαντες ὥρμησαν ἐπὶ τὴν τῆς Βακτριανῆς ἀπό-
8 στασιν, ἔγνω προυργιαίτατον ὂν διώκειν καὶ καταλύειν ἐκείνους. ἧκε μὲν
οὖν τῆς Ἰνδικῆς πλησίον δι' Ἀριανῶν, ἀφεὶς δ' αὐτὴν ἐν δεξιᾷ ὑπερέβη
τὸν Παροπάμισον εἰς τὰ προσάρκτια μέρη καὶ τὴν Βακτριανήν. καταστρε-
ψάμενος δὲ τἀκεῖ πάντα ὅσα ἦν ὑπὸ Πέρσαις καὶ ἔτι πλείω τότ' ἤδη καὶ
12 τῆς Ἰνδικῆς ὠρέχθη λεγόντων μὲν περὶ αὐτῆς πολλῶν, οὐ σαφῶς δέ. ἀν-
έστρεψεν οὖν ὑπερθεὶς τὰ αὐτὰ ὄρη κατ' ἄλλας ὁδοὺς ἐπιτομωτέρας, ἐν
ἀριστερᾷ ἔχων τὴν Ἰνδικήν, εἶτ' ἐπέστρεψεν εὐθὺς ἐπ' αὐτὴν καὶ τοὺς ὅρους

697 10 Eust. D. P. 398, 45 sq.

21 μέχρις C: μέχρι cett. πλευσούμενον xz **22** ὅτι pro διότι E δυνατὸν scripsi: δύναται codd. **23** μέσσῳ Casaubonus: μέσον E, μέσῳ cett. ῥέεθρα E: ῥεῖθρα cett. **24** πρῶτα Korais **26** Τρωγοδυτική F: τρωγλο- cett. **27** ἀέρων pro ἀνέμων F[t] (an recte? cf. comm.) **29** περὶ om. E **32** νῦν om. F 697 **1** addidi **4** οὖν om. BC[i] **10** Παροπάμισον y: παρα- BCDF; παροπαμισὸν z, Hopper **12 sq.** ἀνέστρεψεν scripsi: ἀνέστρεψε δ' codd. **14** αὖθις Korais

tet: es komme von den sommerlichen Regengüssen. Alexander habe, als er
20 im Hydaspes Krokodile und am Akesines Ägyptische Bohnen sah, gemeint,
die Quellen des Nils gefunden zu haben und eine Expedition nach Ägypten
unternehmen wollen, da er dachte, er würde auf diesem Fluss bis dorthin
schiffen können; wenig später aber habe er erkannt dass das was er hoffte
unmöglich war:

Fließen doch große Ströme und furchtbare Fluten dazwischen,
24 Erst der Ozean (Hom. Od. 11, 157 f.),

in den sämtliche indischen Flüsse ausmünden, dann die Ariane und der Persische Golf sowie der Arabische und Arabien selber und das Trogodytische.

28 So ist das was über die Winde und die Regengüsse, über das Anschwellen
der Flüsse und die Überflutung der Ebenen berichtet wird. Wir müssen aber **26**
auch im einzelnen über die Flüsse sprechen, soweit das für die Erdbeschrei-
bung nützlich ist und wir sichere Kunde besitzen. Sind doch ohnehin die
Flüsse, die eine Art natürlicher Grenzen der Größe und der Gestalt eines
32 Landes bilden, von großem Nutzen für unseren ganzen jetzigen Gegen-
stand; der Nil aber und die indischen Flüsse haben den anderen noch etwas
697 voraus weil ohne sie das Land unbewohnt wäre, das durch sie zugleich be-
schiffbar und ackerbar wird und auf andere Art weder zu durchqueren noch
überhaupt zu bewohnen ist.

4 Von den in den Indus hinabströmenden Flüssen, die Erwähnung verdie-
nen, und von den Ländern durch die sie fließen besitzen wir sichere Kunde;
über die übrigen gibt es mehr Unkenntnis als Wissen. Alexander nämlich –
dem wir vor allem die Entdeckung dieser Gegenden verdanken – hat an-
fänglich, als die Meuchelmörder des Dareios sich anschickten Baktriane
8 loszulösen, es für am dringlichsten gehalten, jenen nachzusetzen und ihnen
das Handwerk zu legen. Er kam bei seinem Durchzug durch das Gebiet der
Arianer zwar in die Nähe Indiens, ließ es aber rechts liegen und stieg über
den Paropamisos in die nördlichen Regionen und die Baktriane. Erst als er
das ganze Gebiet dort das den Persern unterstanden hatte und noch mehr
12 dazu unterworfen hatte, wollte er auch nach Indien, da Viele davon erzähl-
ten, Sicheres aber nicht zu berichten wussten. Er kehrte also um, überstieg
dasselbe Gebirge auf anderen, kürzeren Wegen, wobei er Indien zur Linken
hatte, und wandte sich dann geradeswegs in die Richtung dieses Landes und

τοὺς ἑσπερίους αὐτῆς καὶ τὸν Κώφην ποταμὸν καὶ τὸν Χοάσπην, ὃς εἰς τὸν
16 Κώφην ἐμβάλλει κατὰ Πλημύριον πόλιν ῥυεὶς παρὰ Γῶρυν, ἄλλην πόλιν, καὶ
διεξιὼν τήν τε Βανδοβηνὴν καὶ τὴν Γανδαρῖτιν. ἐπυνθάνετο δ' οἰκήσιμον
εἶναι μάλιστα καὶ εὔκαρπον τὴν ὀρεινὴν καὶ προσάρκτιον, τὴν δὲ νότιον
τὴν μὲν ἄνυδρον, τὴν δὲ ποταμόκλυστον καὶ τελέως ἔκπυρον θηρίοις τε
20 μᾶλλον ἢ ἀνθρώποις σύμμετρον· ὥρμησεν οὖν τὴν ἐπαινουμένην κατακτᾶσθαι
πρότερον, ἅμα καὶ τοὺς ποταμοὺς εὐπερατοτέρους νομίσας τῶν πηγῶν πλη-
σίον οὓς ἀναγκαῖον ἦν διαβαίνειν ἐπικαρσίους ὄντας καὶ τέμνοντας ἣν
ἐπίοι γῆν. ἅμα δὲ καὶ ἤκουσεν εἰς ἓν πλείους συνιόντας ῥεῖν καὶ τοῦτ'
24 ἀεὶ καὶ μᾶλλον συμβαίνειν ὅσῳ πλεῖον εἰς τὸ πρόσθεν προΐοιεν, ὥστ' εἶναι
δυσπερατότερα, καὶ ταῦτα ἐν πλοίων ἀπορίᾳ· δεδιὼς οὖν τοῦτο διέβη τὸν
Κώφην καὶ κατεστρέφετο τὴν ὀρεινὴν ὅση ἐτέτραπτο πρὸς ἕω.

Ἦν δὲ μετὰ τὸν Κώφην ὁ Ἰνδός, εἶθ' ὁ Ὑδάσπης, εἶθ' ὁ Ἀκεσίνης καὶ **27**
28 ὁ Ὑάρωτις, ὕστατος δ' ὁ Ὕπανις· περαιτέρω γὰρ προελθεῖν ἐκωλύθη, τοῦ-
το μὲν μαντείοις τισὶ προσέχων, τοῦτο δ' ὑπὸ τῆς στρατιᾶς ἀπηγορευκυίας
ἤδη πρὸς τοὺς πόνους ἀναγκασθείς (μάλιστα δ' ἐκ τῶν ὑδάτων ἔκαμνον συν-
εχῶς ὑόμενοι). ταῦτ' οὖν ἐγένετο γνώριμα ἡμῖν τῶν ἑωθινῶν τῆς Ἰνδικῆς
698C. μερῶν, ὅσα ἐντὸς τοῦ Ὑπάνιος | καὶ εἴ τινα προσιστόρησαν οἱ μετ' ἐκεῖνον
περαιτέρω τοῦ Ὑπάνιος προελθόντες μέχρι τοῦ Γάγγου καὶ Παλιβόθρων.

Μετὰ μὲν οὖν τὸν Κώφην ὁ Ἰνδὸς ῥεῖ. τὰ δὲ μεταξὺ τούτων τῶν δυεῖν
4 ποταμῶν ἔχουσιν Ἀστακηνοί τε καὶ Μασιανοὶ καὶ Νυσαῖοι καὶ Ὑπάσιοι·
εἶθ' ἡ Ἀσσακανοῦ, ὅπου Μασόγα πόλις, τὸ βασίλειον τῆς χώρας, ἤδη δὲ

15 sq. Eust. D. P. 402, 40–2 **27 sq.** Eust. D. P. 402, 42 sq. **28–30** *Eust. D. P. 404, 3–6

16 ποταμὸν post ἐμβάλλει add. codd.: delevi καὶ ante κατὰ add. codd.: del. Korais πλιγύριον BF^mg; Πλητύριον Marquart (Philologus Suppl. 10, 1907, 245 f.) Γῶρυν Müller (1033 ad 594, 28): γώρυδι F, γώρυδι' (sic) cett.; γώρυδα i, Γωρύαν vel Γωρυαίαν Marquart (l.c. 245[1]); Γωρυδάλλην pro γώρυδι(') ἄλλην Madvig (Adv. 1, 561) **17** Βανδοβηνὴν BC: μανδο- F, βαρδη- D; Καμβοδηνὴν? Marquart (l.c. [ad 16] 247) Γανδαρῖτιν D^{ac}: γανδαρίτιν BC, γαρδαρίτιν F, γανδαρῖτην (sic) D^{pc} **20** κτᾶσθαι E **23** ἐπίοι scripsi: ἐποΐει C, ἐπῄει cett. καὶ prius om. F **24** συμβαίνειν scripsi: -βαῖ-νον codd. προΐοιεν Korais: προΐῃ E, προϊδεῖν cett.; προΐοι? Kramer **25** δυσπερα-τότερα Madvig (Adv. 1, 561): -τοτέραν DF, -τωτέραν cett.; -τοτέρους Groskurd **27 sq.** καὶ ὁ Ὑάρωτις om. Eust. **28** ὑαρώτης B, ὑαρώτις (sic) F **29** μαντείαις? Korais στρατιᾶς CD: -τιὰς B^{ac}, -τειὰς B^{pc}, -τείας F 698 4 νυσσαῖοι E ἱππάσιοι q, Ἀσπάσιοι Schmieder (cf. 691, 28) **5** ἀσακανοῦ D Μάσσαγα Casaubonus

seiner westlichen Grenzen, sowie zu dem Fluss Kophes und dem Choaspes,
16 der bei der Stadt Plemyrion in den Kophes mündet, nachdem er an Gorys, einer anderen Stadt, vorüber und durch Bandobene und Gandaritis geflossen ist. Er hörte dass vor allem der gebirgige nördliche Teil bewohnbar und fruchtreich sei, der südliche dagegen teils wasserlos, teils von Flüssen be-
20 spült und ganz glühend heiß, mehr wilden Tieren angemessen als Menschen, und machte sich also auf, erst das empfohlene Land in Besitz zu nehmen; zugleich meinte er auch, die Flüsse die er überschreiten musste, da sie quer zu der Marschrichtung liefen und das Land durchschnitten durch das er ziehen würde, würden in der Nähe ihrer Quellen leichter zu überqueren sein. Außerdem hatte er auch gehört dass mehrere sich zu *einem* Strom ver-
24 einigten und dass das immer mehr geschehe je weiter sie vorankämen, so dass die Überquerung schwieriger würde, und das bei Mangel an Schiffen; dies befürchtend setzte er also über den Kophes und unterwarf das Bergland das sich gegen Osten erstreckte.

Nach dem Kophes kam der Indus, dann der Hydaspes, dann der Akesi- **27**
28 nes und der Hyarotis und zuletzt der Hypanis; noch weiter zu ziehen wurde ihm nämlich unmöglich gemacht, einesteils weil er auf gewisse Prophezeiungen hörte, zum anderen weil das Heer ihn zwang, das allmählich den Strapazen nicht mehr gewachsen war (am meisten hatten sie von dem Wasser zu leiden: es regnete ohne Unterbrechung). Dies also ist uns von den östlichen
698 Gegenden Indiens bekannt geworden: das Gebiet diesseits des Hypanis und was die die nach Alexander über den Hypanis hinaus weiter bis zum Ganges und nach Palibothra gekommen sind, etwa noch erkundet haben.

Nach dem Kophes also fließt der Indus. Das Gebiet zwischen diesen zwei
4 Flüssen bewohnen die Astakener, die Masianer, die Nysäer und die Hypasier; dann kommt das Land des Assakanos, wo die Stadt Masoga, die Resi-

πρὸς τῷ Ἰνδῷ πάλιν ἄλλη πόλις Πευκολαΐτις, πρὸς ᾗ ζεῦγμα γενηθὲν
ἐπεραίωσε τὴν στρατιάν.

8 Μεταξὺ δὲ τοῦ Ἰνδοῦ καὶ τοῦ Ὑδάσπου Τάξιλά ἐστι πόλις μεγάλη καὶ **28**
εὐνομωτάτη καὶ ἡ περικειμένη χώρα συχνὴ καὶ σφόδρα εὐδαίμων, ἤδη συν-
άπτουσα καὶ τοῖς πεδίοις. ἐδέξαντό τε δὴ φιλανθρώπως τὸν Ἀλέξανδρον
οἱ ἄνθρωποι καὶ ὁ βασιλεὺς αὐτῶν Ταξίλης ἔτυχόν τε πλειόνων ἢ αὐτοὶ
12 παρέσχον, ὥστε φθονεῖν τοὺς Μακεδόνας καὶ λέγειν ὡς οὐκ εἶχεν, ὡς
ἔοικεν, Ἀλέξανδρος οὓς εὐεργετήσει πρὶν ἢ διέβη τὸν Ἰνδόν. φασὶ δ'
εἶναί τινες τὴν χώραν ταύτην Αἰγύπτου μείζονα. ὑπὲρ δὲ ταύτης ἐν τοῖς
ὄρεσιν ἡ τοῦ Ἀβισάρου χώρα, παρ' ᾧ δύο δράκοντας ἀπήγγελλον οἱ παρ'
16 αὐτοῦ πρέσβεις τρέφεσθαι, τὸν μὲν ὀγδοήκοντα πηχῶν, τὸν δὲ τετταρά-
κοντα πρὸς τοῖς ἑκατόν, ὡς εἴρηκεν Ὀνησίκριτος (FGrHist 134 F 16),
ὃν οὐκ Ἀλεξάνδρου μᾶλλον ἢ τῶν παραδόξων ἀρχικυβερνήτην προσείποι τις
ἄν· πάντες μὲν γὰρ οἱ περὶ Ἀλέξανδρον τὸ θαυμαστὸν ἀντὶ τἀληθοῦς ἀπε-
20 δέχοντο μᾶλλον, ὑπερβάλλεσθαι δὲ δοκεῖ τοὺς τοσούτους ἐκεῖνος τῇ τερα-
τολογίᾳ· λέγει δ' οὖν τινα καὶ πιθανὰ καὶ μνήμης ἄξια, ὥστε καὶ ἀπισ-
τοῦντα μὴ παρελθεῖν αὐτά (περὶ δ' οὖν τῶν δρακόντων καὶ ἄλλοι λέγουσιν
ὅτι ἐν τοῖς Ἠμωδοῖς ὄρεσι θηρεύουσι καὶ τρέφουσιν ἐν σπηλαίοις).

24 Μεταξὺ δὲ τοῦ Ὑδάσπου καὶ τοῦ Ἀκεσίνου ἥ τε τοῦ Πώρου ἐστί — πολλὴ **29**
καὶ ἀγαθή, σχεδόν τι καὶ τριακοσίων πόλεων — καὶ ἡ πρὸς τοῖς Ἠμωδοῖς
ὄρεσιν ὕλη, ἐξ ἧς Ἀλέξανδρος κατήγαγε τῷ Ὑδάσπῃ κόψας ἐλάτην τε πολ-
λὴν καὶ πεύκην καὶ κέδρον καὶ ἄλλα παντοῖα στελέχη ναυπηγήσιμα, ἐξ
28 ὧν στόλον κατεσκευάσατο ἐπὶ τῷ Ὑδάσπῃ πρὸς ταῖς ἐκτισμέναις ὑπ' αὐτοῦ
πόλεσιν ἐφ' ἑκάτερα τοῦ ποταμοῦ, ὅπου τὸν Πῶρον ἐνίκα διαβάς· ὧν τὴν
μὲν Βουκεφαλίαν ὠνόμασεν ἀπὸ τοῦ πεσόντος ἵππου κατὰ τὴν μάχην τὴν
πρὸς τὸν Πῶρον (ἐκαλεῖτο δὲ Βουκεφάλας ἀπὸ τοῦ πλάτους τοῦ μετώπου·

8–13 Eust. D. P. 403, 6–12 **8** St. B. 602, 8 **26 sq.** *Eust. D. P. 404, 35 sq.

6 Πευκολαΐτις z: -εῖτις BCDEF γενηθὲν EF: γεννη- BCD **8** ἐστι om. E **9** πα-
ρακειμένη E **10** an post πεδίοις quaedam exciderunt? vide comm. ἐδέξαντο δὲ
τότε δὴ D **13** εὐεργετήσειε? Korais (debebat εὐεργετήσοι) **13 sq.** φασὶ δέ τινες
εἶναι D **16** λ' pro ὀγδοήκοντα E τεσσαρά-F **20** ὑπερβαλέσθαι E δ' ἐδόκει
B^pc B^mg F **20 sq.** τῷ τερατολογεῖν E **21** λέγει Casaubonus: -ειν codd. **22** δὲ
pro δ' οὖν E; γοῦν? Korais **23** Ἠμωδοῖς Hopper (*Emodis* iam Tifernate): ἠμωδοῖς
BCD, ἠμώδοις F, ἠμωδῶν E **24** ἀκεσινοῦ CD **25** Ἠμωδοῖς E: ἠμώδοις F,
ἠμωδοῖς cett. **30** μὲν om. B βουκεφάλαν E; Βουκεφάλειαν Cobet ms.

denz des Landes, liegt, und, bereits beim Indus, eine weitere Stadt Peuko-
laïtis, bei der eine Uferverbindung gelegt wurde, die das Heer hinüber-
führte.

8 Zwischen dem Indus und dem Hydaspes liegt Taxila, eine große Stadt **28**
mit trefflichen Gesetzen, und das sie umgebende ausgedehnte und sehr ge-
segnete Land, das bereits auch an die Ebenen stößt. Die Leute und ihr Kö-
nig Taxiles empfingen Alexander freundlich und bekamen von ihm mehr als
12 sie selber geboten hatten, so dass die Makedonen eifersüchtig waren und
sagten, Alexander habe offenbar, bevor er über den Indus setzte, niemanden
gehabt dem er eine Wohltat erweisen konnte. Manche behaupten, dieses
Land sei größer als Ägypten. Oberhalb davon in den Bergen liegt das Land
des Abisares, bei dem, so berichteten die von ihm kommenden Gesandten,
16 zwei Riesenschlangen gehalten würden, die eine achtzig, die andere hun-
dertundvierzig Ellen lang, wie Onesikritos sagt (FGrHist 134 F 16), den
man den Obersteuermann nicht sowohl Alexanders als vielmehr der Wun-
dergeschichten nennen dürfte: haben doch alle Begleiter Alexanders das
20 Wunderbare höher geschätzt als die Wahrheit, er aber scheint sie alle im Er-
zählen von Wunderdingen zu übertreffen; indessen berichtet er auch man-
ches Glaubwürdige und Erwähnenswerte, so dass man es, auch wenn man
ihm misstraut, nicht übergehen kann (und von den Riesenschlangen jeden-
falls berichten auch Andere dass sie im Emodon-Gebirge gefangen und in
Grotten gehalten werden).

24 Zwischen dem Hydaspes und dem Akesines liegt das Land des Poros – **29**
ausgedehnt und fruchtbar, mit nicht weniger als etwa dreihundert Städten
– und der Wald bei dem Emodon-Gebirge, aus dem Alexander eine Menge
Fichten-, Tannen- und Zedernholz und alle möglichen anderen zum Schiffs-
bau geeigneten Stämme fällen und über den Hydaspes herabbringen ließ,
28 aus denen er an den Ufern des Hydaspes bei den von ihm zu beiden Seiten
des Flusses, an der Stelle wo er übergesetzt war und Poros besiegt hatte, ge-
gründeten Städten eine Flotte gebaut hat; von diesen Städten hatte er Buke-
phalia nach seinem in der Schlacht gegen Poros gefallenen Pferd (es hieß
Bukephalas ['Rinderkopf'] wegen der Breite seiner Stirn und war ein guter

699C. πολεμιστὴς δ' ἦν ἀγαθός, καὶ ἀεὶ τούτῳ κέχρητο κατὰ τοὺς ἀγῶνας), | τὴν δὲ Νίκαιαν ἀπὸ τῆς νίκης ἐκάλεσεν.

Ἐν δὲ τῇ λεχθείσῃ ὕλῃ καὶ τὸ τῶν κερκοπιθήκων διηγοῦνται πλῆθος
4 ὑπερβάλλον καὶ τὸ μέγεθος ὁμοίως, ὥστε τοὺς Μακεδόνας ποτὲ ἰδόντας ἔν τισιν ἀκρολοφίαις ψιλαῖς ἑστῶτας ἐν τάξει κατὰ μέτωπον πολλούς — καὶ γὰρ ἀνθρωπονούστατον εἶναι τὸ ζῷον οὐχ ἧττον τῶν ἐλεφάντων — στρατοπέδου λαβεῖν φαντασίαν καὶ ὁρμῆσαι μὲν ἐπ' αὐτοὺς ὡς πολεμίους, μαθόν-
8 τας δὲ παρὰ Ταξίλου (συνόντος τότε τῷ βασιλεῖ) τὴν ἀλήθειαν παύσασθαι. ἡ δὲ θήρα τοῦ ζῴου διττή· μιμητικὸν γὰρ καὶ ἐπὶ τὰ δένδρα ἀναφευκτικόν. οἱ οὖν θηρεύοντες, ἐπὰν ἴδωσιν ἐπὶ δένδρων ἱδρυμένον, ἐν ὄψει θέντες τρύβλιον ὕδωρ ἔχον τοὺς ἑαυτῶν ὀφθαλμοὺς ἐναλείφουσιν ἐξ αὐτοῦ·
12 εἶτ' ἀντὶ τοῦ ὕδατος ἰξοῦ τρύβλιον θέντες ἀπίασι καὶ λοχῶσι πόρρωθεν· ἐπὰν δὲ καταπηδῆσαν τὸ θηρίον ἐγχρίσηται τοῦ ἰξοῦ, καταμύσαντος δ' ἀποληφθῇ τὰ βλέφαρα, ἐπιόντες ζωγροῦσιν. εἷς μὲν οὖν τρόπος οὗτος, ἄλλος δέ· ὑποδυσάμενοι θυλάκους ὡς ἀναξυρίδας ἀπίασιν ἄλλους καταλιπόντες
16 δασεῖς, τὰ ἐντὸς κεχρισμένους ἰξῷ· ἐνδύντας δὲ εἰς αὐτοὺς ῥᾳδίως αἱροῦσι.

Καὶ τὴν Καθαίαν δέ τινες ⟨καὶ⟩ τὴν Σωπείθους (τῶν νομαρχῶν τινός) 30 κατὰ τήνδε τὴν μεσοποταμίαν τιθέασιν· ἄλλοι δὲ καὶ τοῦ Ἀκεσίνου πέραν
20 καὶ τοῦ Ὑαρώτιδος, ὅμορον τῇ Πώρου τοῦ ἑτέρου, ὃς ἦν ἀνεψιὸς τοῦ ὑπ' Ἀλεξάνδρου ἁλόντος· καλοῦσι δὲ Γανδαρίδα τὴν ὑπὸ τούτῳ χώραν. ἐν δὲ τῇ Καθαίᾳ καινότατον ἱστορεῖται τὸ περὶ τοῦ κάλλους, ὅτι τιμᾶται διαφερόντως, ὡς ἵππων καὶ κυνῶν. βασιλέα τε γὰρ τὸν κάλλιστον αἱρεῖσθαί
24 φησιν Ὀνησίκριτος (FGrHist 134 F 21) γενόμενόν τε παιδίον μετὰ δίμηνον κρίνεσθαι δημοσίᾳ, πότερον ἔχοι τὴν ἔννομον μορφὴν καὶ τοῦ ζῆν ἀξίαν ἢ οὔ, κριθέντα δ' ὑπὸ τοῦ ἀποδειχθέντος ἄρχοντος ζῆν ἢ θανατοῦσθαι· βάπτεσθαί τε πολλοῖς εὐανθεστάτοις χρώμασι τοὺς πώγωνας αὐτοῦ τούτου
28 χάριν καλλωπιζομένους (τοῦτο δὲ καὶ ἄλλους ποιεῖν ἐπιμελῶς συχνοὺς τῶν

699 **21–4** *St. B. 346, 13 sq.

32 οὖν pro ἦν F ἐκέχρητο F; ἐχρῆτο Plan. 699 **6** -νώστατον F **9** γὰρ x: δὲ BCDF **10** δένδρου x, δένδρῳ y **11** τρύβλιον D^{s}: τριβλίον D^{i}, τρυβλίον cett. **12** τρύβλιον BDX: τρυβλίον CF **13** καταμῦσαν Kramer **13 sq.** ἀποληφθῇ D^{pc}F: -λειφθῇ BCD^{ac} (ut vid.) **14** οὖν D (sed postea deletum esse vid.): om. cett. **15** ὑποδυσάμενοι F: ἀποδυ- BD, ὑποδη- CE (cf. X) **18** Καθαίαν Tzschucke: καθέαν codd.; Κάθαιαν Korais add. Korais **22** Καθαίᾳ Berkelius (435[26]): καθέα codd. **25** ἔχει qx **27** χρώμασιν εὐανθεστάτοις D **28** ἄλλους D: -ως cett.

Kämpfer; Alexander pflegte es immer in seinen Schlachten zu gebrauchen)
699 und Nikaia nach dem Sieg (*nike*) benannt.

In besagtem Wald gab es auch, so wird erzählt, Langschwanzaffen in so
4 riesiger Menge und ebensolcher Größe dass, als die Makedonen sie einmal in großer Zahl auf irgendwelchen kahlen Hügelkuppen in Reih und Glied Front machend stehen sahen – das Tier soll nämlich nicht weniger als die Elefanten in besonders hohem Grade mit menschlicher Vernunft begabt sein –, den Eindruck einer Armee bekamen und, sie für Feinde haltend, gegen
8 sie losmarschierten; als sie aber von Taxiles (der den König damals begleitete) die Wahrheit erfuhren, stellten sie den Marsch ein. Man fängt das Tier auf zwei Arten. Es ist nämlich nachahmungsfreudig und pflegt sich auf die Bäume zu flüchten. Wenn die Jäger es daher auf den Bäumen sitzen sehen, stellen sie in seiner Sichtweite eine Schale mit Wasser auf den Boden und rei-
12 ben sich mit dem Wasser die Augen ein; dann stellen sie eine statt mit Wasser mit Vogelleim gefüllte Schale hin, ziehen sich zurück und lauern von fern; wenn dann das Tier herabgesprungen ist, sich mit dem Vogelleim eingerieben hat und beim ersten Zwinkern seine Lider sich zusammengeklebt haben, kommen sie herbei und fangen es. Das ist *eine* Art; eine andere besteht darin dass sie sich Säcke wie Hosen über die Beine ziehen und dann
16 weggehen mit Zurücklassung anderer rauhhaariger Säcke, die innen mit Vogelleim bestrichen sind; wenn sie sich die angezogen haben, sind sie ein leichter Fang.

Manche setzen auch Kathaia und das Land des Sopeithes (eines Statthal- 30 ters) in diesem Zwischenstromgebiet an, Andere dagegen jenseits sowohl
20 des Akesines als des Hyarotis neben dem Land des anderen Poros, der ein Vetter des von Alexander besiegten war; man nennt das ihm unterstehende Land Gandaris. Von Kathaia wird als Unerhörtestes die Rolle berichtet, die dort die Schönheit spielt: sie wird dort nämlich, wie bei Pferden und Hun-
24 den, außerordentlich geschätzt. Wählen sie doch nach Onesikritos (FGrHist 134 F 21) nicht nur den Schönsten zum König, sondern ein Neugeborenes wird nach zwei Monaten auch offiziell beurteilt, ob es das vorgeschriebene, zum Leben berechtigende Aussehen besitzt oder nicht, und je nach dem Urteil des dazu eingesetzten Beamten bleibt es am Leben oder wird getötet; auch färbten sie sich die Bärte mit vielen äußerst kräftigen Far-
28 ben, da sie sich aus eben diesem Grunde aufputzen (letzteres täten aber auch

Ἰνδῶν — καὶ γὰρ δὴ φέρειν τὴν χώραν χρόας θαυμαστάς — καὶ θριξὶ καὶ
ἐσθῆσι, τοὺς δ' ἀνθρώπους τὰ ἄλλα μὲν εὐτελεῖς εἶναι, φιλοκόσμους δέ).
ἴδιον δὲ τῶν Καθαίων καὶ τοῦτο ἱστορεῖται, τὸ αἱρεῖσθαι νυμφίον καὶ
32 νύμφην ἀλλήλους καὶ τὸ συγκατακαίεσθαι τεθνεῶσι τοῖς ἀνδράσι τὰς γυ-
ναῖκας κατὰ τοιαύτην αἰτίαν ὅτι ἐρῶσαί ποτε τῶν νέων ἀφισταῖντο τῶν
700C. ἀνδρῶν ἢ φαρμακεύοιεν αὐτούς· | νόμον οὖν θέσθαι τοῦτον ὡς παυσομένης
τῆς φαρμακείας (οὐ πιθανῶς μὲν οὖν ὁ νόμος οὐδ' ἡ αἰτία λέγεται). φασὶ
δ' ἐν τῇ Σωπείθους χώρᾳ ὀρυκτῶν ἁλῶν ὄρος εἶναι ἀρκεῖν δυνάμενον ὅλῃ
4 τῇ Ἰνδικῇ. καὶ χρυσεῖα δὲ καὶ ἀργυρεῖα οὐ πολὺ ἄπωθεν ἐν ἄλλοις ὄρεσιν
ἱστορεῖται καλά, ὡς ἐδήλωσε Γόργος ὁ μεταλλευτής (FGrHist 721 F 13),
οἱ δ' Ἰνδοὶ μεταλλείας καὶ χωνείας ἀπείρως ἔχοντες οὐδ' ὧν εὐποροῦσιν
ἴσασιν, ἀλλ' ἁπλούστερον μεταχειρίζονται τὸ πρᾶγμα.

8 Ἐν δὲ τῇ Σωπείθους καὶ τὰς τῶν κυνῶν ἀρετὰς διηγοῦνται θαυμαστάς. **31**
λαβεῖν γοῦν τὸν Ἀλέξανδρον παρὰ τοῦ Σωπείθους κύνας πεντήκοντα καὶ
ἑκατόν, διαπείρας δὲ χάριν λέοντι προσαφεῖναι δύο, κρατουμένων δ' αὐτῶν
δύο ἄλλους ἐπαφεῖναι· τότε δ' ἤδη καθεστώτων εἰς ἀντίπαλα τὸν μὲν Σω-
12 πείθη κελεῦσαι τῶν κυνῶν ἕνα ἀποσπᾶν τοῦ σκέλους τινὰ λαβόμενον, ἐὰν
δὲ μὴ ὑπακούῃ, ἀποτεμεῖν· τὸν Ἀλέξανδρον δὲ κατ' ἀρχὰς μὲν οὐ συγχω-
ρεῖν ἀποτεμεῖν φειδόμενον τοῦ κυνός, εἰπόντος δ' ὅτι 'τέτταρας ἀντιδώ-
σω σοι' συγχωρῆσαι καὶ τὸν κύνα περιιδεῖν ἀποτμηθέντα τὸ σκέλος βρα-
16 δείᾳ τομῇ πρὶν ἀνεῖναι τὸ δῆγμα.

Ἡ μὲν οὖν μέχρι τοῦ Ὑδάσπου ὁδὸς τὸ πλέον ἦν ἐπὶ μεσημβρίαν, ἡ **32**
δ' ἐνθένδε πρὸς ἕω μᾶλλον μέχρι τοῦ Ὑπάνιος, ἅπασα δὲ τῆς ὑπωρείας
μᾶλλον ἢ τῶν πεδίων ἐχομένη. ὁ δ' οὖν Ἀλέξανδρος ἀπὸ τοῦ Ὑπάνιος ἀνα-
20 στρέψας ἐπὶ τὸν Ὑδάσπην καὶ τὸ ναύσταθμον ἠρτικρότει τὸν στόλον, εἶτ'
ἔπλει τῷ Ὑδάσπῃ. (πάντες δ' οἱ λεχθέντες ποταμοὶ συμβάλλουσιν εἰς ἕνα
τὸν Ἰνδόν, ὕστατος δ' ὁ Ὕπανις· πεντεκαίδεκα δὲ τοὺς σύμπαντας συρρεῖν

700 **21–3** *Eust. D. P. 404, 11–3

31 Καθαίων Tzschucke: καθέων codd.; Καθαιέων Berkelius (435^{27}) **33** ἀφισταῖντο Korais: -αντο codd. 700 **2** μοιχείας pro φαρμακείας Plan. πιθανῶς Xylander: -νὸς codd. **4** χρυσεῖα xyz: χρυσία BCDF ἀργυρεῖα xyz: ἀργύρια BCDF **9 sq.** ρ′ καὶ ν′ F **10** προσαφεῖναι y: -έντας BD^{pc}, -έντος (ut vid.) CD^{ac} F; -έντα qz (qua coniectura recepta {δ'} Korais) **13** ἀποτέμνειν F **18** ἅπασα EF: ἅπας cett. **19** ἢ EF: ἡ cett. **20** τὸ BD: τὸν CEF ἠρτικρότει Kramer: ἠρτικρότι B^{i}, ἠρτικροτι (sic) F, ἠρτικροτη (sic) D, ἠρτικότι C^{i}, συνεκρότει C^{s} E, συνεκρότι B^{s}

viele andere Inder angelegentlich – das Land bringe ja auch wunderbare
Farbstoffe hervor – sowohl mit ihren Haaren als mit ihren Kleidern, und
die Leute lebten im übrigen zwar sehr einfach, liebten aber den Schmuck).
Als Eigentümlichkeit der Kathaier wird auch berichtet dass bei ihnen Braut
32 und Bräutigam sich gegenseitig wählen und dass, wenn die Männer gestor-
ben sind, ihre Frauen zusammen mit ihnen verbrannt werden. Als Grund für
letzteres wird angegeben, ehemals hätten die Frauen, wenn sie sich in die
700 jungen Männer verliebten, ihre Männer verlassen oder sie vergiftet; deshalb
habe man dieses Gesetz eingeführt, um dem Vergiften ein Ende zu setzen
(weder das Gesetz noch der Grund ist freilich glaubwürdig). In dem Land
des Sopeithes soll es einen Berg aus Steinsalz geben, der für ganz Indien
4 ausreichen könnte. Auch gibt es Kunde von reichen Gold- und Silbergruben
nicht weit von dort in anderen Bergen, wie Gorgos, der Bergbaumeister, be-
richtet hat (FGrHist 721 F 13); aber da die Inder den Bergbau und das
Schmelzen von Metallen nicht kennen, wissen sie gar nicht welchen Reich-
tum sie besitzen, sondern gehen recht einfältig mit der Sache um.

8 In dem Land des Sopeithes gibt es nach den Erzählungen auch Hunde **31**
von erstaunlicher Trefflichkeit. Jedenfalls soll Alexander von Sopeithes hun-
dertundfünfzig Hunde bekommen und zum Versuch zwei auf einen Löwen
losgelassen haben; als sie unterlagen, habe er zwei weitere losgelassen, was
12 ein Gleichgewicht im Kampf herbeiführte; da habe Sopeithes jemandem be-
fohlen einen der Hunde am Bein zu fassen und wegzuziehen, und falls er
nicht gehorchte, das Bein abzuschneiden; Alexander habe das Abschneiden
erst nicht erlaubt, weil er den Hund nicht verlieren wollte, aber als Sopeithes
sagte 'ich gebe dir vier an seiner Stelle', habe er es erlaubt, und der Hund
16 habe, statt den Biss zu lockern, sich das Bein mit einem langsamen Schnitt
abtrennen lassen.

Der Marsch bis zum Hydaspes hatte hauptsächlich nach Süden geführt, **32**
der von dort bis zum Hypanis mehr nach Osten; und der ganze Marsch
hatte sich mehr an das Gebirgsvorland als an die Ebenen gehalten. Als Ale-
20 xander indessen vom Hypanis zum Hydaspes und der Schiffsstation zu-
rückgekehrt war, ließ er die Flotte fahrtbereit machen und fuhr dann über
den Hydaspes. (Sämtliche genannten Flüsse fließen in den *einen* Indus, der
Hypanis als letzter; im ganzen soll es fünfzehn Flüsse geben die in ihn zu-

φασι τούς γε ἀξιολόγους· πληρωθεὶς δ' ἐκ πάντων — ὥστε καὶ ἐφ' ἑκατὸν
24 σταδίους, ὡς οἱ μὴ μετριάζοντές φασιν, εὐρύνεσθαι κατά τινας τόπους,
ὡς δ' οἱ μετριώτεροι, πεντήκοντα τὸ πλεῖστον, ἐλάχιστον δὲ ἑπτά· καὶ
πολλὰ ἔθνη καὶ πόλεις εἶναι πέριξ — ἔπειτα δυσὶ στόμασιν εἰς τὴν νοτίαν
ἐκδίδωσι θάλασσαν καὶ τὴν Παταληνὴν προσαγορευομένην ποιεῖ νῆσον).
28 ταύτην δ' ἔσχε τὴν διάνοιαν 'Αλέξανδρος ἀφεὶς τὰ πρὸς ἕω μέρη πρῶτον
μὲν διὰ τὸ κωλυθῆναι διαβῆναι τὸν Ὕπανιν, ἔπειτα καὶ ψευδῆ καταμαθὼν
τῇ πείρᾳ τὸν προκατέχοντα λόγον ὡς ἔκπυρα εἴη καὶ θηρίοις μᾶλλον οἰκή-
σιμα τὰ ἐν τοῖς πεδίοις ἢ ἀνθρωπείῳ γένει· διόπερ ὥρμησεν ἐπὶ ταῦτα
32 ἀφεὶς ἐκεῖνα, ὥστε καὶ ἐγνώσθη ταῦτα ἀντ' ἐκείνων ἐπὶ πλέον.

Ἡ μὲν οὖν μεταξὺ τοῦ Ὑπάνιος καὶ τοῦ Ὑδάσπου λέγεται ἐννέα ἔχειν 33
701 C. ἔθνη, | πόλεις δὲ εἰς πεντακισχιλίας οὐκ ἐλάττους Κῶ τῆς Μεροπίδος
(δοκεῖ δὲ πρὸς ὑπερβολὴν εἰρῆσθαι τὸ πλῆθος)· ἡ δὲ μεταξὺ τοῦ 'Ινδοῦ
καὶ τοῦ Ὑδάσπου εἴρηται σχεδόν τι ὑφ' ὧν οἰκεῖται τῶν ἀξίων μνήμης
4 (698, 8 sqq.). κάτω δ' ἑξῆς εἰσιν οἵ τε Σίβαι λεγόμενοι — περὶ ὧν καὶ πρό-
τερον ἐμνήσθημεν (688, 6) — καὶ Μαλλοὶ καὶ Συδράκαι, μεγάλα ἔθνη (Μαλλοὶ
μὲν παρ' οἷς ἀποθανεῖν ἐκινδύνευσεν 'Αλέξανδρος τρωθεὶς ἐν ἁλώσει πολίχνης
τινός, Συδράκαι δὲ οὓς τοῦ Διονύσου συγγενεῖς ἔφαμεν [687, 35 sq.] μεμυ-
8 θεῦσθαι)· πρὸς αὐτῇ δ' ἤδη τῇ Παταληνῇ τήν τε τοῦ Μουσικανοῦ λέγουσι
καὶ τὴν Σάβου * * τὰ Σινδόμανα καὶ ἔτι τὴν Πορτικανοῦ καὶ ἄλλων. ὧν
ἐκράτησεν ἁπάντων 'Αλέξανδρος τὴν τοῦ 'Ινδοῦ παροικούντων ποταμίαν, ὑσ-
τάτης δὲ τῆς Παταληνῆς, ἣν ὁ 'Ινδὸς ποιεῖ σχισθεὶς εἰς δύο προχοάς·
12 'Αριστόβουλος μὲν οὖν (FGrHist 139 F 48) εἰς χιλίους σταδίους διέχειν
ἀλλήλων φησὶν αὐτάς, Νέαρχος δ' (FGrHist 133 F 21) ὀκτακοσίους προστί-
θησιν. 'Ονησίκριτος δὲ (FGrHist 134 F 26) τὴν πλευρὰν ἑκάστην τῆς ἀπο-

23–5 *Eust. D. P. 404, 26–8 **33–701, 1** *Eust. D. P. 403, 1–3 701 **5 sq.** *Eust. D. P. 371, 45–7 (?)

24 ὡς om. E ὡς ⟨μὲν⟩? **25** ὡς δ' z: ὥσθ' BCF, ὥστε D; οἱ δὲ pro ὡς δ' οἱ y **25 sq.** {καὶ — πέριξ} Meineke (duce Kramer) **26** εἶναι BCD^mg E: εἰσὶ D^t F **27** θά-λατταν Korais **33** ἔχειν ἐννέα D **34** τὰ ante ἔθνη add. E 701 **1** εἰς om. C **5** μάλλοι F Συδράκαι BCF: σιδράκαι D, ὀξυδράκαι E καὶ post ἔθνη add. codd.: del. Korais μάλλοι F **7** Συδράκαι F^t: συδρα[P, ὀξυδράκαι BCDF^mg **8** δε pro δ'ἤδη P μουσικάνου F, μουσικάνοῦ (sic) B **9** Σάβου * * τὰ Σινδόμανα scripsi duce Groskurd: σαλαμβου[ ]ασινδομανα P, σαβουτασινδοναλία CF, σαβουτάσινδοναλία B, σαβοῦ-τασινδοναλία D; Σάβου, τὰ Σινδόμανα Freinshemius (Commentarii in libros superstites Q. Curtii Rufi, Argentorati 1639, ad 9, 8, 13), Jac. Gronovius (Arriani Nicomedensis Expeditionis Alexandri libri septem ..., Lugduni Bat. 1704, 254[68]), Σάβου ⟨, ἧς μητρόπολις⟩ τὰ Σινδόμανα Groskurd, Σάβου ⟨, οὗ⟩ τὰ Σινδόμανα Kramer ἔτι xz:]τι P, ἐπὶ BCDF **10** παντων P **11** σχισθεὶς ποιεῖ F

sammenströmen, und das seien nur die bedeutenden; von allen gespeist –
24 so dass er, wie diejenigen behaupten die kein Maß halten, an manchen Stel-
len bis zu hundert Stadien breit wird, nach den Maßvollen dagegen höch-
stens fünfzig und mindestens sieben; und viele Völker und Städte gebe es
um ihn herum – ergießt er sich dann mit zwei Mündungsarmen ins südliche
28 Meer und bildet die Insel die Patalene genannt wird). Diesen Plan hatte Ale-
xander gefasst als er die östlichen Regionen aufgegeben hatte, erstens weil
es ihm unmöglich gemacht wurde den Hypanis zu überschreiten und außer-
dem auch weil die vorher allgemein geglaubte Nachricht, die Ebenen seien
glühend heiß und mehr bewohnbar für wilde Tiere als für das menschliche
Geschlecht, sich ihm in der Praxis als falsch erwiesen hatte; daher wandte
32 er sich in die Richtung dieser Gegenden und gab jene auf, mit der Folge dass
diese auch mehr bekannt geworden sind als jene.

Das Land zwischen dem Hypanis und dem Hydaspes soll neun Völker 33
701 und an die fünftausend Städte zählen, die nicht kleiner seien als das Mero-
pische Kos (die angegebene Zahl ist wohl übertrieben); und von dem Land
zwischen dem Indus und dem Hydaspes wurde im großen Ganzen bereits
gesagt von welchen erwähnenswerten Völkern es bewohnt wird (698, 8 ff.).
4 Unterhalb wohnen anschließend die sogenannten Siber – von denen wir
schon früher gesprochen haben (688, 6) –, die Maller und die Sydraker,
große Völker (die Maller sind die bei denen Alexander durch seine Verlet-
zung bei der Eroberung einer kleinen Stadt dem Tode nahe kam, die Sydra-
ker die von denen wir sagten [687, 35 f.], die Fabel mache sie zu Verwandten
8 des Dionysos); schon unmittelbar bei Patalene sollen die Länder des Musi-
kanos, des Sabos * * Sindomana und außerdem des Portikanos und Anderer
liegen. Alle diese Völker, die am Stromgebiet des Indus wohnen, hat Ale-
xander besiegt. Zuletzt eroberte er Patalene, das der Indus bildet indem er
12 sich in zwei Ausmündungen teilt; Aristobulos sagt (FGrHist 139 F 48), sie
seien an die tausend Stadien voneinander entfernt, Nearchos (FGrHist
133 F 21) setzt noch achthundert hinzu. Onesikritos sagt (FGrHist

λαμβανομένης νήσου τριγώνου τὸ σχῆμα δισχιλίων, τοῦ δὲ ποταμοῦ τὸ πλά-
16 τος, καθ' ὃ σχίζεται εἰς τὰ στόματα, ὅσον διακοσίων· καλεῖ δὲ τὴν νῆσον
Δέλτα καί φησιν ἴσην εἶναι τῷ κατ' Αἴγυπτον Δέλτα (οὐκ ἀληθὲς τοῦτο
λέγων· τὸ γὰρ κατ' Αἴγυπτον Δέλτα χιλίων καὶ τριακοσίων λέγεται σταδίων
ἔχειν τὴν βάσιν, τὰς δὲ πλευρὰς ἑκατέραν ἐλάττω τῆς βάσεως). ἐν δὲ τῇ
20 Παταληνῇ πόλις ἐστὶν ἀξιόλογος τὰ Πάταλα, ἀφ' ἧς καὶ ἡ νῆσος καλεῖται.

Φησὶ δ' Ὀνησίκριτος (FGrHist 134 F 8) τὴν πλείστην παραλίαν τὴν **34**
ταύτῃ πολὺ τὸ τεναγῶδες ἔχειν, καὶ μάλιστα κατὰ τὰ στόματα τῶν ποτα-
μῶν, διά τε τὴν χοῦν καὶ τὰς πλημμυρίδας καὶ τὸ μὴ πνεῖν ἀπογαίας,
24 ἀλλ' ὑπὸ τῶν πελαγίων ἀνέμων κατέχεσθαι τοὺς τόπους τὸ πλέον. λέγει δὲ
καὶ (FGrHist 134 F 24) περὶ τῆς Μουσικανοῦ χώρας ἐπὶ πλέον ἐγκωμιάζων
αὐτήν. ὧν τινα κοινὰ καὶ ἄλλοις Ἰνδοῖς ἱστόρηται, ὡς τὸ μακρόβιον, ὥστε
καὶ τριάκοντα ἔτη τοῖς ἑκατὸν προσλαμβάνειν (καὶ γὰρ τοὺς Σῆρας ἔτι
28 τούτων μακροβιωτέρους τινές φασι) καὶ τὸ λιτόβιον καὶ τὸ ὑγιεινὸν
καίπερ τῆς χώρας ἀφθονίαν ἁπάντων ἐχούσης· ἴδιον δὲ τὸ συσσίτια
Λακωνικὰ αὐτοῖς εἶναι δημοσίᾳ σιτουμένων, ὄψα δ' ἐκ θήρας ἐχόντων, καὶ
τὸ χρυσῷ μὴ χρῆσθαι μηδ' ἀργύρῳ μετάλλων ὄντων, καὶ τὸ ἀντὶ δούλων
32 τοῖς ἐν ἀκμῇ χρῆσθαι νέοις, ὡς Κρῆτες μὲν τοῖς Ἀφαμιώταις, Λάκωνες δὲ
τοῖς Εἵλωσι· μὴ ἀκριβοῦν δὲ τὰς ἐπιστήμας πλὴν ἰατρικῆς (ἐπί τινων
γὰρ κακουργίαν εἶναι τὴν ἐπὶ πλέον ἄσκησιν, οἷον ἐπὶ τῆς πολεμικῆς
702C. καὶ τῶν ὁμοίων)· | δίκην δὲ μὴ εἶναι πλὴν φόνου καὶ ὕβρεως (οὐκ ἐπ' αὐτῷ
γὰρ τὸ μὴ παθεῖν ταῦτα· τὰ δ' ἐν τοῖς συμβολαίοις ἐπ' αὐτῷ ἑκάστῳ, ὥστ'

19 sq. *Eust. D. P. 398, 14 sq. **23** Eust. Il. 305, 43 sq. Od. 1390, 60. 1504, 38
26 sq. *Eust. D. P. 399, 46 sq.

16 εἴκοσι pro διακοσίων Groskurd, ἑκατόν? Kramer διακοσιων … καλε[P (π̣ο̣υ̣ Aly 1956, 223) **17** τῷ Korais: τοῦ codd. δὲ post ἀληθὲς add. F **20** τὰ om. D^{i} καὶ om. E καλεῖται καὶ ἡ νῆσος F, και κα[ ] νησος P verba ἀξιόλογος et ἀφ' ἧς in P defuisse coniecit Aly (1956, 234) **22** τὸ om. P **22 sq.** τοῦ ποταμοῦ Korais **23** ἀπογαίας BD^{pc}: απογαιας P, ἀπογέας C, ἀπὸ γέας F, ὑπὸ γαίας D^{ac}, ἀπογαίους E (coniecit Casaubonus) **24** τοὺς τόπους P: τούτους B, τούτους τοὺς τόπους cett. **25** μουσικάνου F, βουσικάνου E **26** ante ὧν aliquid (e. g. πολλῶν ἕνεκα) excidisse coniecit Groskurd ⟨τοῖς⟩ ἄλλοις? **27** ἔτη Korais: ἐπὶ codd. καί τοι pro καὶ γὰρ Meineke (Vind. 231) **27 sq.** verba καὶ — φασι om. x, suspecta habuit Kramer coll. 702, 30 sq. **28** τινές E^{i}: -άς cett. φησι E κατὰ pro καὶ priore Villebrune (teste Tzschucke) **29** τινα post συσσίτια add. q **31** τὸ prius F: τῷ cett. (unde τῷ etiam ante ἀργύρῳ add. X) **32** post νέοις quaedam excidisse coniecit Bosworth, vide comm. ad 31–3 **33** ἀκριβοῦν E: -βοῦντες cett. **34** τῆς πολεμικῆς EFP: τοῖς πολε-μικοῖς BCD; τῶν πολεμικῶν Plan. 702 **2** ταῦτα EP: ταύτας cett.

134 F 26), jede Seite der abgetrennten dreieckförmigen Insel messe zweitau-
16 send, und die Breite des Flusses betrage an dem Punkt wo er sich in die
Mündungsarme teilt etwa zweihundert; er nennt die Insel Delta und sagt,
sie sei ebensogroß wie das ägyptische Delta (was nicht stimmt, denn bei
dem ägyptischen Delta soll die Basis eintausendunddreihundert Stadien und
20 jede der beiden Seiten weniger als die Basis messen). In Patalene liegt die
ansehnliche Stadt Patala, von der die Insel auch ihren Namen hat.

Onesikritos sagt (FGrHist 134 F 8), der größte Teil der dortigen Küste **34**
habe viele seichte Stellen, besonders bei den Mündungen der Flüsse; das
komme durch den Schlick und die Fluten und dadurch dass keine Landwin-
24 de wehten, sondern in der Gegend meist Seewinde herrschten. Er spricht
auch (FGrHist 134 F 24) ausführlicher über das Land des Musikanos, das
er hoch preist. Von dem was er an ihm rühmt wird manches auch von ande-
ren Indern berichtet, z. B. die Langlebigkeit, die so groß sei dass sie nicht
weniger als dreißig Jahre über die hundert würden (sollen doch die Serer
28 nach Manchen noch länger leben), und die einfache und gesunde Lebens-
weise, obwohl das Land Überfluss an allem hat; ihm eigen ist jedoch dass
sie spartanische Syssitien haben, wozu die Öffentlichkeit das Getreide und
sie selber Fisch und Fleisch von der Jagd beisteuern, dass sie von Gold und
Silber keinen Gebrauch machen, obwohl es Gruben gibt, und dass sie an-
32 stelle von Sklaven die im besten Alter stehenden jungen Männer gebrauchen,
wie die Kreter die Aphamioten und die Spartaner die Heloten; gründliche
Kenntnis der Wissenschaften, außer der Medizin, lehnten sie ab (bedeute
bei manchen doch die zu weit gehende Betreibung dass man Böses tut, wie
702 bei der Kriegskunst und dergleichen); Prozesse gebe es nicht, außer wegen
Mord und Misshandlung (denn man habe es nicht selber in der Hand dass
einem das nicht geschieht; Konflikte im Geschäftlichen dagegen habe jeder

ἀνέχεσθαι δεῖ ἐάν τις παραβῇ τὴν πίστιν, ἀλλὰ καὶ προσέχειν ὅτῳ πιστευ-
4 τέον, καὶ μὴ δικῶν πληροῦν τὴν πόλιν).

Ταῦτα μὲν οἱ μετ' Ἀλεξάνδρου στρατεύσαντες λέγουσιν. ἐκδέδοται δέ **35**
τις καὶ Κρατεροῦ πρὸς τὴν μητέρα Ἀριστοπάτραν ἐπιστολὴ (FGrHist 153
F 2 = 721 F 11) πολλά τε ἄλλα παράδοξα φράζουσα (καὶ οὐχ ὁμολογοῦσα
8 οὐδενί) καὶ δὴ καὶ τὸ μέχρι τοῦ Γάγγου προελθεῖν τὸν Ἀλέξανδρον·
αὐτός τέ φησιν ἰδεῖν τὸν ποταμὸν καὶ κήτη τὰ ἐπ' αὐτῷ * * * καὶ μεγέ-
θους καὶ πλάτους καὶ βάθους πόρρω πίστεως μᾶλλον ἢ ἐγγύς. ὅτι μὲν γὰρ
μέγιστος τῶν μνημονευομένων κατὰ τὰς τρεῖς ἠπείρους καὶ μετ' αὐτὸν ὁ
12 Ἰνδός, τρίτος δὲ καὶ τέταρτος ὁ Ἴστρος καὶ ὁ Νεῖλος, ἱκανῶς συμφωνεῖ-
ται· τὰ καθ' ἕκαστα δ' ἄλλοι ἄλλως περὶ αὐτοῦ λέγουσιν, οἱ μὲν τριά-
κοντα σταδίων τοὐλάχιστον πλάτος, οἱ δὲ καὶ τριῶν· Μεγασθένης δέ (FGr
Hist 715 F 9b), ὅταν ᾖ μέτριος, καὶ εἰς ἑκατὸν εὐρύνεσθαι, βάθος δὲ
16 εἴκοσι ὀργυιῶν τοὐλάχιστον.

Ἐπὶ δὲ τῇ συμβολῇ τούτου τε καὶ ἄλλου ποταμοῦ τὰ Παλίβοθρα **36**
ἱδρῦσθαι σταδίων ὀγδοήκοντα τὸ μῆκος, πλάτος δὲ πεντεκαίδεκα, ἐν παρ-
αλληλογράμμῳ σχήματι, ξύλινον περίβολον ἔχουσαν κατατετρημένον, ὥστε
20 διὰ τῶν ὀπῶν τοξεύειν· προκεῖσθαι δὲ καὶ τάφρον φυλακῆς τε χάριν καὶ
ὑποδοχῆς τῶν ἐκ τῆς πόλεως ἀπορροιῶν. τὸ δ' ἔθνος, ἐν ᾧ ἡ πόλις αὕτη,
καλεῖσθαι Πρασίους, διαφορώτατον τῶν πάντων. τὸν δὲ βασιλεύοντα ἐπώ-
νυμον δεῖν τῆς πόλεως εἶναι, Παλίβοθρον καλούμενον πρὸς τῷ ἰδίῳ τῷ ἐκ
24 γενετῆς ὀνόματι, καθάπερ καὶ τὸν Σανδρόκοττον, πρὸς ὃν ἧκεν ὁ Μεγασ-

8 *Eust. D. P. 404, 6 sq. 10–2 *Eust. D. P. 404, 7–11

3 δεῖ⟨ν⟩? 6 Κρατέρου? vide comm. 9 λέγει pro κήτη? Kramer ἐν pro ἐπ' Korais lacunam h. l. indicavi; καὶ ⟨λέγει περὶ⟩ μεγέθους Groskurd 9 sq. μέγεθος καὶ πλάτος καὶ βάθος Korais (in commentario) 11 ὁ om. D[i] 13 αὐτοῦ FP (coniecit Korais): -ῶν cett. 14 καὶ om. E, del. Korais; ⟨κ'⟩ καὶ? Jacoby (ad FGrHist 715 F 9 p. 614, 7) ὀγδοήκοντα pro τριῶν ('Γ ~ Π')? Jacoby (ad FGrHist 153 F 2) 16 εἴκοσιν Meineke ὀργυιῶν DE: οὐργ- C, -γυῶν BF 17 τε om. D[ac] ἄλλου scripsi: τοῦ ἄλλου codd.; του ἄλλου vel τοῦ Οἰδάνου (cf. 719, 18) Korais, τοῦ Ἐραννοβόα (cf. Arrian. Ind. 10, 5) F. Schmieder (Arriani Historia Indica …, Halis Magdeburgicis 1798, 61), τοῦ ⟨Ἐραννοβόα⟩, ἄλλου Groskurd, τοῦ Ἰσάμου (cf. 516, 23) F. Altheim (Weltgesch. Asiens im griech. Zeitalter 1, Halle 1947, 326) 19 ἔχουσαν P (coniecit Xylander): -σα cett. 21 αὕτη om. E 23 δεῖν F: δεῖ cett. 24 καὶ in P scriptum fuisse propter spatia probabilissime coniecit Aly (1956, 223): om. cett. Σανδρόκοττον Xylander:]αν[ ]ον P, σαδρό- cett.

selber in der Hand: man müsse sich daher nicht nur damit abfinden wenn je-
mand nicht Wort hält, sondern auch darauf achten wem man Vertrauen
4 schenken dürfe, und die Stadt nicht mit Prozessen füllen).

Das ist was die Teilnehmer an Alexanders Feldzug berichten. In Umlauf **35**
ist auch ein Brief des Krateros an seine Mutter Aristopatra (FGrHist
153 F 2 = 721 F 11), der auch sonst viel Wunderbares meldet das mit kei-
8 nem Bericht Anderer übereinstimmt und insbesondere dass Alexander bis
zum Ganges gekommen sei: er habe, sagt er, selber den Fluss gesehen und
die riesigen Wassertiere an seinem Ufer * * * Größe, Breite und Tiefe, eher
weit von jeder Glaubwürdigkeit entfernt als ihr nah. Denn dass er der
größte der aus den drei Kontinenten bekannten Flüsse ist und dass nach ihm
12 der Indus und an dritter und vierter Stelle der Istros und der Nil kommen,
darüber herrscht ziemliche Einigkeit; die Einzelheiten über ihn dagegen ge-
ben Alle verschieden an: nach Manchen beträgt seine kleinste Breite dreißig
Stadien, nach Anderen gar nur drei; und Megasthenes sagt (FGrHist
715 F 9b), bei mittlerem Wasserstand werde er nicht weniger als hundert
16 breit und mindestens zwanzig Klafter tief.

An dem Zusammenfluss dieses und eines anderen Flusses liege Palibo- **36**
thra, achtzig Stadien lang und fünfzehn breit, in der Form eines Rechtecks;
die Stadt habe eine hölzerne Umfassung, die durchbohrt sei, so dass man
20 durch die Öffnungen Pfeile schießen könne; davor liege ein Graben, nicht
nur zum Schutz sondern auch zum Auffangen der Abflüsse aus der Stadt.
Das Volk, in dessen Gebiet diese Stadt liegt, werde Prasier genannt und sei
ganz verschieden von allen anderen. Der König müsse den Namen der Stadt
24 tragen und werde zu dem eigenen Namen, den er von Geburt an trägt, Pali-
bothros genannt, wie auch Sandrokottos, zu dem Megasthenes auf seiner

θένης πεμφθείς (τοιοῦτο δὲ καὶ τὸ παρὰ τοῖς Παρθυαίοις· Ἀρσάκαι γὰρ καλοῦνται πάντες, ἰδίᾳ δ' ὁ μὲν Ὀρώδης, ὁ δὲ Φραάτης, ὁ δ' ἄλλο τι).

Ἀρίστη δ' ὁμολογεῖται πᾶσα ἡ τοῦ Ὑπάνιος πέραν, οὐκ ἀκριβοῦται δέ, 37
28 ἀλλὰ διὰ τὴν ἄγνοιαν καὶ τὸν ἐκτοπισμὸν λέγεται πάντ' ἐπὶ τὸ μεῖζον ἢ τὸ τερατωδέστερον, οἷα τὰ τῶν χρυσωρύχων μυρμήκων καὶ ἄλλων θηρίων τε καὶ ἀνθρώπων ἰδιομόρφων καὶ δυνάμεσί τισιν ἐξηλλαγμένων (ὡς τοὺς Σῆρας μακροβίους φασί, πέρα καὶ διακοσίων ἐτῶν παρατείνοντας). λέγουσι
32 δὲ καὶ ἀριστοκρατικήν τινα σύνταξιν πολιτείας αὐτόθι ἐκ πεντακισχιλίων
703C. βουλευτῶν συνεστῶσαν, ὧν ἕκαστον παρέχεσθαι τῷ κοινῷ ἐλέφαντα. | καὶ τίγρεις δ' ἐν τοῖς Πρασίοις φησὶν ὁ Μεγασθένης (FGrHist 715 F 21 a) μεγίστους γίνεσθαι, σχεδὸν δέ τι καὶ διπλασίους λεόντων, δυνατοὺς δὲ ὥστε
4 τῶν ἡμέρων τινὰ ἀγόμενον ὑπὸ τεττάρων τῷ ὀπισθίῳ σκέλει δραξάμενον ἡμιόνου βιάσασθαι καὶ ἑλκύσαι πρὸς ἑαυτόν, κερκοπιθήκους δὲ μείζους τῶν μεγίστων κυνῶν, λευκοὺς πλὴν τοῦ προσώπου — τοῦτο δ' εἶναι μέλαν, παρ' ἄλλοις δ' ἀνάπαλιν· τὰς δὲ κέρκους μείζους δυεῖν πήχεων —, ἡμερω-
8 τάτους δὲ καὶ οὐ κακοήθεις περὶ ἐπιθέσεις καὶ κλοπάς. λίθους δ' ὀρύττεσθαι λιβανόχρους γλυκυτέρους σύκων ἢ μέλιτος. ἀλλαχοῦ δὲ διπήχεις ὄφεις ὑμενοπτέρους, ὥσπερ αἱ νυκτερίδες· καὶ τούτους δὲ νύκτωρ πέτεσθαι σταλαγμοὺς ἀφιέντας οὔρων — τοὺς δὲ ἱδρώτων — διασήποντας τὸν χρῶτα
12 τοῦ μὴ φυλαξαμένου· καὶ σκορπίους ⟨δ'⟩ εἶναι πτηνοὺς ὑπερβάλλοντας μεγέθεσι. φύεσθαι δὲ καὶ ἔβενον. εἶναι δὲ καὶ κύνας ἀλκίμους οὐ πρότερον μεθιέντας τὸ δηχθὲν πρὶν εἰς τοὺς ῥώθωνας ὕδωρ καταχυθῆναι· ἐνίους δ' ὑπὸ προθυμίας ἐν τῷ δήγματι διαστρέφεσθαι τοὺς ὀφθαλμούς,
16 τοῖς δὲ καὶ ἐκπίπτειν· κατασχεθῆναι δὲ καὶ λέοντα ὑπὸ κυνὸς καὶ ταῦρον, τὸν δὲ ταῦρον καὶ ἀποθανεῖν κρατούμενον τοῦ ῥύγχους πρότερον ἢ ἀφεθῆναι.

25 sq. *Eust. D. P. 394, 4–6 **27–30** *Eust. D. P. 403, 47–404, 3 **28 sq.** Anon.-Scor. 298r 25 sq. **30 sq.** *Eust. D. P. 348, 21–3

26 π[ ]τερον pro πάντες P; πρότερον πάντες Aly (1956, 206) δὲ ὁ μὲν q Φραάτης EF: φρα̣ατης P, φράατης BCD **27** ἀκριβοῦται P (etiam w; unde 'Scripti, ἀκριβοῦται' Casaubonus [cf. Diller 1975, 169]): -οῦνται cett. **31** περαν P **32** πολιτείας — ἐκ om. P **33** βουλευτῶν E: βουλευμάτων cett. 703 **4** τινὰ τῶν ἡμέρων D τεττάρων ⟨ἀνδρῶν⟩ Jacoby (cf. iam v. Herwerden 452, qui tamen plura h. l. corrupta esse coniecit) **5** αὐτόν E **7 sq.** ἡμερωτέρους D **9** λιβανοχρόους FX **10** ὑμενοπτερώτους X **11** διακόπτοντας E **12** addidi **13** καὶ post. om. E **15** ἐνίοις Casaubonus

Mission kam (so ist auch der Brauch bei den parthischen Königen: sie heißen nämlich alle Arsakes, individuell aber bald Orodes, bald Phraates, bald anders).

Das ganze Land jenseits des Hypanis wird allgemein als vorzüglich be- 37
28 zeichnet, aber genaue Berichte darüber gibt es nicht, sondern durch die Unkenntnis und die Entlegenheit wird alles ins Übertriebene oder Wunderbare gesteigert, wie z. B. die Geschichten von den goldgrabenden Ameisen und anderen Tieren und Menschen mit eigentümlicher Gestalt und irgendwelchen außerordentlichen Fähigkeiten (wie z. B. die Serer langlebig sein sollen:
32 sie würden sogar über zweihundert Jahre). Es soll dort auch eine Art aristokratisches Regime geben, gebildet aus fünftausend Ratsmitgliedern, deren
703 jedes dem Gemeinwesen einen Elefanten stellt. Auch Tiger, sagt Megasthenes (FGrHist 715 F 21 a), gebe es mächtig große bei den Prasiern, nahezu
4 doppelt so groß wie Löwen und so stark dass ein zahmer, der von vier Mann geführt wurde, mit der Hinterpfote ein Maultier packte und mit Gewalt zu sich heranzog, und ferner Schwanzaffen, größer als die größten Hunde und weiß, außer im Gesicht: das sei schwarz, bei anderen umgekehrt; ihre
8 Schwänze seien länger als zwei Ellen; sie seien ganz zahm und ohne bösartige Neigung zu Aggression und Diebstahl. Und es würden dort weihrauchfarbene Steine gefördert die süßer seien als Feigen oder Honig. Anderenorts gebe es zwei Ellen lange Schlangen mit Hautflügeln, wie Fledermäuse; auch sie flögen nachts und schieden dabei Tropfen von Urin – andere von
12 Schweiß – aus, die die Haut derer, die sich nicht dagegen schützten, durchfräßen; auch geflügelte Skorpione gebe es von riesiger Größe. Auch wachse dort Ebenholz. Es gebe auch tapfere Hunde, die das Gebissene erst losließen wenn ihnen Wasser in die Nasenlöcher gegossen würde; manche ver-
16 drehten beim Beißen vor Eifer die Augen, anderen fielen sie sogar heraus; es seien auch ein Löwe und ein Stier von einem Hund festgehalten worden, und der Stier sei sogar, an der Schnauze gepackt, gestorben bevor der Hund ihn losließ.

'Εν δὲ τῇ ὀρεινῇ Σίλαν ποταμὸν εἶναι, ᾧ μηδὲν ἐπιπλεῖ. Δημόκριτον 38
20 μὲν οὖν (68 A 12 D.-K.) ἀπιστεῖν ἅτε πολλὴν τῆς 'Ασίας πεπλανημένον. καὶ
'Αριστοτέλης δ' (fr. neglectum) ἀπιστεῖ καίπερ καὶ ἀέρων ὄντων λεπτῶν οἷς
οὐδὲν ἐποχεῖται πτηνόν. ἔτι δὲ τῶν ἀναφερομένων ἀτμῶν ἐπισπαστικοί
τινές εἰσι πρὸς ἑαυτοὺς καὶ οἷον ῥοφητικοὶ τοῦ ὑπερπετοῦς, ὡς τὸ ἤλεκ-
24 τρον τοῦ ἀχύρου καὶ ἡ σιδηρῖτις τοῦ σιδήρου· τάχα δὲ καὶ καθ' ὕδατος
τοιαῦταί τινες εἶεν ἂν δυνάμεις. ταῦτα μὲν οὖν φυσιολογίας ἔχεταί τινος
καὶ τῆς περὶ τῶν ὀχουμένων πραγματείας, ὥστ' ἐν ἐκείνοις ἐπισκεπτέον·
νυνὶ δ' ἔτι καὶ ταῦτα προσληπτέον καὶ ὅσα ἄλλα τῆς γεωγραφίας ἐγγυτέρω.
28 Φησὶ δὴ (FGrHist 715 F 19b) τὸ τῶν 'Ινδῶν πλῆθος εἰς ἑπτὰ μέρη 39
διῃρῆσθαι. καὶ πρώτους μὲν τοὺς φιλοσόφους εἶναι κατὰ τιμήν, ἐλαχίσ-
τους δὲ κατ' ἀριθμόν. χρῆσθαι δ' αὐτοῖς ἰδίᾳ μὲν ἑκάστῳ τοὺς θύοντας ἢ
τοὺς ἐναγίζοντας, κοινῇ δὲ τοὺς βασιλέας κατὰ τὴν μεγάλην λεγομένην
32 σύνοδον, καθ' ἣν τοῦ νέου ἔτους ἅπαντες οἱ φιλόσοφοι τῷ βασιλεῖ συνελ-
θόντες ἐπὶ θύρας ὅ τι ἂν αὐτῶν ἕκαστος συντάξῃ τῶν χρησίμων ἢ τηρήσῃ
πρὸς εὐετηρίαν καρπῶν τε καὶ ζῴων καὶ περὶ πολιτείας προφέρει τοῦτ'
εἰς τὸ μέσον. ὃς δ' ἂν τρὶς ἐψευσμένος ἁλῷ νόμος ἐστὶ σιγᾶν διὰ βίου·
704C. τὸν δὲ κατορθώσαντα ἄφορον καὶ ἀτελῆ κρίνουσι.
Δεύτερον δὲ μέρος εἶναι τὸ τῶν γεωργῶν, οἳ πλεῖστοί τέ εἰσι καὶ 40
ἐπιεικέστατοι ἀστρατείᾳ καὶ ἀδείᾳ τοῦ ἐργάζεσθαι, πόλει μὴ προσιόντες
4 μηδ' ἄλλῃ χρείᾳ μηδ' ὀχλήσει κοινῇ· πολλάκις γοῦν ἐν τῷ αὐτῷ χρόνῳ
καὶ τόπῳ τοῖς μὲν παρατετάχθαι συμβαίνει καὶ διακινδυνεύειν πρὸς τοὺς
πολεμίους, οἱ δ' ἀροῦσιν ἢ σκάπτουσιν ἀκινδύνως προμάχους ἔχοντες ἐκεί-
νους. ἔστι δ' ἡ χώρα βασιλικὴ πᾶσα, μισθοῦ δ' αὐτὴν ἐπὶ τετάρταις ἐργά-
8 ζονται τῶν καρπῶν.

22 sq. Anon. Scor. 298[r] 26 sq.

19 Σίλαν legit X (ιθ'): σιλίαν cett. εἶναι ποταμόν E[ac] **20** οὖν ⟨οὐκ⟩ Korais (olim [in Géogr. de Str.] οὖν ⟨μὴ⟩) κατὰ pro ἅτε Diels, καίπερ vel καίτοι vel ἅτε ⟨μὴ⟩ Korais olim πεπλανημένον ⟨,οὐδαμοῦ δὲ τοιοῦτόν τι εὑρηκότα⟩ Groskurd {καὶ} Korais **21** καὶ BCD[s]E: om. D[i]F **22** πτηνῶν X **26** ἐκείναις? **27** ἔτι ⟨καθόλου περὶ 'Ινδῶν λοιπά τινά ἐστι, ὥστε⟩ e.g. Groskurd **28** φασὶ E δὲ pro δὴ D[ac]E **32** πρόοδον B[γρ]F; πρόσοδον Aly (1, 147*) **33** ἕκαστος αὐτῶν Eq **34** ζῴων καὶ περὶ Casaubonus: περὶ ζῴων D, περὶ ζῴων καὶ cett. προφέρει Korais: προσ- codd. 704 **3** ἐπιεικεῖς X ἀστρατείᾳ Korais: οἳ ἀστρατείᾳ C[pc]C[mg], οἷα στρατείᾳ cett. μήτε πόλει προσιόντες E; ⟨καὶ⟩ πόλει μὴ προσιόντες? Groskurd **4** {γ}οὖν? **6** καὶ pro ἢ w

In dem Bergland gebe es einen Fluss Silas, auf dem nichts schwimmt; De- 38
20 mokrit freilich (68 A 12 D.-K.), als einer der einen großen Teil Asiens be-
reist habe, glaube das nicht. Auch Aristoteles (*unverzeichnetes Fragment*)
glaubt es nicht, obwohl es doch auch Luft gibt die so leicht ist dass sie nichts
Geflügeltes trägt. Ferner besitzen manche aufsteigenden Dünste Anzie-
hungskraft und schlürfen gleichsam das darüber Fliegende auf, wie der
24 Bernstein die Spreu und der Eisenstein das Eisen: vielleicht gibt es auch un-
ter Wasser solche Kräfte. Das sind freilich Fragen die mit Physik und der
Lehre von den schwimmenden Körpern zu tun haben, so dass sie bei jenen
zu erörtern sind: hier sind sie mit hinzuzunehmen, ebenso wie noch weite-
res, das der Erdbeschreibung verhältnismäßig nahe steht.
28 Er sagt denn (FGrHist 715 F 19b), das Volk der Inder sei in sieben Klas- 39
sen eingeteilt. An erster Stelle kämen die Philosophen, was Ansehen betrifft:
an Zahl bildeten sie die kleinste Klasse. Ihre Dienste würden privat und in-
dividuell von denen in Anspruch genommen die Göttern oder Toten Opfer
bringen, und öffentlich von den Königen bei der sogenannten Großen Zu-
32 sammenkunft, bei der im neuen Jahr sämtliche Philosophen mit dem König
in seinem Palast zusammenkommen und jeder von ihnen vorbringt was er
an Nützlichem erdacht oder an Förderlichem für das Gedeihen von Frucht
und Vieh und in Sachen des Gemeinwesens beobachtet hat. Wem nachge-
wiesen wird dass er sich dreimal geirrt hat, der muss nach dem Gesetz sein
704 Leben lang schweigen; wer dagegen Erfolg hatte, dem wird Steuer- und Ab-
gabenfreiheit zuerkannt.
Die zweite Klasse sei die der Bauern, die am zahlreichsten und, durch ih- 40
re Befreiung vom Militärdienst und die Unbesorgtheit mit der sie arbeiten
4 können, am gutmütigsten sind. Sie kommen nicht in die Stadt und werden
von dem Gemeinwesen mit keiner weiteren Pflicht belästigt: jedenfalls
kommt es oft vor dass zu derselben Zeit und am selben Ort Andere im Felde
stehen und ihr Leben gegen die Feinde einsetzen, sie dagegen, mit jenen als
Verteidigern, ohne Gefahr pflügen und graben. Das ganze Land gehört dem
8 König, und sie bearbeiten es für eine Pacht von einem Viertel des Ertrages.

Τρίτον δὲ τὸ τῶν ποιμένων καὶ θηρευτῶν, οἷς μόνοις ἔξεστι θηρεύειν **41**
καὶ θρεμματοτροφεῖν, ὤνια δὲ παρέχειν καὶ μισθοῦ ζεύγη. ἀντὶ δὲ τοῦ τὴν
γῆν ἐλευθεροῦν θηρίων καὶ τῶν σπερμολόγων ὀρνέων μετροῦνται παρὰ τοῦ
12 βασιλέως σῖτον, πλάνητα καὶ σκηνίτην νεμόμενοι βίον. ἵππον δὲ καὶ ἐλέ-
φαντα τρέφειν οὐκ ἔξεστιν ἰδιώτῃ, βασιλικὸν δ᾽ ἑκάτερον νενόμισται τὸ
κτῆμα καί εἰσιν αὐτῶν ἐπιμεληταί.

Θήρα δὲ τῶν θηρίων τούτων τοιάδε. χωρίον ψιλὸν ὅσον τεττάρων ἢ **42**
16 πέντε σταδίων τάφρῳ περιχαράξαντες βαθείᾳ γεφυροῦσι τὴν εἴσοδον στε-
νοτάτῃ γεφύρᾳ. εἶτ᾽ εἰσαφιᾶσι θηλείας τὰς ἡμερωτάτας τρεῖς ἢ τέτταρας,
αὐτοὶ δ᾽ ἐν καλυβίοις κρυπτοῖς ὑποκάθηνται λοχῶντες. ἡμέρας μὲν οὖν οὐ
προσίασιν οἱ ἄγριοι, νύκτωρ δ᾽ ἐφ᾽ ἕνα ποιοῦνται τὴν εἴσοδον. εἰσιόντων
20 δὲ κλείουσι τὴν εἴσοδον λάθρᾳ, εἶτα τῶν ἡμέρων ἀθλητῶν τοὺς ἀλκιμω-
τάτους εἰσάγοντες διαμάχονται πρὸς αὐτοὺς ἅμα καὶ λιμῷ καταπονοῦντες.
ἤδη δὲ καμνόντων οἱ εὐθαρσέστατοι τῶν ἡνιόχων λάθρᾳ καταβαίνοντες ὑπο-
δύνουσιν ἕκαστος τῇ γαστρὶ τοῦ οἰκείου ὀχήματος, ὁρμώμενος δ᾽ ἐνθένδε
24 ὑποδύνει τῷ ἀγρίῳ καὶ σύμποδα δεσμεῖ. γενομένου δὲ τούτου κελεύουσι
τοῖς τιθασοῖς τύπτειν τοὺς συμποδισθέντας, ἕως ἂν πέσωσιν εἰς τὴν γῆν.
πεσόντων δ᾽ ὠμοβοΐνοις ἱμᾶσι προσλαμβάνονται τοὺς αὐχένας αὐτῶν πρὸς
τοὺς τῶν τιθασῶν· ἵνα δὲ μὴ σειόμενοι τοὺς ἀναβαίνειν ἐπ᾽ αὐτοὺς ἐπι-
28 χειροῦντας ἀποσείοιντο, τοῖς τραχήλοις αὐτῶν ἐμβάλλονται κύκλῳ τομὰς
καὶ κατ᾽ αὐτὰς τοὺς ἱμάντας περιτιθέασιν, ὥσθ᾽ ὑπ᾽ ἀλγηδόνων εἴκειν τοῖς
δεσμοῖς καὶ ἡσυχάζειν. τῶν δ᾽ ἁλόντων ἀπολέξαντες τοὺς πρεσβυτέρους ἢ
νεωτέρους τῆς χρείας τοὺς λοιποὺς ἀπάγουσιν εἰς τοὺς σταθμούς, δήσαν-
32 τες δὲ τοὺς μὲν πόδας πρὸς ἀλλήλους, τοὺς δὲ αὐχένας πρὸς κίονα εὖ
705C. πεπηγότα δαμάζουσι λιμῷ, | ἔπειτα χλόῃ καλάμου καὶ πόας ἀναλαμβάνουσι.
μετὰ δὲ ταῦτα πειθαρχεῖν διδάσκουσι, τοὺς μὲν διὰ λόγου, τοὺς δὲ με-
λισμῷ τινι καὶ τυμπανισμῷ κηλοῦντες. σπάνιοι δ᾽ οἱ δυστιθάσευτοι· φύσει
4 γὰρ διάκεινται πράως καὶ ἡμέρως, ὥστ᾽ ἐγγὺς εἶναι λογικῷ ζῴῳ· οἵ γε καὶ
ἐξαίμους τοὺς ἡνιόχους ἐν τοῖς ἀγῶσι πεσόντας ἀνελόμενοι σῴζουσιν ἐκ

10 Anon. Scor. 298[r] marg.

9 δὲ E: om. cett. μόνον E 10 τε pro δὲ priore Xylander 16 sq. στενοτάτῃ B: στενω- cett.; cf. 64, 9 comm. 17 εἰσαφιᾶσι D: -ίουσι cett. 24 συμποδοδεσμεῖ Casaubonus 25 τοῖς τιθασοῖς Meineke: τοὺς τιθασοὺς D[i], τοὺς τιθασσοὺς D[s], τοῖς τιθασσοῖς cett. 27 τιθασῶν Meineke: τιθασσ- codd. 30 καὶ pro ἢ F[pc] 705 3 καταυλοῦντες DF[mg] δυστιθάσευτοι D: δυστιθάσσ- cett. 4 οἵ γε scripsi: οἱ δὲ codd.; τινὲς γὰρ yz

Die dritte ist die der Hirten und Jäger. Sie sind die einzigen die jagen und **41**
Vieh halten sowie Gespanne verkaufen und vermieten dürfen. Dafür dass sie
das Land von wilden Tieren und samensammelnden Vögeln befreien wird
12 ihnen vom König Getreide zugemessen, da sie ein Wanderleben in Zelten
führen. Pferde und Elefanten zu halten ist Privatleuten nicht erlaubt: beide
werden als königlicher Besitz betrachtet, und es gibt besondere Pfleger für
sie.

Das Fangen dieser Tiere geschieht folgendermaßen. Sie umziehen ein un- **42**
16 bewaldetes Gelände von etwa vier oder fünf Stadien mit einem tiefen Gra-
ben und überbrücken den Eingang mit einer ganz schmalen Brücke. Dann
lassen sie drei oder vier von den zahmsten Weibchen hinein und legen sich
selber in versteckten Hütten auf die Lauer. Bei Tage kommen die wilden
nicht heran, aber nachts ziehen sie einer nach dem anderen hinein. Sind sie
20 hineingegangen, schließen sie heimlich den Eingang, führen dann die tap-
fersten der zahmen Kampfelefanten herein und bekämpfen sie ununterbro-
chen, wobei sie sie gleichzeitig auch durch Aushungerung erschöpfen. Wenn
sie schließlich ermatten, steigen die mutigsten der Lenker herab und krie-
chen heimlich unter den Bauch des eigenen Reittieres: von dort aus kriecht
24 jeder unter den wilden und bindet ihm die Beine zusammen. Wenn das ge-
schehen ist, befehlen sie den zahmen, die so gefesselten zu stoßen bis sie zu
Boden stürzen. Sind sie gestürzt, dann binden sie mit ungegerbten Riemen
ihre Hälse an die der zahmen; um zu verhüten dass sie durch Schütteln die
28 die versuchen sie zu besteigen abschütteln, bringen sie rings um ihre Hälse
Schnitte an und legen die Riemen an diesen entlang, so dass sie vor Schmerz
den Lenkbanden folgen und Ruhe halten. Nachdem sie von den überwältig-
ten die ausgeschieden haben die für den Gebrauch zu alt oder zu jung sind,
32 führen sie die übrigen fort in die Ställe, binden ihnen die Beine aneinander
und die Hälse an einen sehr stabilen Pfosten und bändigen sie durch Aus-
705 hungerung; dann stellen sie ihre Kräfte mit frischem Schilf und Gras wieder
her. Danach bringen sie ihnen bei, zu gehorchen; bei manchen genügen
Worte, andere berücken sie durch bestimmte Melodien und Getrommel.
4 Nur wenige lassen sich nicht zähmen; denn von Natur sind sie sanft und
gutmütig, so dass sie einem vernunftbegabten Wesen nahe stehen: heben sie
doch ihre Lenker, wenn sie im Kampf bewusstlos gestürzt sind, empor und

τῆς μάχης, τοὺς δὲ ὑποδύντας μεταξὺ τῶν προσθίων ποδῶν ὑπερμαχόμενοι διέσωσαν· τῶν δὲ χορτοφόρων καὶ διδασκάλων εἴ τινα παρὰ θυμὸν ἀπέ-
8 κτειναν, οὕτως ἐπιποθοῦσιν ὥσθ᾽ ὑπ᾽ ἀνίας ἀπέχεσθαι τροφῆς, ἔστι δ᾽ ὅτε καὶ ἀποκαρτερεῖν.

Βιβάζονται δὲ καὶ τίκτουσιν ὡς ἵπποι, τοῦ ἔαρος μάλιστα· καιρὸς 43 δ᾽ ἐστὶ τῷ μὲν ἄρρενι ἐπειδὰν οἴστρῳ κατέχηται καὶ ἀγριαίνῃ (τότε δὲ
12 καὶ λίπους τι διὰ τῆς ἀναπνοῆς ἀνίησιν, ἣν ἔχει παρὰ τοὺς κροτάφους), ταῖς δὲ θηλείαις ὅταν ὁ αὐτὸς οὗτος πόρος ἀνεῳγὼς τυγχάνῃ. κύουσι δὲ τοὺς μὲν πλείστους ὀκτωκαίδεκα μῆνας, ἐλαχίστους δ᾽ ἑκκαίδεκα, τρέφει δ᾽ ἡ μήτηρ ἓξ ἔτη. ζῶσι δ᾽ ὅσον μακροβιώτατοι ἄνθρωποι οἱ πολλοί, τινὲς
16 δὲ καὶ ἐπὶ διακόσια διατείνουσιν ἔτη. πολύνοσοι δὲ καὶ δυσίατοι· ἄκος δὲ πρὸς ὀφθαλμίαν μὲν βόειον γάλα προσκλυζόμενον, τοῖς πλείστοις δὲ τῶν νοσημάτων ὁ μέλας οἶνος πινόμενος, τραύμασι δὲ ποτὸν μὲν ⟨* *, χρῖσμα δὲ⟩ βούτυρον (ἐξάγει γὰρ τὰ σιδήρια)· τὰ δ᾽ ἕλκη σαρξὶν ὑείαις
20 πυριῶσιν. Ὀνησίκριτος δὲ (FGrHist 134 F 14) καὶ ἕως τριακοσίων ἐτῶν ζῆν φησι, σπάνιον δὲ καὶ ἕως πεντακοσίων· κρατίστους δ᾽ εἶναι περὶ τὰ διακόσια ἔτη· κυΐσκεσθαι δὲ δεκαετίαν. μείζους δὲ τῶν Λιβυκῶν καὶ ἐρ-ρωμενεστέρους ἐκεῖνός τε εἴρηκε καὶ ἄλλοι· ταῖς γοῦν προβοσκίσιν ἐπάλ-
24 ξεις καθαιρεῖν καὶ δένδρα ἀνασπᾶν πρόρριζα διανισταμένους εἰς τοὺς ὀπισθίους πόδας. Νέαρχος δὲ (FGrHist 133 F 22) καὶ ποδάγρας ἐν ταῖς θήραις τίθεσθαι κατά τινας συνδρόμους φησί, συνελαύνεσθαι δ᾽ ὑπὸ τῶν τιθασῶν τοὺς ἀγρίους εἰς ταύτας κρειττόνων ὄντων καὶ ἡνιοχουμένων.
28 οὕτω δ᾽ εὐτιθασεύτους εἶναι ὥστε καὶ λιθάζειν ἐπὶ σκοπὸν μανθάνειν καὶ ὅπλοις χρῆσθαι· νεῖν δὲ κάλλιστα. μέγιστον δὲ νομίζεσθαι κτῆμα ἐλεφάν-των ἅρμα (ἄγεσθαι δ᾽ ὑπὸ ζυγὸν * * καὶ καμήλους), γυναῖκα δ᾽ εὐδοκιμεῖν εἰ λάβοι παρὰ ἐραστοῦ δῶρον ἐλέφαντα (οὗτος ὁ λόγος οὐχ ὁμολογεῖ τῷ
32 φήσαντι [704, 12–4] μόνων βασιλέων εἶναι κτῆμα ἵππον καὶ ἐλέφαντα).

6 καὶ post δὲ add. BDF **10** {καὶ τίκτουσιν}? Jacoby **11** δὴ pro δὲ qz **12** ἴσχει F **13** οὗτος om. D^{i} **18 sq.** lacunam agnovit et partim suppl. Madvig (Adv. 1, 561); ⟨γάλα, e. g. v. Herwerden (452) **19** ὑείαις ⟨καλύψαντες, τοὺς κάμνοντας⟩ e. g. v. Herwerden (452) **21** φησιν ἐλέφαντα, σπάνιον D **23** γοῦν X (coniecit Meineke): οὖν cett. **27** τιθασῶν F: τιθασσ- cett. **28** οὕτω E: -ως cett. εὐτιθασεύτους F: -θασεῦτους (sic) B, -θασσεύτους cett. εἶναι om. E **29** δὲ bis scripsi: τε codd. **30** lacuna esse videtur; ⟨ὡς⟩ Tzschucke; sed etiam ὥσπερ vel καθάπερ possis, nec etiam plura excidisse excludi potest; ἄγ. δ᾽ ὑπὸ ζ. ἀχαλίνους Korais, ἄγ. γὰρ ὑπὸ ζ. ὡς καμήλους? Jacoby **31 sq.** {οὗτος — ἐλέφαντα}? Meineke (3, V ad 983, 15); om. z **31** οὗτος ⟨δ᾽⟩ Meineke **32** μόνον DF^{ac}

bringen sie aus der Schlacht in Sicherheit; auch haben sie die die zwischen
8 ihren Vorderbeinen Schutz gesucht hatten, verteidigt und gerettet; und wenn sie einen ihrer Fütterer und Lehrer aus Wut getötet haben, trauern sie ihnen so sehr nach dass sie vor Kummer nicht fressen und manchmal sogar den Hungertod sterben.

Sie lassen sich decken und zeugen wie die Pferde, meist im Frühling. Der 43 Zeitpunkt ist bei dem Männchen wenn es von der Brunst ergriffen und wild
12 ist (dann fließt ihm auch etwas Fett aus dem Atemloch, das es neben den Schläfen hat), bei den Weibchen wenn dieser selbe Gang geöffnet ist. Sie tragen höchstens achtzehn und mindestens sechzehn Monate, und die Mutter nährt sechs Jahre lang. Die meisten leben so lange wie die langlebigsten
16 Menschen, manche erreichen sogar die zweihundert Jahre. Sie haben viele Krankheiten und sind schwer zu heilen; Mittel gegen Augenleiden ist das Spülen mit Kuhmilch, gegen die meisten Krankheiten das Trinken von dunklem Wein, bei Wunden als Trank * *, als Salbe Butter (sie treibt näm-
20 lich die Eisenspitzen heraus); und Geschwüre bähen sie mit Schweinefleisch. Onesikritos sagt (FGrHist 134 F 14), sie lebten sogar bis zu dreihundert Jahren, selten auch bis fünfhundert, und um die zweihundert Jahre seien sie am kräftigsten; sie trügen zehn Jahre lang. Dass sie größer und stärker sind als die libyschen, sagen außer ihm auch Andere: jedenfalls könnten sie,
24 wenn sie sich auf ihren Hinterbeinen aufrichten, mit ihren Rüsseln Zinnen einreißen und Bäume entwurzeln. Nearchos sagt (FGrHist 133 F 22), es würden bei der Jagd an bestimmten Stellen, wo Wege zusammentreffen, auch Fallen gelegt, und die wilden würden von den zahmen, die stärker sei-
28 en und gelenkt würden, dorthin zusammengetrieben. Sie seien so gut zu zähmen dass sie sogar lernen könnten, Steine auf ein Ziel zu schleudern und Waffen zu gebrauchen; auch könnten sie vortrefflich schwimmen. Als größter Besitz gelte ein Elefantenwagen (sie würden ⟨ebenso wie⟩ Kamele auch unter das Joch gebracht), und einer Frau verleihe es großes Ansehen wenn sie von einem Liebhaber einen Elefanten geschenkt bekomme (diese Ge-
32 schichte stimmt nicht zu der nach der es hieß [704, 12-4], Pferde und Elefanten seien ausschließlicher Besitz der Könige).

Τῶν δὲ μυρμήκων τῶν χρυσωρύχων δέρματα ἰδεῖν φησιν οὗτος (FGrHist 133 F 8 b) παρδαλέαις ὅμοια. Μεγασθένης δὲ (FGrHist 715 F 23 b) περὶ τῶν μυρμήκων οὕτω φησὶν | ὅτι ἐν Δέρδαις, ἔθνει μεγάλῳ τῶν προσεῴων καὶ ὀρεινῶν Ἰνδῶν, ὀροπέδιον εἴη τρισχιλίων πως τὸν κύκλον σταδίων, ὑποκειμένων δὲ τούτῳ χρυσωρυχείων οἱ μεταλλεύοντες εἶεν μύρμηκες, θηρία ἀλωπέκων οὐκ ἐλάττω τάχος ὑπερφυὲς ἔχοντα καὶ ζῶντα ἀπὸ θήρας. ὀρύττει δὲ χειμῶνι τὴν γῆν σωρεύει τε πρὸς τοῖς στομίοις, καθάπερ οἱ ἀσφάλακες· ψῆγμα δ' ἐστὶ χρυσοῦ μικρᾶς ἑψήσεως δεόμενον. τοῦθ' ὑποζυγίοις μετίασιν οἱ πλησιόχωροι λάθρᾳ· φανερῶς γὰρ διαμάχονται καὶ διώκουσι φεύγοντας, καταλαβόντες δὲ διαχρῶνται καὶ αὐτοὺς καὶ τὰ ὑποζύγια. πρὸς δὲ τὸ λαθεῖν κρέα θήρεια προτιθέασι κατὰ μέρη, περισπασθέντων δ' ἀναιροῦνται τὸ ψῆγμα καὶ τοῦ τυχόντος τοῖς ἐμπόροις ἀργὸν διατίθενται χωνεύειν οὐκ εἰδότες.

Ἐπεὶ δ' ἐν τῷ περὶ τῶν θηρευτῶν λόγῳ καὶ περὶ τῶν θηρίων ἐμνήσθημεν ὧν τε Μεγασθένης εἶπε καὶ ἄλλοι, προσθετέον καὶ ταῦτα. ὁ μὲν γὰρ Νέαρχος (FGrHist 133 F 10 b) τὸ τῶν ἑρπετῶν θαυμάζει πλῆθος καὶ τὴν κακίαν· ἀναφεύγειν γὰρ ἐκ τῶν πεδίων εἰς τὰς κατοικίας τὰς †διαλανθανούσας† ἐν ταῖς ἐπικλύσεσι καὶ πληροῦν τοὺς οἴκους· διὰ δὴ τοῦτο καὶ ὑψηλὰς ποιεῖσθαι τὰς κλίνας, ἔστι δ' ὅτε καὶ ἐξοικίζεσθαι πλεονασάντων· εἰ δὲ μὴ τὸ πολὺ τοῦ πλήθους ὑπὸ τῶν ὑδάτων διεφθείρετο, κἂν ἐρημωθῆναι τὴν χώραν. καὶ τὴν μικρότητα δ' αὐτῶν εἶναι χαλεπὴν καὶ τὴν ὑπερβολὴν τοῦ μεγέθους, τὴν μὲν διὰ τὸ δυσφύλακτον, τὴν δὲ δι' ἰσχύν, ὅπου καὶ ἑκκαιδεκαπήχεις ἐχίδνας ὁρᾶσθαι· ἐπῳδοὺς δὲ περιφοιτᾶν ἰᾶσθαι πεπιστευμένους καὶ εἶναι σχεδόν τι μόνην ταύτην ἰατρικήν· μηδὲ γὰρ νόσους εἶναι πολλὰς διὰ τὴν λιτότητα τῆς διαίτης καὶ τὴν ἀοινίαν· εἰ δὲ γένοιντο, ἰᾶσθαι τοὺς σοφιστάς. Ἀριστόβουλος δὲ (FGrHist 139 F 38 sq.) τῶν θρυλουμένων μεγεθῶν οὐδὲν ἰδεῖν φησιν, ἔχιδναν δὲ μόνον ἐννέα πηχῶν καὶ σπιθαμῆς (καὶ ἡμεῖς δ' ἐν Αἰγύπτῳ κομισθεῖσαν ἐκεῖθεν τηλι-

706 **22 sq.** Anon. Scor. 298[r] 27 sq.

706 **3** τούτῳ ⟨τῶν⟩? Jacoby χρυσωρυχείων xyz: -χίων BCDF **4** θηρία … ἔχοντα καὶ ζῶντα Kramer: θηρίων … ἔχοντες καὶ ζῶντες codd. (unde ἐλάττους yz) **5** ὀρύττουσι … σωρεύουσι E **6** ἀσπάλακες X **7** φανεροῖς v. Herwerden (452) **9** προτιθέασι BC: προσ- DF **15 sq.** cruces apposui (vide comm.); μὴ λανθανούσας vel ἐπιπολαζούσας? v. Herwerden (452), διολισθανούσας? Holwerda **23** ἀοινίαν y[i] z, ed. pr.: ἀνοινίαν BCDF q, Anon. Scor. **24** γίνοιντο? Meineke (3, V ad 984, 19) **25** θρυλουμένων D: θρυλλ- cett.

Von den goldgrabenden Ameisen, sagt er (FGrHist 133 F 8 b), habe er die Felle gesehen, die Pantherfellen ähnlich seien. Megasthenes (FGrHist 715 F 23 b) berichtet über die Ameisen Folgendes. Bei den Derdern, einem großen Volk der östlichen, in den Bergen lebenden Inder, gebe es eine Hochebene mit einem Umkreis von etwa dreitausend Stadien; unter ihr befänden sich Goldgruben und die Kumpel seien Ameisen, Tiere, nicht kleiner als Füchse, die eine außerordentliche Geschwindigkeit besitzen und von der Jagd leben. Sie graben die Erde im Winter aus und häufen sie an den Eingängen auf, wie die Maulwürfe; sie besteht aus Goldsand, der nur wenig Läuterung braucht. Den holen sich die Nachbarn mit Lasttieren. Sie machen das heimlich, denn wenn sie es offenkundig tun, bekämpfen die Ameisen sie, verfolgen sie auf ihrer Flucht und töten sie selber sowohl als ihre Lasttiere, wenn sie sie eingeholt haben. Um unbemerkt zu bleiben, legen sie an verschiedenen Stellen Fleisch von wilden Tieren hin, und wenn sie dadurch abgelenkt sind, laden sie den Goldsand auf und verkaufen ihn unbearbeitet für ein Geringes an die Großhändler, da sie das Schmelzen nicht kennen.

Da wir in dem Abschnitt über die Jäger auch die wilden Tiere erwähnt haben, von denen Megasthenes und Andere sprechen, ist auch Folgendes hinzuzufügen. Nearchos nämlich (FGrHist 133 F 10 b) staunt über die große Menge und die Bösartigkeit der Schlangen: flöhen sie doch aus den Ebenen hinauf in die Siedlungen, die bei den Überflutungen ⟨trocken bleiben⟩, und füllten die Häuser; deshalb machten sie auch die Betten hoch, und manchmal, wenn sie überhand nähmen, verließen sie sogar ihre Häuser; und würde nicht die Hauptmenge von den Wassern vernichtet, dann würde das Land überhaupt veröden. Die kleinen seien ebenso gefährlich wie die übergroßen, jene weil es schwer ist, sich vor ihnen zu hüten, diese wegen ihrer Kraft (könne man doch sogar Nattern mit einer Länge von sechzehn Ellen sehen); es zögen Beschwörer umher, denen man die Heilung zutraut, und das sei auch so ziemlich die einzige Form der Medizin: denn es gebe durch die Schlichtheit der Lebensweise und das Fehlen des Weins gar nicht viele Krankheiten; und wenn welche aufträten, würden sie geheilt von den Weisheitslehrern. Aristobulos sagt (FGrHist 139 F 38 f.), er habe von den vielbesprochenen Riesenexemplaren keines gesehen, sondern nur eine Natter von neun Ellen und einer Spanne (auch wir haben in Ägypten eine von dort ge-

καύτην πως εἴδομεν). ἔχεις δὲ πολλούς φησι πολὺ ἐλάττους καὶ ἀσπίδας,
28 σκορπίους δὲ μεγάλους. οὐδὲν δὲ τούτων οὕτως ὀχλεῖν ὡς τὰ λεπτὰ ὀφίδια
οὐ μείζω σπιθαμιαίων· εὑρίσκεσθαι γὰρ ἐν σκηναῖς, ἐν σκεύεσιν, ἐν θρύοις
ἐγκεκρυμμένα, τοὺς δὲ πληγέντας αἱμορροεῖν ἐκ παντὸς πόρου μετὰ ἐπω-
δυνίας, ἔπειτ' ἀποθνήσκειν, εἰ μὴ βοηθήσει τις εὐθύς (τὴν δὲ βοήθειαν
707C. ῥᾳδίαν εἶναι διὰ τὴν ἀρετὴν τῶν Ἰνδικῶν ῥιζῶν καὶ φαρμάκων). | κροκο-
δείλους τε οὔτε πολλοὺς οὔτε βλαπτικοὺς ἀνθρώπων ἐν τῷ Ἰνδῷ φησιν
εὑρίσκεσθαι· καὶ τὰ ἄλλα δὲ ζῷα τὰ πλεῖστα τὰ αὐτὰ ἅπερ ἐν τῷ Νείλῳ
4 γεννᾶσθαι πλὴν ἵππου ποταμίου (Ὀνησίκριτος δὲ [FGrHist 134 F 7] καὶ
τοῦτόν φησι γεννᾶσθαι). τῶν δ' ἐκ θαλάττης φησὶν ὁ Ἀριστόβουλος εἰς μὲν
τὸν Νεῖλον ἀνατρέχειν μηδὲν ἔξω θρίσσης καὶ κεστρέως καὶ δελφῖνος διὰ
τοὺς κροκοδείλους, ἐν δὲ τῷ Ἰνδῷ ⟨εὑρίσκεσθαι⟩ πλῆθος· τῶν δὲ καρίδων
8 τὰς μὲν μικρὰς μέχρι †ὄρους† ἀναθεῖν, τὰς δὲ μεγάλας μέχρι τῶν συμβο-
λῶν τοῦ τε Ἰνδοῦ καὶ τοῦ Ἀκεσίνου. περὶ μὲν οὖν τῶν θηρίων τοσαῦτα
λέγεται· ἐπανιόντες δ' ἐπὶ τὸν Μεγασθένη λέγωμεν τὰ ἑξῆς ὧν ἀπελίπομεν.

Μετὰ γὰρ τοὺς θηρευτὰς καὶ τοὺς ποιμένας τέταρτόν φησιν (FGrHist **46**
12 715 F 19) εἶναι μέρος τοὺς ἐργαζομένους τὰς τέχνας καὶ τοὺς καπηλικοὺς
καὶ οἷς ἀπὸ τοῦ σώματος ἡ ἐργασία. ὧν οἱ μὲν φόρον τελοῦσι καὶ λει-
τουργίας παρέχονται τακτάς, τοῖς δ' ὁπλοποιοῖς καὶ ναυπηγοῖς μισθοὶ καὶ
τροφαὶ παρὰ βασιλέως ἔκκεινται· μόνῳ γὰρ ἐργάζονται· παρέχει δὲ τὰ
16 μὲν ὅπλα τοῖς στρατιώταις ὁ στρατοφύλαξ, τὰς δὲ ναῦς μισθοῦ τοῖς πλέ-
ουσιν ὁ ναύαρχος καὶ τοῖς ἐμπόροις.

Πέμπτον ⟨δ'⟩ ἐστὶ τὸ τῶν πολεμιστῶν. οἷς τὸν ἄλλον χρόνον ἐν σχολῇ **47**
καὶ πότοις ὁ βίος ἐστὶν ἐκ τοῦ βασιλικοῦ * * * διαιτωμένοις, ὥστε τὰς

27 εἴδομεν $\mathrm{D^{pc}}$: ἴδομεν BCF, ἴδωμεν $\mathrm{D^{ac}}$ (ut vid.) **28** οὕτως om. E μικρὰ pro λεπ-τὰ D ὀφίδια scripsi: ὀφεί- codd. **29** σπιθαμιαίων $\mathrm{D^{s}}$E: σπηθαμιαίων C, σπιθα-μαίων cett. ταῖς ante σκηναῖς add. F θριγγοῖς pro θρύοις z, θρίγκοις ed. pr., θριγκοῖς Korais, θριγγίοις xy **31** βοηθήσει D: βοηθήσ( ) E, βοηθήση BC, βοηθείση F
707 **2** δὲ pro τε? **7** addidi γὰρ pro δὲ post.? Jacoby **8** μέχρις C 'loci nomen latere credo' Tyrwhitt (39); Οὔρων? Korais coll. Plin. N. H. 6, 77 (ubi Hermolaus Barbarus *ab his Uri* scripserat: *ab(h)isuri* codd., *Abisari* Detlefsen), Ὀροστρῶν? Jacoby coll. Plin. N. H. 6, 76; ὀρῶν Groskurd (*usque ad montes* iam Tifernate) **10** ἀπελεί-BF **14** ναυπηγοῖς $\mathrm{D^{s}}$: -πηγίας cett. **15** βασιλέως qz: -ων BCDEF **15–7** παρέ-χει — ἐμπόροις: 'zusatz aus F 31 § 52 ⟨i. e. 708, 21 sqq.⟩?' Jacoby **17** {καὶ τοῖς ἐμπό-ροις}? Jacoby **18** add. Meineke **19** lacunam indicavi, e. g. ⟨τρεφομένοις καὶ πλησίον τοῦ βασιλείου⟩ excidisse suspicans (vide comm.)

brachte gesehen die etwa diese Größe hatte). Doch habe er eine Menge viel
28 kleinerer Vipern und Brillenschlangen und große Skorpione gesehen. Keines
dieser Tiere sei aber so hinderlich wie die kleinen Schlangen, die nicht grö-
ßer seien als eine Spanne: sie fänden sich nämlich in Zelten, in Gefäßen und
in Binsen versteckt, und den Gebissenen breche das Blut aus jeder Öffnung
unter Schmerzen hervor, und dann trete der Tod ein, wenn nicht sofort Hil-
fe käme (die Hilfe aber sei leicht dank der Trefflichkeit der indischen Wur-
707 zeln und Heilmittel). Ferner, sagt er, kämen im Indus Krokodile vor – we-
der in großer Zahl noch den Menschen schadend –, und auch die meisten
4 übrigen Tiere die in ihm lebten seien dieselben die auch im Nil vorkommen,
abgesehen von dem Flusspferd (Onesikritos sagt [FGrHist 134 F 7], auch
dieses komme vor). Von den aus dem Meer kommenden Tieren schwimmt
nach Aristobulos wegen der Krokodile keines den Nil hinauf außer der
Thrissa, der Meeräsche und dem Delphin; im Indus dagegen ⟨finde sich⟩
8 eine Menge; und von den Garnelen gingen die kleinen bis * * hinauf, die
großen bis zum Zusammenfluss des Indus mit dem Akesines. Soviel wird
über die wilden Tiere berichtet; nun wollen wir zu Megasthenes zurückkeh-
ren und fortsetzen was wir abgebrochen haben.

12 Nach den Jägern denn und den Hirten, sagt er (FGrHist 715 F 19), werde **46**
die vierte Klasse von denen gebildet die ein Handwerk ausüben, Kleinhan-
del treiben und mit ihrem Körper arbeiten. Die meisten von ihnen zahlen
Abgaben und leisten festgesetzte Dienste; für die Waffenhersteller aber und
Schiffsbauer ist Lohn und Unterhalt von seiten des Königs vorgesehen, da
16 sie nur für ihn arbeiten; die Waffen händigt den Soldaten der Zeugmeister
aus, die Schiffe vermietet der Flottenkommandant an Reisende und Groß-
händler.

Die fünfte Klasse ist die der Krieger. Sie verbringen die übrige Zeit in **47**
Muße und Trinkgelagen, wobei sie aus der Schatzkammer des Königs ⟨un-

20 ἐξόδους, ὅταν ᾖ χρεία, ταχέως ποιεῖσθαι, πλὴν τῶν σωμάτων μηδὲν ἄλλο
κομίζοντας παρ' ἑαυτῶν.
"Εκτοι δ' εἰσὶν οἱ ἔφοροι. τούτοις δ' ἐποπτεύειν δέδοται τὰ πραττόμε- 48
να καὶ ἀναγγέλλειν λάθρᾳ τῷ βασιλεῖ συνεργοὺς ποιουμένοις τὰς ἑταίρας
24 (τοῖς μὲν ἐν τῇ πόλει τὰς ἐν τῇ πόλει, τοῖς δὲ ἐν ⟨τῷ⟩ στρατοπέδῳ
τὰς αὐτόθι)· καθίστανται δ' οἱ ἄριστοι καὶ πιστότατοι. ἕβδομοι δ' οἱ σύμ- 49
βουλοι καὶ σύνεδροι τοῦ βασιλέως· ἐξ ὧν τὰ ἀρχεῖα καὶ δικαστήρια καὶ
ἡ διοίκησις τῶν ὅλων.
28 Οὐκ ἔστι δ' οὔτε γαμεῖν ἐξ ἄλλου γένους οὔτ' ἐπιτήδευμα οὔτ' ἐργα-
σίαν μεταλαμβάνειν ἄλλην ἐξ ἄλλης οὐδὲ πλείους μεταχειρίζεσθαι τὸν
αὐτόν, πλὴν εἰ τῶν φιλοσόφων τις εἴη· ἐᾶσθαι γὰρ τοῦτον δι' ἀρετήν.
Τῶν δ' ἀρχόντων οἱ μέν εἰσιν ἀγρονόμοι, οἱ δ' ἀστυνόμοι, οἱ δ' ἐπὶ 50
32 τῶν στρατιωτ⟨ικ⟩ῶν. ὧν οἱ μὲν ποταμοὺς ἐξεργάζονται καὶ ἀναμετροῦσι
τὴν γῆν, ὡς ἐν Αἰγύπτῳ, καὶ τὰς κλειστὰς διώρυγας, ἀφ' ὧν εἰς τὰς ὀχε-
τείας ταμιεύεται τὸ ὕδωρ, ἐπισκοποῦσιν, ὅπως ἐξ ἴσης πᾶσιν ἡ τῶν
708C. ὑδάτων παρείη χρῆσις. | οἱ δ' αὐτοὶ καὶ τῶν θηρευτῶν ἐπιμελοῦνται καὶ
τιμῆς καὶ κολάσεώς εἰσι κύριοι τοῖς ἐπαξίοις. καὶ φορολογοῦσι δὲ καὶ
τὰς τέχνας τὰς περὶ τὴν γῆν ἐπιβλέπουσιν, ὑλοτόμων, τεκτόνων, χαλ-
4 κέων, μεταλλευτῶν. ὁδοποιοῦσι δὲ καὶ κατὰ δέκα σταδίους στήλην τιθέασι
τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν.
Οἱ δ' ἀστυνόμοι εἰς ἓξ πεντάδας διῄρηνται. καὶ οἱ μὲν τὰ δημιουρ- 51
γικὰ σκοποῦσιν. οἱ δὲ ξενοδοχοῦσι· καὶ γὰρ καταγωγὰς νέμουσι καὶ τοῖς
8 βίοις παρακολουθοῦσι παρέδρους δόντες καὶ προπέμπουσιν ἢ αὐτοὺς ἢ τὰ
χρήματα τῶν ἀποθανόντων, νοσούντων τε ἐπιμελοῦνται καὶ ἀποθανόντας
θάπτουσι. τρίτοι δ' εἰσὶν οἳ τὰς γενέσεις καὶ θανάτους ἐξετάζουσι πότε
καὶ πῶς τῶν τε φόρων χάριν καὶ ὅπως μὴ ἀφανεῖς εἶεν αἱ κρείττους καὶ
12 χείρους γοναὶ καὶ θάνατοι. τέταρτοι ⟨δ'⟩ οἱ περὶ τὰς καπηλείας καὶ
μεταβολάς· οἷς μέτρων μέλει καὶ τῶν ὡραίων, ὅπως ἀπὸ συσσήμου πω-

20 ᾖ yz: εἴη BCDEF **22** τούτοις EF: -ους cett. **23** ποιουμένοις x^{pc}yz: -ους BCDF **24** addidi **25** ἕβδομον F **30** πλὴν εἰ φιλοσοφῶν? Korais coll. Arrian. Ind. 12, 9 (vide comm.) **31** ἀγρονόμοι G. Lumbroso (Recherches sur l'économie politique de l'Égypte sous les Lagides, Turin 1870, 245[2]): ἀγορανόμοι codd. **32** add. Jacoby (FGrHist 715 F 31 p. 633, 9) coll. 708, 21 sq. οἱ μὲν ⟨ἀγορανόμοι vel πρῶτοι⟩? Jacoby ⟨τοὺς⟩ ποταμοὺς? ἐργάζονται D^{ac} 708 **4** σταδίους Aly (1956, 184): στάδια codd.; vide 74, 32 comm. **5** δηλοῦσαν z^{s}: -ας BCDF **7** ξενοδοκοῦσι Cobet ms. **12** add. Meineke **13** τὰς ante μεταβολάς add. D μέτρον μέλει τῶν F ὡραίων x^{pc}yz: ὁρίων BCDF

20 terhalten werden und in der Nähe der Residenz) leben, so dass sie, wenn nötig, schnell ausziehen können, da sie von sich nichts weiter mitzubringen brauchen als ihre Körper.
Sechstens kommen die Aufseher. Ihre Aufgabe ist es, zu beobachten was 48
geschieht und es heimlich dem König zu berichten, wozu sie sich der Mitar-
24 beit der Freudenmädchen versichern (in der Stadt der städtischen, im Heereslager der dortigen); angestellt werden dazu die Vortrefflichsten und Zuverlässigsten. Siebentens die Berater und Beisitzer des Königs; aus ihnen 49
werden die Magistraturen, die Gerichtshöfe und der ganze Verwaltungsapparat gebildet.
28 Es ist weder erlaubt aus einer anderen Klasse zu heiraten noch Beruf oder Arbeit zu wechseln; auch darf derselbe Mann nicht mehrere Gewerbe betreiben, außer wenn er zu den Philosophen gehört: dem werde es wegen seiner Trefflichkeit erlaubt.
Die Magistrate sind teils Landverwalter, teils Stadtverwalter, teils unter- 50
32 steht ihnen das Militärwesen. Jene arbeiten an Flüssen und vermessen das Land, wie in Ägypten, und inspizieren die abschließbaren Kanäle, aus denen das Wasser in die Bewässerungsgräben verteilt wird, damit Alle glei-
708 chermaßen über das Wasser verfügen können. Dieselben kümmern sich auch um die Jäger und haben die Befugnis zu Belohnung und Bestrafung derer die es verdienen. Auch treiben sie die Abgaben ein und beaufsichtigen die Gewerbe die mit dem Lande zu tun haben: die der Holzfäller, der Baumei-
4 ster, der Schmiede und der Bergarbeiter. Sie legen Straßen an und stellen alle zehn Stadien eine Tafel auf die die Abzweigungen und die Entfernungen angibt.
Die Stadtverwalter sind in sechs Fünfschaften aufgeteilt. Die einen beauf- 51
sichtigen das Handwerkswesen. Andere nehmen sich der Fremden an: sie
8 besorgen ihnen Unterkunft, verfolgen ihr Treiben – wozu sie ihnen Begleiter geben – und geleiten entweder sie selber oder, wenn sie gestorben sind, ihr Geld; sie kümmern sich um sie wenn sie krank, und bestatten sie wenn sie gestorben sind. Die dritten sind die die den Geburten und Todesfällen nachgehen, wann und wie sie stattgefunden haben, einmal der Steuern we-
12 gen, zum anderen damit nicht Geburt und Tod Höherer und Niedrigerer unbekannt bleiben. Die vierten die die den Kleinhandel und den Umsatz überwachen; sie kümmern sich um die Maße und um die Produkte der Jahreszeiten, damit sie mit einer Marke versehen verkauft werden: es ist nicht

λοῖτο· οὐκ ἔστι δὲ πλείω τὸν αὐτὸν μεταβάλλεσθαι πλὴν εἰ διττοὺς ὑπο-
τελοίη φόρους. πέμπτοι δ' οἱ προεστῶτες τῶν δημιουργουμένων καὶ πω-
16 λοῦντες ταῦτ' ἀπὸ συσσήμου, χωρὶς μὲν τὰ καινά, χωρὶς δὲ τὰ παλαιά
(τῷ μιγνύντι δὲ ζημία). ἕκτοι δὲ καὶ ὕστατοι οἱ τὰς δεκάτας ἐκλέγοντες
τῶν πωλουμένων (θάνατος δὲ τῷ κλέψαντι τὸ τέλος). ἰδίᾳ μὲν ἕκαστοι
ταῦτα· κοινῇ δ' ἐπιμελοῦνται τῶν τε ἰδίων καὶ τῶν πολιτικῶν καὶ τῆς
20 τῶν δημοσίων ἐπισκευῆς τιμῶν τε καὶ ἀγορᾶς καὶ λιμένων καὶ ἱερῶν.

Μετὰ δὲ τοὺς ἀστυνόμους τρίτη ἐστὶ συναρχία ἡ περὶ τὰ στρατιωτι- 52
κά, καὶ αὕτη ταῖς πεντάσιν ἑξαχῇ διῃρημένη. ὧν τὴν μὲν μετὰ τοῦ ναυ-
άρχου τάττουσι, τὴν δὲ μετὰ τοῦ ἐπὶ τῶν βοϊκῶν ζευγῶν, δι' ὧν ὄργανα
24 κομίζεται καὶ τροφὴ αὐτοῖς τε καὶ τοῖς κτήνεσι καὶ τὰ ἄλλα τὰ χρήσιμα
τῇ στρατιᾷ· οὗτοι δὲ καὶ τοὺς διακόνους παρέχουσι — τυμπανιστάς, κω-
δωνοφόρους, ἔτι δὲ καὶ ἱπποκόμους καὶ μηχανοποιοὺς καὶ τοὺς τούτων
ὑπηρέτας — ἐκπέμπουσί τε πρὸς κώδωνας τοὺς χορτολόγους, τιμῇ καὶ κο-
28 λάσει τὸ τάχος κατασκευαζόμενοι καὶ τὴν ἀσφάλειαν. τρίτοι δέ εἰσιν οἱ
τῶν πεζῶν ἐπιμελούμενοι, τέταρτοι δ' οἱ τῶν ἵππων, πέμπτοι δ' ἁρμάτων,
ἕκτοι δ' ἐλεφάντων. βασιλικοί τε σταθμοὶ καὶ ἵπποις καὶ θηρίοις, βασιλι-
709C. κὸν δὲ καὶ ὁπλοφυλάκιον· | παραδίδωσι γὰρ ὁ στρατιώτης τήν τε σκευὴν
εἰς τὸ ὁπλοφυλάκιον καὶ τὸν ἵππον εἰς τὸν ἱππῶνα καὶ τὸ θηρίον ὁμοίως
(χρῶνται δ' ἀχαλινώτοις). τὰ δ' ἅρματα ἐν ταῖς ὁδοῖς βόες ἕλκουσιν, οἱ
4 δὲ ἵπποι ἀπὸ φορβειᾶς ἄγονται τοῦ μὴ παρεμπίπρασθαι τὰ σκέλη μηδὲ
τὸ πρόθυμον αὐτῶν ὑπὸ τοῖς ἅρμασιν ἀμβλύνεσθαι. δύο δ' εἰσὶν ἐπὶ τῷ
ἅρματι παραβάται πρὸς τῷ ἡνιόχῳ· ὁ δὲ τοῦ ἐλέφαντος ἡνίοχος τέταρτος,
τρεῖς δ' οἱ ἀπ' αὐτοῦ τοξεύοντες.

8 Εὐτελεῖς δὲ κατὰ τὴν δίαιταν Ἰνδοὶ πάντες, μᾶλλον δ' ἐν ταῖς στρα- 53
τείαις, οὐδ' ὄχλῳ περιττῷ χαίρουσι· διόπερ εὐκοσμοῦσι. πλείστη δ' ἐκε-

14 οὐκ ἔστι F: οὐκ ἔτι BD, οὐκέτι C 15 καὶ πωλοῦσι (vel ' ἵνα π.' [i. e. πωλοῖεν, πωλοῖτο? cf. 13 sq.]) καὶ ταῦτ'? Jacoby 16 συσσήμων E 19 πολιτικῶν xz: πολιτῶν BCDF {καὶ} τῆς? Jacoby 20 τειχῶν pro τιμῶν Kramer, ῥυμῶν Madvig (Adv. 1, 561 sq.) 22 διῃρημένη Jacoby coll. l. 6: διωρισμένη codd. 23 βοεικῶν C 24 τοῖς D: om. cett. 25 τῇ στρατιᾷ Korais: τῆς στρατειᾶς F, τῆς στρατείας cett. 27 κώδωνα Korais 28 τό ⟨τε⟩? κατασφαλιζόμενοι D 29 ἱππέων? Korais 30 δὲ pro δ' ed. pr. 709 4 φορβειᾶς BC: -βιᾶς D, -βέας F 5 ὑπὸ Xylander: τὸ ὑπὸ codd. 6 πρὸς om. F[t] τῷ F: om. cett. 8 οἱ ante Ἰνδοὶ add. q 8 sq. στρατείαις is: -τειαῖς F, -τιαῖς cett.

erlaubt dass ein und derselbe mehr umsetzt, außer wenn er die doppelte
Steuer bezahlen würde. Fünftens die welche die Aufsicht über die Produkte
16 des Handwerks haben und diese mit einer Marke versehen verkaufen, die
neuen getrennt von den alten (wer sie durcheinanderbringt wird bestraft).
Die sechsten und letzten sind die die den Zehnten der verkauften Waren
einsammeln (auf Steuerhinterziehung steht die Todesstrafe). Das sind die
Aufgaben jeder einzelnen Fünfschaft; alle zusammen kümmern sie sich um
20 die privaten und die öffentlichen Angelegenheiten, um die Ausbesserung der
öffentlichen Anlagen, um die Preise, den Markt, die Häfen und die Heilig-
tümer.

Nach den Stadtverwaltern ist das dritte Kollegium das für das Militärwe- 52
sen zuständige, das ebenfalls in sechs Fünfschaften aufgeteilt ist. Von diesen
wird die eine dem Flottenkommandanten zugeordnet, die andere dem Auf-
24 seher der Rindergespanne, mit denen Geräte, Nahrung sowohl für die Men-
schen als für die Tiere und das Weitere was ein Heer braucht transportiert
werden; sie stellen auch die Gehilfen bereit — Trommler und Glockenträ-
ger, ferner Pferdeknechte, Werkzeugmacher und deren Personal — und
schicken die Fourageure unter Glockenbegleitung aus, wobei sie durch Be-
28 lohnung und Bestrafung für Schnelligkeit und Sicherheit sorgen. Die dritten
sind die die sich um die Infanteristen, die vierten die die sich um die Pferde
kümmern, die fünften um die Wagen und die sechsten um die Elefanten. Die
Ställe sowohl für die Pferde als für die Elefanten sind königlich, und könig-
709 lich ist auch das Arsenal: der Soldat gibt nämlich seine Ausrüstung beim Ar-
senal und sein Pferd beim Marstall ab, und ebenso den Elefanten (sie ge-
brauchen sie ohne Zaum). Die Wagen werden unterwegs von Rindern gezo-
4 gen und die Pferde am Halfter geführt, damit sich ihre Beine nicht entzün-
den und ihre Feurigkeit nicht vor dem Wagen abstumpft. Auf dem Wagen
stehen außer dem Lenker zwei Wagenkämpfer; der Lenker eines Elefanten
hat drei neben sich die Pfeile von ihm herab schießen.

8 Alle Inder sind einfach in ihrer Lebensweise, und noch mehr auf Feldzü- 53
gen, und finden keinen Gefallen an überflüssigem Gefolge; daher ihre gute

χειρία περὶ τὰς κλοπάς· γενόμενος γοῦν ἐν τῷ Σανδροκόττου στρατοπέδῳ
φησὶν ὁ Μεγασθένης (FGrHist 715 F 32) τετταράκοντα μυριάδων πλήθους
12 ἱδρυμένου μηδεμίᾳ ἡμέρᾳ ἰδεῖν ἀνενηνεγμένα κλέμματα πλειόνων ἢ δια-
κοσίων δραχμῶν ἄξια ἀγράφοις καὶ ταῦτα νόμοις χρωμένων· οὐδὲ γὰρ
γράμματα εἰδέναι αὐτούς, ἀλλ' ἀπὸ μνήμης ἕκαστα διοικεῖσθαι. εὐπραγεῖν
δ' ὅμως διὰ τὴν ἁπλότητα καὶ τὴν εὐτέλειαν. οἶνόν τε γὰρ οὐ πίνειν
16 ἀλλ' ⟨ἢ⟩ ἐν θυσίαις μόνον (πίνειν δ' ἀπ' ὀρύζης ἀντὶ κριθῶν συντιθέντας·
καὶ σιτία δὲ τὸ πλέον ὄρυζαν εἶναι ῥοφητήν)· καὶ ἐν τοῖς νόμοις δὲ καὶ
συμβολαίοις τὴν ἁπλότητα ἐλέγχεσθαι ἐκ τοῦ μὴ πολυδίκους εἶναι· οὔτε
γὰρ ὑποθήκης οὔτε παρακαταθήκης εἶναι δίκας· οὐδὲ μαρτύρων οὐδὲ σφρα-
20 γίδων αὐτοῖς δεῖν, ἀλλὰ πιστεύειν παραβαλλομένους· καὶ τὸ οἴκοι δὲ τὸ
πλέον ἀφρουρεῖν. ταῦτα μὲν δὴ σωφρονικά· τἆλλα δ' οὐκ ἄν τις ἀποδέξαιτο,
τὸ μόνους διαιτᾶσθαι ἀεὶ καὶ τὸ μὴ μίαν εἶναι πᾶσιν ὥραν κοινὴν
δείπνου τε καὶ ἀρίστου, ἀλλ' ὅπως ἑκάστῳ φίλον· πρὸς γὰρ τὸν κοινωνι-
24 κὸν καὶ τὸν πολιτικὸν βίον ἐκείνως κρεῖττον.

Γυμνασίων δὲ μάλιστα τρῖψιν δοκιμάζουσι καὶ ἄλλως καὶ διὰ σκυτα- **54**
λίδων ἐβενίνων λείων ἐξομαλίζονται τὰ σώματα. λιταὶ δὲ καὶ αἱ ταφαὶ
καὶ μικρὰ ⟨τὰ⟩ χώματα. ὑπεναντίως δὲ τῇ ἄλλῃ λιτότητι κοσμοῦνται·
28 χρυσοφοροῦσι γὰρ καὶ διαλίθῳ κόσμῳ χρῶνται σινδόνας τε φοροῦσιν εὐαν-
θεῖς καὶ σκιάδεια αὐτοῖς ἕπεται· τὸ γὰρ κάλλος τιμῶντες ἀσκοῦσιν ὅσα
καλλωπίζει τὴν ὄψιν. ἀλήθειάν τε ὁμοίως καὶ ἀρετὴν ἀποδέχονται· διόπερ
οὐδὲ τῇ ἡλικίᾳ τῶν γερόντων προνομίαν διδόασιν ἂν μὴ καὶ τῷ φρονεῖν
32 πλεονεκτῶσι. πολλὰς δὲ γαμοῦσιν ὠνητὰς παρὰ τῶν γονέων — λαμβάνουσί
τε ἀντιδιδόντες ζεῦγος βοῶν —, τὰς μὲν εὐπειθείας χάριν, τὰς δ' ἄλλας
ἡδονῆς καὶ πολυτεκνίας· εἰ δὲ μὴ σωφρονεῖν ἀναγκάσαιεν, πορνεύειν ἔξ-

25 sq. Anon. Scor. 298^{r} 28 sq. **29 sq.** Anon. Scor. 298^{r} 29 sq. **31 sq.** Anon. Scor. 298^{r} 30 sq.

10 γενόμενος Casaubonus: γενομένους codd. γοῦν F: δ' οὖν BC, δὲ D **12** μηδεμίᾳ ἡμέρᾳ scripsi: -αν -αν codd. ἀνενηνεγμένα scripsi: ἀνηνεγκάμενα F^{ac}, ἀνηνεγμένα cett. **13** χρωμένων Meineke (3, V ad 988, 2): -μένοις codd. **14** εὐπραγεῖν F: εὖ πράττειν cett. **16** add. v. Herwerden (453) κριθῶν (vel κριθίνου) Korais: κριθίνων codd. **19** ὑποθήκης Tyrwhitt (39): ἐπι- codd. **20 sq.** τὸ πλέον ἀφρουρεῖν xyz, ed. pr.: τὰ πλέονα φρουρεῖν Cq, τὰ πλέον ἀφρουρεῖν B, τὰ πλέον ἀφρουδεῖν DF **21** τὰ post δὴ add. C οὐκ ἄν τις xyz: οὐδ' ἄν τις BCDF; οὐδ' ἂν εἷς v. Herwerden (453) **22** πᾶσιν om. D **25** γυμνασίων Korais: γνυμασίων E^{ac}, γνυμνασίων E^{pc}, γυμνάσιον cett. **26** ἐξομαλίζοντες? **27** addidi **29** σκιάδεια D: -δια cett. **30** ἀλήθειαν δὲ? **33** δὲ pro τε? ὧν ante τὰς add. codd.: delevi εὐπαθείας hi

Disziplin. Besonders groß ist ihre Zurückhaltung beim Stehlen; jedenfalls
sagt Megasthenes (FGrHist 715 F 32), als er in dem Heereslager des San-
12 drokottos gewesen sei, wo vierhunderttausend Mann lagen, habe er an kei-
nem einzigen Tag gesehen dass Diebstähle im Wert von mehr als zweihun-
dert Drachmen gemeldet worden waren, und das, während sie nur unge-
schriebene Gesetze haben. Sie kennten ja auch die Schrift nicht, sondern al-
les würde aus dem Gedächtnis geregelt. Trotzdem gedeihe ihnen alles gut
16 dank ihrer Ehrlichkeit und Einfachheit. Tränken sie doch keinen Wein au-
ßer bloß bei Opferfesten (sie bereiteten ihn aus Reis statt aus Gerste; auch
ihre Getreidekost sei hauptsächlich Reis, den sie als Brei schlürfen). Und
auch in ihren Gesetzen und ihrem geschäftlichen Verkehr zeige sich ihre
Ehrlichkeit darin dass sie nicht viele Prozesse führen: gebe es doch keine
Prozesse über Pfand oder anvertrautes Gut; auch hätten sie keine Zeugen
20 oder Siegel nötig, sondern nähmen das Risiko, einander zu vertrauen; auch
ihren häuslichen Besitz hielten sie meist unverwahrt. Das sind verständige
Dinge – das übrige dagegen dürfte keinen Beifall finden: dass sie immer für
sich allein leben und dass es nicht *eine* allen gemeinsame Zeit für Abend-
und Mittagessen gibt, sondern jeder isst wann es ihm gefällt; denn für das
24 Leben einer Gemeinschaft von Bürgern ist das Andere besser.

Von Leibesübungen schätzen sie vor allem die Massage, besonders in der **54**
Form dass sie mit glatten Stäben aus Ebenholz den Körper einebnen. Ein-
fach sind auch ihre Begräbnisse und klein die Grabhügel. Aber ganz im Ge-
gensatz zu ihrer sonstigen Einfachheit steht die Art wie sie sich schmücken:
28 tragen sie doch Goldschmuck, gebrauchen mit Edelsteinen durchsetztes Ge-
schmeide, kleiden sich in farbenprächtige Musseline und lassen sich mit
Sonnenschirmen begleiten; denn da sie die Schönheit hochschätzen, kulti-
vieren sie alles was den Anblick verschönert. Wahrheitsliebe schätzen sie
ebenso wie Tüchtigkeit; daher lassen sie sogar dem Alter der Greise keinen
32 Vortritt wenn sie nicht auch an Vernünftigkeit überlegen sind. Sie heiraten
viele Frauen, die sie von den Eltern kaufen – sie bekommen sie für ein Rin-
dergespann als Gegengabe –, manche wegen ihrer Folgsamkeit, die übrigen
um des Vergnügens und des Kindersegens willen; wenn sie sie nicht zur

710C. ἐστι. | θύει δὲ οὐδεὶς ἐστεφανωμένος οὐδὲ θυμιᾷ οὐδὲ σπένδει· οὐδὲ
σφάττουσι τὸ ἱερεῖον, ἀλλὰ πνίγουσιν, ἵνα μὴ λελωβημένον ἀλλ' ὁλόκληρον
διδῶται τῷ θεῷ. ψευδομαρτυρίας δ' ὁ ἁλοὺς ἀκρωτηριάζεται· ὅ τε πηρώσας
4 οὐ τὰ αὐτὰ μόνον ἀντιπάσχει, ἀλλὰ καὶ χειροκοπεῖται· ἐὰν δὲ τεχνίτου
χεῖρα ἢ ὀφθαλμὸν ἀφέληται, θανατοῦται. δούλοις δὲ οὗτος μέν φησι μηδένα
'Ινδῶν χρῆσθαι, 'Ονησίκριτος δὲ (FGrHist 134 F 24 sq.) τῶν ἐν τῇ
Μουσικανοῦ τοῦτ' ἴδιον ἀποφαίνει (καὶ ὡς κατόρθωμά γε, καθάπερ καὶ ἄλλα
8 πολλὰ λέγει τῆς χώρας ταύτης κατορθώματα ὡς εὐνομωτάτης).

Τῷ βασιλεῖ δ' ἡ μὲν τοῦ σώματος θεραπεία διὰ γυναικῶν ἐστιν, ὠνη- **55**
τῶν καὶ αὐτῶν παρὰ τῶν πατέρων· ἔξω δὲ τῶν θυρῶν οἱ σωματοφύλακες
καὶ τὸ λοιπὸν στρατιωτικόν. μεθύοντα δὲ κτείνασα γυνὴ βασιλέα γέρας
12 ἔχει συνεῖναι τῷ ἐκεῖνον διαδεξαμένῳ· διαδέχονται δ' οἱ παῖδες. οὐδ'
ὑπνοῖ μεθ' ἡμέραν ὁ βασιλεύς· καὶ νύκτωρ δὲ καθ' ὥραν ἀναγκάζεται τὴν
κοίτην ἀλλάττειν διὰ τὰς ἐπιβουλάς. τῶν δὲ μὴ κατὰ πόλεμον ἐξόδων
μία μέν ἐστιν ἡ ἐπὶ τὰς κρίσεις· ἐν αἷς διημερεύει διακούων οὐδὲν
16 ἧττον κἂν ὥρα γένηται τῆς τοῦ σώματος θεραπείας· αὕτη δ' ἐστὶν ἡ διὰ
τῶν σκυταλίδων τρῖψις· ἅμα γὰρ καὶ διακούει καὶ τρίβεται τεττάρων περιστάντων
τριβέων. ἑτέρα δ' ἐστὶν ἡ ἐπὶ τὰς θυσίας ἔξοδος, τρίτη δ' ἐπὶ
θήραν βακχική τις κύκλῳ γυναικῶν περικεχυμένων, ἔξωθεν δὲ τῶν δορυ-
20 φόρων· παρεσχοίνισται δ' ἡ ὁδός, τῷ δὲ παρελθόντι ἐντὸς μέχρι ⟨τῶν⟩
γυναικῶν θάνατος· προηγοῦνται δὲ τυμπανισταὶ καὶ κωδωνοφόροι. κυνηγετεῖ
δ' ἐν μὲν τοῖς περιφράγμασιν ἀπὸ βήματος τοξεύων — παρεστᾶσι δ' ἔνοπλοι
δύο ἢ τρεῖς γυναῖκες —, ἐν δὲ ταῖς ἀφράκτοις θήραις ἀπ' ἐλέφαν-
24 τος, αἱ δὲ γυναῖκες αἱ μὲν ἐφ' ἁρμάτων, αἱ δ' ἐφ' ἵππων, αἱ δὲ καὶ ἐπ'
ἐλεφάντων, ὡς καὶ συστρατεύουσιν, ἠσκημέναι παντὶ ὅπλῳ.

῎Εχει μὲν οὖν καὶ ταῦτα πολλὴν ἀήθειαν πρὸς τὰ παρ' ἡμῖν, ἔτι μέν- **56**
τοι μᾶλλον τὰ τοιάδε. φησὶ γὰρ (FGrHist 715 F 27 b) τοὺς τὸν Καύκασον
28 οἰκοῦντας ἐν τῷ φανερῷ γυναιξὶ μίσγεσθαι καὶ σαρκοφαγεῖν τὰ τῶν συγγενῶν
σώματα. πετροκυλιστὰς δ' εἶναι κερκοπιθήκους, οἳ λίθους κατακυλίουσι
κρημνοβατοῦντες ἐπὶ τοὺς διώκοντας. τά τε παρ' ἡμῖν ἥμερα ζῷα

24 sq. Anon. Scor. 298r 31 sq.

2 ἀλλ' ἀποπνίγουσιν C verba ἀλλ' ὁλόκληρον post 3 θεῷ collocat D 4 καὶ post δὲ add. q 7 μουσικάνου F 13 καὶ om. D 14 δὲ μὴ Jacoby: γε μὴν codd.; τε μὴ Korais 17 γὰρ {καὶ} Korais ἀκούει B 18 δ' ⟨ἡ⟩ ἐπὶ? 20 περιεσχοίνισται Jacoby ἐντὸς Xylander (*interius* iam Tifernate): ἐκ τοῖς B[ac], ἐκτὸς cett. addidi 28 μίγνυσθαι D

710 Züchtigkeit zwingen, dürfen sie sich prostituieren. Keiner trägt bei einem Tier-, Räucher- oder Trankopfer einen Kranz; auch schneiden sie dem Opfertier nicht die Kehle durch, sondern ersticken es, damit es der Gottheit nicht beschädigt sondern ganz heil dargebracht wird. Wer falschen Zeugnisses überführt wird, dem werden Extremitäten abgeschnitten, und wer je-
4 manden verstümmelt hat, dem wird nicht nur das gleiche zugefügt sondern auch die Hand abgehauen; hat er einen Handwerker einer Hand oder eines Auges beraubt, wird er mit dem Tode bestraft. Gebrauch von Sklaven ist nach ihm bei allen Indern unbekannt, Onesikritos dagegen (FGrHist 134 F 24 f.) bezeichnet dies als etwas dem Land des Musikanos Eigentümliches (und zwar als eine Errungenschaft, wie er auch viele weitere Errungen-
8 schaften dieses Landes nennt, das in seinen Augen besonders gute Gesetze hat).

Der König hat für die Pflege seines Körpers Frauen, die er ebenfalls von **55** ihren Vätern gekauft hat; außerhalb des Palastes hat er die Leibwächter und das übrige Militär. Eine Frau, die einen betrunkenen König getötet hat wird
12 damit belohnt dass sie seinem Nachfolger beiwohnen darf; Nachfolger sind die Söhne. Tagsüber schläft der König nicht, und auch nachts ist er wegen der Anschläge gezwungen, rechtzeitig die Schlafstelle zu wechseln. Zu den nicht kriegsbedingten Auszügen des Königs gehört erstens der zu den Rechtsprechungen; bei diesen hört er den ganzen Tag hindurch die Parteien
16 an, und tut das auch wenn die Stunde der Körperpflege gekommen ist, d. h. der Massage mit den Stäben: er hört nämlich zu während er gleichzeitig massiert wird, wozu vier Masseure antreten. Ein anderer Auszug ist der zu den Opferfesten und der dritte der zur Jagd, der etwas Bakchisches hat: um
20 ihn herum schwärmen Frauen und an der Außenseite die Leibgardisten; an der Strecke entlang sind Seile gespannt, und wer bis zu den Frauen hineindringt wird getötet; voran gehen Trommler und Glockenträger. In den umzäunten Revieren jagt er indem er von einem Podium aus schießt – wobei zwei oder drei bewaffnete Frauen ihm zur Seite stehen –, in den nichtum-
24 zäunten von einem Elefanten, und die Frauen sitzen teils auf Wagen, teils auf Pferden, teils auch auf Elefanten, wie sie auch, in jeder Waffengattung geübt, mit zu Felde ziehen.

Schon dies zeigt große Ungewöhnlichkeit im Vergleich zu dem bei uns **56** Üblichen. Noch mehr aber Folgendes. Er sagt nämlich (FGrHist 715 F 27 b)
28 dass die Bewohner des Kaukasos in aller Öffentlichkeit Frauen beiwohnen und das Fleisch der Leichname ihrer Verwandten verzehren. Auch gebe es steinwälzende Schwanzaffen, die auf die Steilhänge klettern und Steine auf ihre Verfolger hinabrollen. Ferner seien die meisten Tiere die bei uns zahm

τὰ πλεῖστα παρ’ ἐκείνοις ἄγρια εἶναι. ἵππους τε λέγει ἐλαφοκράνους μο-
32 νοκέρωτας, καλάμους δὲ μῆκος μὲν τριάκοντα ὀργυιῶν τοὺς ὀρθίους, τοὺς
711 C. δὲ χαμαικλινεῖς πεντήκοντα, πάχος δὲ | ὥστε τὴν διάμετρον τοῖς μὲν
εἶναι τρίπηχυν, τοῖς δὲ διπλασίαν.

Ὑπερεκπίπτων δ’ ἐπὶ τὸ μυθῶδες πενταςπιθάμους ἀνθρώπους λέγει καὶ **57**
4 τρισπιθάμους, ὧν τινας ἀμύκτηρας, ἀναπνοὰς ἔχοντας μόνον δύο ὑπὲρ τοῦ
στόματος· πρὸς δὲ τοὺς τρισπιθάμους πόλεμον εἶναι ταῖς γεράνοις — ὃν
καὶ Ὅμηρον (Γ 3 sqq.) δηλοῦν — καὶ τοῖς πέρδιξιν (οὓς χηνομεγέθεις εἶναι),
τούτους δ’ ἐκλέγειν αὐτῶν τὰ ᾠὰ καὶ φθείρειν (ἐκεῖ γὰρ ᾠοτοκεῖν τὰς
8 γεράνους· διόπερ μηδαμοῦ μήτ’ ᾠὰ εὑρίσκεσθαι γεράνων μήτ’ οὖν νεόττια)·
πλειστάκις δ’ ἐκπίπτειν γέρανον χαλκῆν ἔχουσαν ἀκίδα ἀπὸ τῶν ἐκεῖθεν
πληγμάτων. ὅμοια δὲ καὶ τὰ περὶ τῶν Ἐνωτοκοιτῶν καὶ τῶν ἀγρίων ἀν-
θρώπων καὶ ἄλλων τερατωδῶν. τοὺς μὲν οὖν ἀγρίους μὴ κομισθῆναι παρὰ
12 Σανδρόκοττον — ἀποκαρτερεῖν γάρ· ἔχειν δὲ τὰς μὲν πτέρνας πρόσθεν,
τοὺς δὲ ταρσοὺς ὄπισθεν καὶ τοὺς δακτύλους —, Ἀστόμους δέ τινας ἀχ-
θῆναι ἡμέρους ἀνθρώπους· οἰκεῖν δὲ περὶ τὰς πηγὰς τοῦ Γάγγου, τρέφεσ-
θαι δ’ ἀτμοῖς ὀπτῶν κρεῶν καὶ καρπῶν καὶ ἀνθέων ὀσμαῖς ἀντὶ τῶν στο-
16 μάτων ἔχοντας ἀναπνοάς, χαλεπαίνειν δὲ τοῖς δυσώδεσι καὶ διὰ τοῦτο
περιγίνεσθαι μόλις, καὶ μάλιστα ἐν στρατοπέδῳ. περὶ δὲ τῶν ἄλλων διη-
γεῖσθαι τοὺς φιλοσόφους, Ὠκύποδάς τε ἱστοροῦντας ἵππων μᾶλλον †ἀπιόν-
τας† Ἐνωτοκοίτας τε ποδήρη τὰ ὦτα ἔχοντας, ὥσ⟨τ’⟩ ἐγκαθεύδειν, ἰσχυροὺς
20 δ’, ὥστ’ ἀνασπᾶν δένδρα καὶ ῥήττειν νευράν, Μονομμάτους τε ἄλλους ὦτα
μὲν ἔχοντας κυνός, ἐν μέσῳ δὲ τῷ μετώπῳ τὸν ὀφθαλμόν, ὀρθοχαίτας, λα-
σίους τὰ στήθη· τοὺς δὲ Ἀμύκτηρας εἶναι παμφάγους, ὠμοφάγους, ὀλιγο-
χρονίους, πρὸ γήρως θνῄσκοντας· τοῦ δὲ στόματος τὸ ἄνω προχειλότερον
24 εἶναι πολύ. περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει Σιμωνίδῃ
(PMG 570) καὶ Πινδάρῳ (Pyth. 10, 41 sq.) καὶ ἄλλοις μυθολόγοις. μῦθος
δὲ καὶ τὸ ὑπὸ Τιμαγένους λεχθέν (FGrHist 88 F 12), ὅτι χαλκὸς ὕοιτο

711 **3–5** Eust. Il. 372, 14–6 **3** Anon. Scor. 298r 32 **20** cf. 21, 26 comm.
23 sq. Anon. Scor. 298r 32 sq.

31 sq. ἐλαφοκράνους μονοκέρωτας D: μονοκέρωτας ἐλαφοκράνους cett. **32** ὀργυιῶν DE: οὐργυιῶν C, ὀργυῶν BF 711 **2** τρίπηχυν DE: -χυ BCF διπλάσιον E (ut vid.) **3** ὑπερεκπίπτων qxy: ὑπερεκπιπτόντων CDF, ὑπὲρ ἐκπιπτόντων B **8** μήτ’ prius Korais: μηδ’ codd. **10** τὰ om. F **12** Σανδρόκοττον D: -κοτον cett. **16** τὰς ante ἀναπνοάς add. x **18 sq.** cruces apposui **19** τε Groskurd: δὲ codd. addidi **20** τε Kramer: δὲ codd. **24** χιλιετῶν om. Bt τῶν ante Ὑπερβορέων add. F λέγει C: -ειν cett. **26** ὅτι F (coniecit Groskurd): ὡς ὅτι cett.

sind bei ihnen wild. Weiterhin spricht er von hirschköpfigen einhörnigen
32 Pferden und von Rohrarten deren aufrechtstehende Stämme dreißig, die am
711 Boden kriechenden fünfzig Klafter lang und so dick seien dass ihr Durch-
messer bei manchen drei Ellen, bei anderen das Doppelte betrage.

Darüber hinaus ins Fabelhafte geratend spricht er von fünf Spannen und **57**
4 drei Spannen langen Menschen, von denen manche keine Nase sondern nur
zwei Atemlöcher über dem Mund hätten. Gegen die drei Spannen langen
führten die Kraniche Krieg – auf den auch Homer (Il. 3, 3 ff.) hinweise –
sowie die Rebhühner (die so groß seien wie Gänse); sie aber nähmen ihre
Eier aus den Nestern und vernichteten sie (die Kraniche legten nämlich dort
8 ihre Eier; daher fänden sich auch nirgends Kranicheier oder -junge); und
sehr oft begegne außerhalb Indiens ein Kranich mit einer Bronzespitze in
seinem Körper, die von den dort bekommenen Schüssen herrühre. Ähnlich
sind auch seine Geschichten über die In-den-Ohren-Schläfer und die wilden
Menschen und andere Wunderwesen. Die wilden Menschen freilich seien
12 nicht zu Sandrokottos gebracht worden – sie hungerten sich nämlich zu
Tode; sie hätten die Fersen vorn und die Fußflächen und Zehen hinten –,
dafür aber zahme Menschen die keinen Mund hatten: sie wohnten bei den
Quellen des Ganges und nährten sich, da sie statt des Mundes Atemlöcher
hätten, von dem Dunst gebratenen Fleisches und dem Duft von Früchten
16 und Blüten; Übelriechendes bekomme ihnen schlecht, und deshalb blieben
sie nur schwer am Leben, besonders im Heereslager. Von den übrigen er-
zählten die Philosophen, die von Schnellfüßlern berichteten, die mehr
† fortgingen † als Pferde, und von In-den-Ohren-Schläfern, deren Ohren
bis zu den Füßen reichten, so dass sie in ihnen schlafen, und die so stark sei-
20 en dass sie Bäume entwurzeln und Sehnen zerreißen könnten; ferner von
Einäuglern, die die Ohren eines Hundes und mitten auf der Stirn das Auge
hätten, mit emporstehendem Haar und zottiger Brust; und die Nasenlosen
äßen alles, und zwar in rohem Zustand, und seien kurzlebig, da sie vor Ein-
24 tritt des Alters stürben; ihre Oberlippe rage weit voraus. Über die tausend-
jährigen Hyperboreer sagt er dasselbe wie Simonides (PMG 570) und Pin-
dar (Pyth. 10, 41 f.) und andere Fabelerzähler. Fabel ist auch was Timagenes
erzählt (FGrHist 88 F 12), dass es dort Kupfertropfen regne, die man zu-

σταλαγμοῖς χαλκοῖς καὶ σύροιτο. ἐγγυτέρω δὲ πίστεώς φησιν ὁ Μεγασθένης
28 ὅτι οἱ ποταμοὶ καταφέροιεν ψῆγμα χρυσοῦ καὶ ἀπ' αὐτοῦ φόρος ἀπάγοιτο
τῷ βασιλεῖ· τοῦτο γὰρ καὶ ἐν Ἰβηρίᾳ συμβαίνει.

Περὶ δὲ τῶν φιλοσόφων λέγων (FGrHist 715 F 33) τοὺς μὲν ὀρεινοὺς **58**
αὐτῶν φησιν ὑμνητὰς εἶναι τοῦ Διονύσου, δεικνύντας τεκμήρια τὴν ἀγρίαν
32 ἄμπελον παρὰ μόνοις φυομένην καὶ κιττὸν καὶ δάφνην καὶ μυρρίνην καὶ
πύξον καὶ ἄλλα τῶν ἀειθαλῶν, ὧν μηδὲν εἶναι πέραν Εὐφράτου πλὴν ἐν
712C. παραδείσοις σπάνια καὶ μετὰ πολλῆς ἐπιμελείας σῳζόμενα· | Διονυσιακὸν
δὲ καὶ τὸ σινδονοφορεῖν καὶ τὸ μιτροῦσθαι καὶ μυροῦσθαι καὶ βάπτεσθαι
ἄνθινα καὶ τοὺς βασιλέας κωδωνοφορεῖσθαι καὶ τυμπανίζεσθαι κατὰ τὰς
4 ἐξόδους. τοὺς δὲ πεδιασίους τὸν Ἡρακλέα τιμᾶν. ταῦτα μὲν οὖν μυθώδη
καὶ ὑπὸ πολλῶν ἐλεγχόμενα, καὶ μάλιστα ⟨τὰ⟩ περὶ τῆς ἀμπέλου καὶ τοῦ
οἴνου· πέραν γὰρ τοῦ Εὐφράτου καὶ τῆς Ἀρμενίας ἐστὶ πολλὴ καὶ ἡ Μεσο-
ποταμία ὅλη καὶ ἡ Μηδία ἑξῆς μέχρι καὶ Περσίδος καὶ Καρμανίας, τούτων
8 δὲ τῶν ἐθνῶν ἑκάστου πολὺ μέρος εὐάμπελον καὶ εὔοινον λέγεται.

Ἄλλην δὲ διαίρεσιν ποιεῖται τῶν φιλοσόφων, δύο γένη φάσκων, ὧν **59**
τοὺς μὲν Βραχμᾶνας καλεῖ, τοὺς δὲ Σαρμᾶνας. τοὺς μὲν οὖν Βραχμᾶνας
εὐδοκιμεῖν ⟨μᾶλλον⟩· μᾶλλον γὰρ καὶ ὁμολογεῖν ἐν τοῖς δόγμασιν. ἤδη δ'
12 εὐθὺς καὶ κυομένους ἔχειν ἐπιμελητὰς λογίους ἄνδρας, οὓς προσιόντας
λόγῳ μὲν ἐπᾴδειν δοκεῖν καὶ τὴν μητέρα καὶ τὸν κυόμενον εἰς εὐτεκνίαν,
τὸ δ' ἀληθὲς σωφρονικάς τινας παραινέσεις καὶ ὑποθήκας διδόναι· τὰς δ'
ἥδιστα ἀκροωμένας μάλιστα εὐτέκνους εἶναι νομίζεσθαι. μετὰ δὲ τὴν γέ-
16 νεσιν ἄλλους καὶ ἄλλους διαδέχεσθαι τὴν ἐπιμέλειαν ἀεὶ τῆς μείζονος
ἡλικίας χαριεστέρων τυγχανούσης διδασκάλων. διατρίβειν δὲ τοὺς φιλο-
σόφους ἐν ἄλσει πρὸ τῆς πόλεως ὑπὸ περιβόλῳ συμμέτρῳ λιτῶς ζῶντας ἐν
στιβάσι καὶ δοραῖς, ἀπεχομένους ἐμψύχων καὶ ἀφροδισίων, ἀκροωμένους

712 **2** sq. Anon. Scor. 298[r] 33 sq.

27 {χαλκοῖς} v. Herwerden (453) **31** τεκμήριον D **32** αὐτοῖς post μόνοις add. q **33** τοῦ post πέραν add. BC 712 **2** τὸ μυροῦσθαι καὶ μιτροῦσθαι Anon. Scor. **3** κωδωνοκροτεῖσθαι? Meineke (3, V ad 991, 24) **5** add. Kramer **9** δὲ om. B ἔτι δὲ ἄλλην vel ἄλλην δ' ἔτι Meineke (Vind. 231 sq.) περὶ ante τῶν add. codd.: del. Korais; nomen scriptoris latere coniecit Meineke **10** Σαρμᾶνας Dihle (PCPhS 190, 1964, 21 = Ant. u. Or. 95; Σαρμάνας iam Korais): γερμά- X, γαρμά- F, γαρμᾶ- cett.; Ζαρμᾶνας Meile (RPh III 15 [= 67], 1941, 163–5) **11** add. Korais **12** καὶ om. D κυομένους F: κυου- cett. **13** λόγῳ Tyrwhitt (39): λόγων codd. {δοκεῖν}? Jacoby **17** ⟨τούτους⟩ τοὺς? Jacoby

sammenfege. Der Glaubwürdigkeit näher steht Megasthenes' Mitteilung,
28 die Flüsse führten Goldsand herab und davon werde dem König eine Abga-
be entrichtet; denn das geschieht auch in Iberien.

In seinem Bericht über die Philosophen (FGrHist 715 F 33) sagt er, die in **58**
den Bergen lebenden seien Lobsänger des Dionysos; als Zeichen wiesen sie
32 hin auf die wilde Rebe, die nur bei ihnen wachse, auf den Efeu, den Lor-
beer, die Myrte, den Buchsbaum und andere immergrüne Gewächse, von
denen es jenseits des Euphrats keines gebe außer spärlichen Exemplaren die
712 in Parks mit vieler Pflege am Leben gehalten würden; dionysisch sei auch
das Tragen von Musselingewändern und Kopfbinden, das Sichsalben und
-buntfärben und dass die Könige bei ihren Auszügen von Glocken und
4 Trommeln begleitet werden. Die in den Ebenen lebenden verehrten Herak-
les. Dies sind nun freilich Fabeln, die durch Vieles widerlegt werden, beson-
ders das über die Rebe und den Wein Behauptete: liegen doch jenseits des
Euphrats ein großer Teil Armeniens, ganz Mesopotamien und anschließend
8 Medien bis ganz nach Persien und Karmanien, und von jedem dieser Völker
soll ein großer Teil reich an Reben und Wein sein.

Er macht noch eine andere Einteilung der Philosophen: es gebe, sagt er, **59**
zwei Gattungen, die er respektive Brachmanen und Sarmanen nennt. Die
Brachmanen stünden in höherem Ansehen: stimmten sie doch auch in ihren
12 Lehren mehr überein. Sie hätten schon gleich im Mutterleib Fürsorger: ge-
lehrte Männer, die zu der Mutter kommen und angeblich – so denke man
– sowohl sie als die Leibesfrucht besprechen, damit das Kind wohl gerate,
in Wirklichkeit aber verständige Mahnungen und Ratschläge gäben; und die
Frauen die ihnen am liebsten zuhörten hätten – so glaube man – die wohl-
16 geratensten Kinder. Nach der Geburt übernähmen immer wieder Andere
die Fürsorge, da das höhere Alter immer gebildetere Lehrer bekomme. Die
Philosophen hielten sich in einem Hain vor der Stadt auf, geschützt von ei-
ner nicht besonders großen Umfriedung; dort lebten sie schlicht auf Blätter-
lagern und in Fellen, enthielten sich fleischlicher Nahrung und des Liebesge-

20 λόγων σπουδαίων, μεταδιδόντας καὶ τοῖς ἐθέλουσι· τὸν δ' ἀκροώμενον οὔτε
λαλῆσαι θέμις οὔτε χρέμψασθαι, ἀλλ' οὐδὲ πτύσαι, ἢ ἐκβάλλεσθαι τῆς συν-
ουσίας τὴν ἡμέραν ἐκείνην ὡς ἀκολασταίνοντα.

Ἔτη δ' ἑπτὰ καὶ τριάκοντα οὕτω ζήσαντα ἀναχωρεῖν εἰς τὴν ἑαυτοῦ
24 κτῆσιν ἕκαστον καὶ ζῆν ἀδεῶς καὶ ἀνειμένως μᾶλλον, σινδονοφοροῦντα
καὶ χρυσοφοροῦντα μετρίως ἐν τοῖς ὠσὶ καὶ ταῖς χερσί, προσφερόμενον
σάρκας τῶν μὴ πρὸς τὴν χρείαν συνεργῶν ζῴων, δριμέων καὶ ἀρτυτῶν
ἀπεχόμενον. γαμεῖν δ' ὅτι πλείστας εἰς πολυτεκνίαν· ἐκ πολλῶν γὰρ καὶ
28 τὰ σπουδαῖα πλείω γίνεσθαι ἄν, ἀδουλοῦσί τε τὴν ἐκ τέκνων ὑπηρεσίαν
— ἐγγυτάτω οὖσαν — πλείω δεῖν παρασκευάζεσθαι. ταῖς δὲ γυναιξὶ ταῖς
γαμεταῖς μὴ συμφιλοσοφεῖν τοὺς Βραχμᾶνας· εἰ μὲν μοχθηραὶ γένοιντο,
ἵνα μή τι τῶν οὐ θεμιτῶν ἐκφέροιεν εἰς τοὺς βεβήλους, εἰ δὲ σπουδαῖαι,
32 μὴ καταλείποιεν αὐτούς· οὐδένα γὰρ ἡδονῆς καὶ πόνου καταφρονοῦντα, ὧς
δ' αὔτως ζωῆς καὶ θανάτου, ἐθέλειν ὑφ' ἑτέρῳ εἶναι, τοιοῦτον δ' εἶναι
τὸν σπουδαῖον καὶ τὴν σπουδαίαν.

713C. Πλείστους δ' αὐτοῖς εἶναι λόγους περὶ τοῦ θανάτου. νομίζειν γὰρ δὴ
τὸν μὲν ἐνθάδε βίον ὡς ἂν ἀκμὴν κυομένων εἶναι, τὸν δὲ θάνατον γένε-
σιν εἰς τὸν ὄντως βίον καὶ τὸν εὐδαίμονα τοῖς φιλοσοφήσασι· διὸ τῇ
4 ἀσκήσει πλείστῃ χρῆσθαι πρὸς τὸ ἑτοιμοθάνατον. ἀγαθὸν δὲ ἢ κακὸν μη-
δὲν εἶναι τῶν συμβαινόντων ἀνθρώποις· οὐ γὰρ ἂν τοῖς αὐτοῖς τοὺς μὲν
ἄχθεσθαι, τοὺς δὲ χαίρειν — ἐνυπνιώδεις ὑπολήψεις ἔχοντας — καὶ τοὺς
αὐτοὺς τοῖς αὐτοῖς τοτὲ μὲν ἄχθεσθαι, τοτὲ δ' αὖ χαίρειν μεταβαλλομένους.
8 τὰ δὲ περὶ φύσιν τὰ μὲν εὐήθειαν ἐμφαίνειν φησίν (ἐν ἔργοις γὰρ αὐτοὺς
κρείττους ἢ λόγοις εἶναι, διὰ μύθων τὰ πολλὰ πιστουμένους), περὶ πολ-
λῶν δὲ τοῖς Ἕλλησιν ὁμοδοξεῖν. ὅτι γὰρ γενητὸς ὁ κόσμος καὶ φθαρτός,
λέγειν κἀκείνους, καὶ ὅτι σφαιροειδὴς ὅ τε διοικῶν αὐτὸν καὶ ποιῶν
12 θεὸς δι' ὅλου διαπεφοίτηκεν αὐτοῦ, ἀρχαὶ δὲ τῶν μὲν συμπάντων ἕτεραι,
τῆς δὲ κοσμοποιίας τὸ ὕδωρ, πρὸς δὲ τοῖς τέτταρσι στοιχείοις πέμπτη

713 1–4 Anon. Scor. 298^{r} 34–6

23 οὕτω D: -ως cett. **24** κοίτην pro κτῆσιν F **26** τῶν μὴ yz: μὴ τῶν BCDF δρι-μέων ⟨δὲ⟩? **28** ἄν, ἀδουλοῦσί Kramer: ἀναδουλοῦσίν codd.; ἄν, ἀδούλοις οὖσί Tyrwhitt (39 sq.) μὴ ἔχουσι δούλους post τέκνων add. codd.: del. Tyrwhitt **32** κατα-λίποιεν D **32 sq.** ὧς δ' αὔτως scripsi (cf. Schwyzer 2, 577): ὡς δ' αὔτως codd. **34** ⟨καὶ⟩ τὸν? an {καὶ τὴν σπουδαίαν}? vide comm. 713 **1** πλεῖστον ... λόγον E {τοῦ}? **3** καὶ om. X (necnon xyz) {τὸν} εὐδαίμονα? καὶ post διὸ add. Anon. Scor. **10** γεννητὸς C **13** τέτταρσι BF: τέταρσι C, τέσσαρσι D

20 nusses und hörten ernsten Reden zu, woran sie auch Andere, die das woll-
ten, teilnehmen ließen; der Zuhörer dürfe nicht nur weder sprechen noch
sich räuspern sondern nicht einmal ausspucken: sonst werde er für diesen
Tag als zügellos aus der Gesellschaft hinausgeworfen.

Wenn er siebenunddreißig Jahre so gelebt habe, ziehe jeder sich in sein ei-
24 genes Besitztum zurück und lebe dort ohne Furcht und gelockerter: er trage
Musselingewänder und bescheidenen Goldschmuck an den Ohren und den
Händen, esse Fleisch von Tieren deren der Mensch nicht als Helfer bedarf,
enthalte sich aber von Scharfem und Gewürztem. Er heirate möglichst viele
Frauen um viele Kinder zu haben: unter vielen würden ja voraussichtlich
28 auch die Tüchtigen zahlreicher sein, und außerdem müssten sie, da sie keine
Sklaven hielten, dafür sorgen dass der Dienst ihrer Kinder, der ja das
Nächstliegende sei, reichlicher zur Verfügung stünde. Ihre Ehefrauen weih-
ten die Brachmanen nicht in die Philosophie ein, damit sie nicht, wenn sich
zeigen sollte dass sie minderwertig sind, den Uneingeweihten etwas von
dem mit Tabu Belegten verraten würden oder, wenn sie sich als tüchtig er-
32 wiesen, sie verlassen würden: denn kein Mensch der Lust und Schmerz, und
ebenso Leben und Tod, verachte, wolle einem Anderen unterstehen, und so
geartet sei der Tüchtige und die Tüchtige.

713 Sehr viele ihrer Reden handelten vom Tode. Sie glaubten nämlich, das
Leben hier sei noch gleichsam ein Leben im Mutterschoß und der Tod sei
die Geburt zu dem wirklichen und für die die sich der Philosophie gewidmet
4 haben glücklichen Leben; daher befassten sie sich sehr intensiv mit der
Übung zur Todesbereitschaft. Gut oder schlecht sei nichts von allem was
den Menschen widerfährt: sonst würden sich ja nicht über ein und dasselbe
Manche betrüben und Andere freuen – ihre Meinungen hätten den Charak-
ter von Träumen – und dieselben Menschen sich über dasselbe bald betrü-
8 ben und dann wieder freuen. Ihre Lehren über die Natur verrieten zum Teil
Einfältigkeit (ihre Stärke liege nämlich mehr in der Praxis als in der Theo-
rie, wo sie das meiste mit Fabeln erhärteten), über Vieles aber hätten sie die-
selben Ansichten wie die Griechen. Denn dass das Weltall entstanden und
vergänglich ist, sagten auch sie, und dass es kugelförmig ist und die Gott-
12 heit, die es lenkt und erschaffen hat, es ganz durchdringt, dass die Urstoffe
sämtlicher Dinge verschieden seien, der Urstoff der Weltschöpfung aber das
Wasser, und dass es außer den vier Elementen eine fünfte Substanz gebe,

τίς ἐστι φύσις, ἐξ ἧς ὁ οὐρανὸς καὶ τὰ ἄστρα, γῆ δ' ἐν μέσῳ ἵδρυται
τοῦ παντός· καὶ περὶ σπέρματος δὲ καὶ ψυχῆς ὅμοια λέγεται καὶ ἄλλα
16 πλείω. παραπλέκουσι δὲ καὶ μύθους, ὥσπερ καὶ Πλάτων περί τε ἀφθαρσίας
ψυχῆς (Phd. 107 d 5 sqq.) καὶ τῶν καθ' Ἅιδου κρίσεων (Gorg. 523 a 1 sqq.)
καὶ ἄλλα τοιαῦτα.

Περὶ μὲν τῶν Βραχμάνων ταῦτα λέγει. τοὺς δὲ Σαρμᾶνας τοὺς μὲν ἐν- 60
20 τιμοτάτους Ὑλοβίους φησὶν ὀνομάζεσθαι, ζῶντας ἐν ταῖς ὕλαις ἀπὸ φύλλων
καὶ καρπῶν ἀγρίων, †ἐσθῆτος† δὲ φλοιῶν δενδρείων, ἀφροδισίων χωρὶς
καὶ οἴνου· τοῖς δὲ βασιλεῦσι συνεῖναι δι' ἀγγέλων πυνθανομένοις περὶ τῶν
αἰτίων καὶ δι' ἐκείνων θεραπεύουσι καὶ λιτανεύουσι τὸ θεῖον. μετὰ δὲ
24 τοὺς Ὑλοβίους δευτερεύειν κατὰ τιμὴν τοὺς ἰατρικοὺς καὶ ὥσ⟨περ⟩ περὶ
τὸν ἄνθρωπον φιλοσόφους, λιτοὺς μέν, μὴ ἀγραύλους δέ, ὀρύζῃ καὶ ἀλφί-
τοις τρεφομένους, ἃ παρέχειν αὐτοῖς πάντα τὸν αἰτηθέντα καὶ ὑποδεξά-
μενον ξενίᾳ. δύνασθαι δὲ καὶ πολυγόνους ποιεῖν καὶ ἀρρενογόνους καὶ
28 θηλυγόνους διὰ φαρμακευτικῆς. τὴν δὲ ἰατρείαν διὰ σιτίων τὸ πλέον, οὐ
διὰ φαρμάκων ἐπιτελεῖσθαι· τῶν φαρμάκων δὲ μάλιστα εὐδοκιμεῖν τὰ ἐπί-
χριστα καὶ τὰ καταπλάσματα, τἆλλα δὲ κακουργίας πολὺ μετέχειν. ἀσκεῖν
δὲ καὶ τούτους κἀκείνους καρτερίαν τήν τε ἐν πόνοις καὶ τὴν ἐν ταῖς
32 ἐπιμοναῖς, ὥστ' ἐφ' ἑνὸς σχήματος ἀκίνητον διατελέσαι τὴν ἡμέραν ὅλην.
ἄλλους δ' εἶναι τοὺς μὲν μαντικοὺς καὶ ἐπῳδοὺς καὶ τῶν περὶ τοὺς κατ-
οιχομένους λόγων καὶ νομίμων ἐμπείρους — ἐπαιτοῦντας κατὰ κώμας καὶ
714C. πόλεις —, | τοὺς δὲ χαριεστέρους μὲν τούτων καὶ ἀστειοτέρους, οὐδ' αὐτοὺς
δὲ ἀπεχομένους τῶν καθ' Ἅιδην θρυλουμένων, ὅσα δοκεῖ * * πρὸς εὐσέβειαν

19 Σαρμᾶνας Dihle l.c. (ad 712, 10) (Σαρμάνας iam Korais): γαρμάνας F, γερμάνας B[i], γερμᾶνας cett.; Ζαρμᾶνας Meile l.c. (ad 712, 10) **20** φασὶν E **21** δὲ excidit ap. Kramerum δενδρείων D: -δρίων cett. ἐσθῆτας δ' ἔχειν ἀπὸ φλ. δ. yz, ἐσθῆτος οὔσης φλ. δ.? Kramer, ἐσθητοὺς φλοιῷ δενδρείῳ Meineke (Vind. 232), ἔχοντας ἐσθῆτας ἐκ φλ. δ. Cobet (Misc. 197 sq.), ἐν ἐσθῆτι φλ. δ.? Vogel (1882, 317) **22** συνιέναι? **24** ἰατροὺς B[s] F {καὶ} Korais addidi **25** ἀγραύλους E (coniecerunt Plan., Xylander; *rusticantes* vertit Tifernate): ὑγρ- cett. **26** {καὶ} Korais, fort. recte **27 sq.** verba δύνασθαι — φαρμακευτικῆς delenda vel post 30 μετέχειν transponenda esse coniecit Jacoby **31** τοῖς ante πόνοις add. X ταῖς om. E **32** ὑπομοναῖς z **34** κατὰ z: κατὰ καὶ BCDFP 714 **1** λογιωτέρους pro ἀστειοτέρους B[mg] F[mg] P, fort. recte (vide comm.) **2** h.l. aliquid excidisse statuit Cobet (Misc. 198) – in fine sententiae Korais (vide ad 3) –, ipse ⟨ὠφελεῖν⟩ addi iubens; ⟨προσκαλεῖσθαι⟩ vel ⟨προσλαμβάνειν⟩ maluit Bernardakis (55) coll. 19, 27; ⟨προὔργου⟩? Holwerda

aus der der Himmel und die Himmelskörper bestünden; dass die Erde im
Mittelpunkt des Ganzen liege; auch über den Samen und die Seele und meh-
16 reres Andere sagten sie Ähnliches. Sie flöchten auch Fabeln ein, wie das
auch Platon über die Unsterblichkeit der Seele (Phd. 107 d 5 ff.), die Urteile
in der Unterwelt (Gorg. 523 a 1 ff.) und Anderes dergleichen macht.

Das ist was er über die Brachmanen erzählt. Bei den Sarmanen, sagt er, 60
20 würden die in höchsten Ehren stehenden Im-Wald-Lebende genannt: sie
lebten in den Wäldern von Blättern und wilden Früchten, in Kleidern aus
Baumbast, ohne Liebesgenuss und Wein; sie hätten Unterredungen mit den
Königen, die sie durch Boten über die Ursachen befragen und durch sie die
24 Gottheit verehren und anflehen. Nach den Im-Wald-Lebenden kämen an
zweiter Stelle in Ansehen die Mediziner – gleichsam die über den Men-
schen Philosophierenden –, die zwar einfach aber nicht im freien Feld le-
ben und sich mit Reis und Gerstenmehl ernähren, was ihnen jeder gibt den
sie darum bitten und der sie als Gast bei sich aufnimmt. Sie könnten mit
28 Arzneien auch machen dass man viele Kinder bekommt und dass sie männ-
lich oder weiblich sind. Medikation finde hauptsächlich durch Diät statt,
nicht durch Arzneien; von den Arzneien würden besonders Salben und Pfla-
ster geschätzt, die übrigen seien zu sehr mit Frevel verbunden. Sowohl diese
als jene übten sich in Standhaftigkeit nicht nur beim Ertragen von Beschwer-
32 den sondern auch beim Ausdauern, so dass sie den ganzen Tag unbeweglich
in *einer* Haltung verbrächten. Andere Gattungen seien einmal die Wahrsa-
ger, Beschwörer und Kenner der Geschichten und Gebräuche die mit den in
die Unterwelt Abgeschiedenen zu tun haben – sie zögen bettelnd durch
714 Dörfer und Städte –, zum anderen die die zwar gebildeter und kultivierter
seien als jene, aber doch auch ihrerseits nicht auf die Geschichten über die
Unterwelt verzichteten, soweit sie darin ⟨einen Ansporn⟩ zu Gottesfurcht

καὶ ὁσιότητα· συμφιλοσοφεῖν δ' ἐνίοις καὶ γυναῖκας, ἀπεχομένας καὶ αὐτὰς
4 ἀφροδισίων.

'Αριστόβουλος δὲ (FGrHist 139 F 41) τῶν ἐν Ταξίλοις σοφιστῶν ἰδεῖν **61**
δύο φησί, Βραχμᾶνας ἀμφοτέρους, τὸν μὲν πρεσβύτερον ἐξυρημένον, τὸν
δὲ νεώτερον κομήτην· ἀμφοτέροις δ' ἀκολουθεῖν μαθητάς. τὸν μὲν οὖν ἄλ-
8 λον χρόνον κατ' ἀγορὰν διατρίβειν τιμωμένους ἀντὶ συμβούλων, ἐξουσίαν
ἔχοντας ὅ τι ἂν βούλωνται τῶν ὠνίων φέρεσθαι δωρεάν· ὅτῳ δ' ἂν προσ-
ίωσι καταχεῖν αὐτῶν τοῦ σησαμίνου λίπους, ὥστε καὶ κατὰ τῶν ὀμμάτων
ῥεῖν· τοῦ τε μέλιτος πολλοῦ προκειμένου καὶ τοῦ σησάμου μάζας ποιου-
12 μένους τρέφεσθαι δωρεάν (παρερχομένους δὲ καὶ πρὸς τὴν 'Αλεξάνδρου τρά-
πεζαν παραστάντας δειπνεῖν). καρτερίαν δ' ἀσκεῖν παραχωροῦντας εἴς τινα
τόπον πλησίον, ὅπου τὸν μὲν πρεσβύτερον πεσόντα ὕπτιον ἀνέχεσθαι τῶν
ἡλίων καὶ τῶν ὄμβρων (ἤδη γὰρ ὕειν, ἀρχομένου τοῦ ἔαρος), τὸν δ' ἑστάναι
16 μονοσκελῆ ξύλον ἐπηρμένον ἀμφοτέραις ταῖς χερσὶν ὅσον τρίπηχυ, κάμ-
νοντος δὲ τοῦ σκέλους ἐπὶ θάτερον μεταφέρειν τὴν βάσιν καὶ διατελεῖν
οὕτως τὴν ἡμέραν ὅλην. φανῆναι δ' ἐγκρατέστερον μακρῷ τὸν νεώτερον·
συνακολουθήσαντα γὰρ μικρὰ τῷ βασιλεῖ ταχὺ ἀναστρέψαι πάλιν ἐπ' οἴκου,
20 μετιόντος τε αὐτὸν κελεῦσαι ἥκειν, εἴ του βούλεται τυγχάνειν· τὸν δὲ
συναπᾶραι μέχρι τέλους καὶ μεταμφιάσασθαι καὶ μεταθέσθαι τὴν δίαιταν
συνόντα τῷ βασιλεῖ, ἐπιτιμώμενον δ' ὑπό τινων λέγειν ὡς ἐκπληρώσειε
τὰ τετταράκοντα ἔτη τῆς ἀσκήσεως ἃ ὑπέσχετο· 'Αλέξανδρον δὲ τοῖς παι-
24 σὶν αὐτοῦ δοῦναι δωρεάς.

Τῶν δ' ἐν Ταξίλοις νομίμων καινὰ καὶ ἀήθη λέγει (FGrHist 139 F 42) **62**
τό τε τοὺς μὴ δυναμένους ἐκδιδόναι τὰς παῖδας ὑπὸ πενίας προάγειν εἰς
ἀγορὰν ἐν ἀκμῇ τῆς ὥρας κόχλῳ καὶ τυμπάνοις (οἷσπερ καὶ τὸ πολεμι-
28 κὸν σημαίνουσιν) ὄχλου προσκληθέντος, τῷ δὲ προσελθόντι τὰ ὀπίσθια
πρῶτον ἀνασύρεσθαι μέχρι τῶν ὤμων, εἶτα τὰ πρόσθεν, ἀρέσασαν δὲ καὶ
συμπεισθεῖσαν ἐφ' οἷς ἂν δοκῇ συνοικεῖν, καὶ τὸ γυψὶ ῥίπτεσθαι τὸν τε-

5 Eust. D. P. 403, 5 sq. 25 Eust. D. P. 403, 5 sq.

3 ὁσιότητα ⟨τείνειν⟩ Korais 9 ἂν x: om. BCDFP βούλωνται BCDF[pc] P: -ονται F[ac] q; -οιντο y 10 {τοῦ}? 13 δ' ἀσκεῖν P (coniecit Cobet, Misc. 198): διδάσκειν cett. (unde ⟨καὶ⟩ καρτερίαν διδάσκειν Korais, καρτερίαν ⟨δὲ⟩ διδάσκειν Jacoby, Aly [1956, 207]) εἴς P (coniecit Korais): ἔς cett. 19 μικρὸν? 20 αυτ[ον] post κε-λεῦσαι add. P βούλοιτο Korais 23 τεττερα- P 24 δωρεάς scripsi: -άν codd. 27 τε post κόχλῳ add. q

und Frömmigkeit sähen; bei manchen nähmen auch Frauen am Philosophie-
4 ren teil, die sich ebenfalls des Liebesgenusses enthielten.

Aristobulos sagt (FGrHist 139 F 41), er habe unter den Weisheitslehrern **61**
in Taxila zwei gesehen, beide Brachmanen, von denen der ältere kahlge-
schoren war, der jüngere langes Haar trug, und die beide von Schülern be-
8 gleitet wurden. Die übrige Zeit hätten sie sich auf dem Markt aufgehalten,
wo sie als Ratgeber geehrt wurden und es ihnen frei stand, von den Waren
umsonst mitzunehmen was immer sie wollten; jeder zu dem sie herantraten
habe Sesamöl über sie gegossen, so dass es ihnen sogar über die Augen her-
abfloss; und da Honig und Sesam in großen Mengen zum Verkauf angebo-
12 ten wurden, hätten sie sich daraus Fladen gemacht und sich damit umsonst
ernährt (sie seien auch an Alexanders Tafel gekommen und hätten dort ste-
hend gespeist). Zur Übung in Standhaftigkeit aber hätten sie sich an einen
Ort in der Nähe zurückgezogen: dort habe der Ältere rücklings auf dem Bo-
den liegend Sonnenschein und Regen ertragen (es habe nämlich bereits ge-
16 regnet, da der Frühling anfing), der Andere habe auf einem Bein gestanden
und mit beiden Armen ein etwa drei Ellen langes Stück Holz emporgehal-
ten; wenn das Bein ermüdete, habe er sich auf das andere gestellt, und so
habe er den ganzen Tag durchgehalten. Der Jüngere habe sich als der bei
weitem Beherrschtere erwiesen: sei er doch, nachdem er kurze Zeit dem Kö-
20 nig gefolgt war, bald wieder nach Hause umgekehrt, und als der König nach
ihm schickte, habe er gesagt, er solle selber kommen, wenn er etwas von
ihm wolle; der Andere dagegen sei bis zuletzt mitgezogen, habe durch das
Leben mit dem König eine andere Kleidung und eine andere Lebensweise
angenommen, und als Leute ihm Vorwürfe machten, habe er gesagt, er habe
die vierzig Jahre der Askese, die er versprochen, erfüllt; Alexander habe sei-
24 nen Kindern Geschenke gemacht.

Unter den Gebräuchen in Taxila erwähnt er (FGrHist 139 F 42) als son- **62**
derbar und ungewöhnlich erstens dass die die aus Armut ihre Töchter nicht
verheiraten können, sie, wenn sie in voller Blüte stehen, auf den Markt füh-
ren, nachdem mit Muscheltrompete und Trommeln (denselben Instrumen-
28 ten mit denen sie auch das Kriegssignal geben) die Menge herbeigerufen ist;
für jeden der herantritt ziehe das Mädchen erst die Hinterseite ihrer Kleider
bis zu den Schultern empor und dann die Vorderseite, und wenn sie ihm ge-
fiele und den Bedingungen zustimmte auf die man sich einige, sei sie seine

τελευτηκότα. τὸ δὲ πλείους ἔχειν γυναῖκας κοινὸν καὶ ἄλλων· παρά τισι
32 δ' ἀκούειν φησὶ καὶ συγκατακαιομένας τὰς γυναῖκας τοῖς ἀνδράσιν ἀσμέ-
νας, τὰς δὲ μὴ ὑπομενούσας ἀδοξεῖν (εἴρηται δὲ καὶ ἄλλοις ταῦτα).

'Ονησίκριτος δὲ (FGrHist 134 F 17 a) πεμφθῆναί φησιν αὐτὸς διαλεξό- **63**
715C. μενος τοῖς σοφισταῖς | τούτοις. ἀκούειν γὰρ τὸν 'Αλέξανδρον ὡς γυμνοὶ
διατελοῖεν καὶ καρτερίας ἐπιμελοῖντο οἱ ἄνθρωποι ἐν τιμῇ τε ἄγοιντο
πλείστῃ, παρ' ἄλλους δὲ μὴ βαδίζοιεν κληθέντες, ἀλλὰ κελεύοιεν ἐκείνους
4 φοιτᾶν παρ' αὐτούς, εἴ του μετασχεῖν ἐθέλοιεν τῶν πραττομένων καὶ λε-
γομένων ὑπ' αὐτῶν· τοιούτων δὴ ὄντων ἐπειδὴ οὔτε αὐτῷ πρέπειν ἐδόκει
παρ' ἐκείνους φοιτᾶν οὔτ' ἐκείνους βιάζεσθαι παρὰ τὰ πάτρια ποιεῖν τι
ἄκοντας, αὐτὸς ἔφη πεμφθῆναι. καταλαβεῖν δὲ ἄνδρας πεντεκαίδεκα ἀπὸ
8 σταδίων εἴκοσι τῆς πόλεως, ἄλλον ἐν ἄλλῳ σχήματι ἑστῶτα ἢ καθήμενον
ἢ κείμενον γυμνὸν ἀκίνητον ἕως ἑσπέρας, εἶτ' ἀπερχόμενον εἰς τὴν πόλιν·
χαλεπώτατον δ' εἶναι τὸ τὸν ἥλιον ὑπομεῖναι οὕτω θερμὸν ὥστε τῶν ἄλ-
λων μηδένα ὑπομένειν γυμνοῖς ἐπιβῆναι τοῖς ποσὶ τῆς γῆς ῥᾳδίως κατὰ
12 μεσημβρίαν.

Διαλεχθῆναι δ' ἑνὶ τούτων Καλάνῳ, ὃν καὶ συνακολουθῆσαι τῷ βασιλεῖ **64**
μέχρι Περσίδος καὶ ἀποθανεῖν τῷ πατρίῳ νόμῳ τεθέντα ἐπὶ πυρκαΐαν· τότε
δ' ἐπὶ λίθων τυχεῖν κείμενον. προσιὼν οὖν καὶ προσαγορεύσας εἰπεῖν ἔφη
16 διότι πεμφθείη παρὰ τοῦ βασιλέως ἀκροασόμενος τῆς σοφίας αὐτῶν καὶ
ἀπαγγελῶν πρὸς αὐτόν· εἰ οὖν μηδεὶς εἴη φθόνος, ἕτοιμος εἴη μετασχεῖν
τῆς ἀκροάσεως. ἰδόντα δ' ἐκεῖνον χλαμύδα καὶ καυσίαν φοροῦντα καὶ κρη-
πῖδα⟨ς⟩ καταγελάσαντα 'τὸ παλαιόν' φάναι 'πάντ' ἦν ἀλφίτων καὶ ἀλεύρων
20 πλήρη, καθάπερ νῦν κόνεως· καὶ κρῆναι δ' ἔρρεον αἱ μὲν ὕδατος, γάλακτος
δ' ἄλλαι καὶ ὁμοίως μέλιτος, αἱ δ' οἴνου, τινὲς δ' ἐλαίου. ὑπὸ πλησμονῆς
δ' οἱ ἄνθρωποι καὶ τρυφῆς εἰς ὕβριν ἐξέπεσον, Ζεὺς δὲ μισήσας τὴν κατά-
στασιν ἠφάνισε πάντα καὶ διὰ πόνου τὸν βίον ἀπέδειξε. σωφροσύνης δὲ
24 καὶ τῆς ἄλλης ἀρετῆς παρελθούσης εἰς μέσον πάλιν εὐπορία τῶν ἀγαθῶν
ὑπῆρξεν, ἐγγὺς δ' ἐστὶν ἤδη νυνὶ κόρου καὶ ὕβρεως τὸ πρᾶγμα κινδυνεύει

715 **19–26** Anon. Scor. 298ᵛ 2–8

32 -καομενας P **33** δὲ post. FP (coniecit Korais): om. cett. {εἴρηται — ταῦτα} Meineke (Vind. 140) 715 **4** εἴ του C: εἴτ' οὐ B, εἶτ' οὐ DF, ει[P καὶ P: ἢ cett.; ἢ καὶ? Aly (1956, 207) **8** ὀκτὼ pro εἴκοσι BF **11** ἐπιβαίνειν D **16** ἀκροασόμενος F: ακρο...μενος P, -σάμενος cett. **19** add. v. Herwerden (453) **24** προελθούσης Plan.

Frau. Ferner dass der Gestorbene Geiern vorgeworfen wird. Dass sie mehre-
re Frauen haben, ist ein Gebrauch der sich auch bei Anderen findet; bei
32 Manchen, so habe er gehört, ließen die Frauen sich sogar mit Freuden zu-
sammen mit ihren Männern verbrennen und stünden die die das nicht über
sich gebracht hätten, in schlechtem Ruf (auch Andere berichten das).

Onesikritos sagt (FGrHist 134 F 17 a), er sei selber ausgeschickt worden **63**
715 um sich mit diesen Weisheitslehrern zu unterhalten. Alexander habe nämlich
gehört dass die Leute immer unbekleidet blieben, um Standhaftigkeit be-
müht seien und in höchsten Ehren stünden, aber nicht auf Einladung zu An-
4 deren gingen, sondern sagten, sie sollten doch zu ihnen kommen, wenn sie
teilnehmen wollten an etwas von dem was sie täten und sagten; da es ihm
nun unter diesen Umständen weder angemessen schien selber zu ihnen zu
gehen noch sie zu zwingen, widerstrebend etwas gegen ihr Herkommen zu
tun, sei er selber geschickt worden. Er habe zwanzig Stadien vor der Stadt
8 fünfzehn Männer angetroffen, die alle in verschiedenen Haltungen nackt
und unbeweglich bis zum Abend standen, saßen oder lagen und dann in die
Stadt abzogen; am schwersten sei es, die Sonne zu ertragen, die so heiß sei
dass sonst niemand es leicht über sich bringe, um die Mittagszeit barfuß den
12 Boden zu betreten.

Er habe mit einem dieser Männer, Kalanos, gesprochen, demselben der **64**
den König bis Persien begleitet habe und nach herkömmlicher Sitte auf den
Scheiterhaufen gelegt aus dem Leben geschieden sei; damals habe er gerade
auf Steinen gelegen. Er sei zu ihm herangetreten, habe ihn begrüßt und ge-
16 sagt, er sei von dem König geschickt worden um ihrer Weisheit zuzuhören
und ihm darüber zu berichten; wenn das also erlaubt sei, stehe er bereit, am
Zuhören teilzunehmen. Als jener sah dass er Kriegsmantel, Hut und Stiefel
trug, habe er verächtlich gelacht und gesagt: 'In alter Zeit war alles voll mit
20 Gersten- und Weizenmehl, wie jetzt mit Staub; auch flossen Brunnen teils
mit Wasser, andere aber mit Milch und ebenso mit Honig, andere mit Wein
und manche mit Öl. Aber durch Völlerei und Üppigkeit verfielen die Men-
schen in Übermut, und da hat Zeus, von diesem Zustand angewidert, das al-
les vernichtet und das Leben auf mühsame Arbeit gestellt. Als dann Mäßig-
24 keit und die übrigen Tugenden ihren Einzug hielten, entstand wieder eine
Fülle von Gütern, und eben jetzt ist die Sache nahe an Übersättigung und

τε ἀφανισμὸς τῶν ὄντων γενέσθαι'. ταῦτ' εἰπόντα κελεύειν, εἰ βούλοιτο ἀκροάσασθαι, καταθέμενον τὴν σκευὴν γυμνὸν ἐπὶ τῶν αὐτῶν λίθων κεί-
28 μενον μετέχειν τῶν λόγων. ἀπορουμένου δ' αὐτοῦ Μάνδανιν, ὅσπερ ἦν πρεσβύτατος καὶ σοφώτατος αὐτῶν, τὸν μὲν ἐπιπλῆξαι ὡς ὑβριστήν — καὶ ταῦτα ὕβρεως κατηγορήσαντα —, αὐτὸν δὲ προσκαλέσασθαι καὶ εἰπεῖν ὡς τὸν μὲν βασιλέα ἐπαινοίη, διότι ἀρχὴν τοσαύτην διοικῶν ἐπιθυμοίη σοφίας
32 (μόνον γὰρ ἴδοι αὐτὸν ἐν ὅπλοις φιλοσοφοῦντα· ὠφελιμώτατον δ' εἴη τῶν ἁπάντων εἰ οἱ τοιοῦτοι φρονοῖεν, οἷς πάρεστι δύναμις τοὺς μὲν ἑκουσί-
716C. ους πείθειν σωφρονεῖν, | τοὺς δ' ἀκουσίους ἀναγκάζειν)· αὐτῷ δὲ συγγνώμη εἴη εἰ δι' ἑρμηνέων τριῶν διαλεγόμενος πλὴν φωνῆς μηδὲν συνιέντων πλέον ἢ οἱ πολλοὶ μηδὲν ἰσχύσει τῆς ὠφελείας ἐπίδειξιν ποιήσασθαι·
4 ὅμοιον γὰρ ὡς ἂν εἰ διὰ βορβόρου καθαρὸν ἀξιοῖ τις ὕδωρ ῥεῖν.

Τὰ δ' οὖν λεχθέντα εἰς τοῦτ' ἔφη συντείνειν ὡς εἴη λόγος ἄριστος 65 ὃς ἡδονὴν καὶ λύπην ψυχῆς ἀφαιρήσεται. καὶ ὅτι λύπη καὶ πόνος διαφέροι· τὸ μὲν γὰρ πολέμιον, τὸ δὲ φίλιον αὐτοῖς τά γε σώματα ἀσκοῦσι
8 πρὸς πόνον, ἵν' αἱ γνῶμαι ῥωννύοιντο· ἀφ' ὧν καὶ στάσεις παύοιεν καὶ σύμβουλοι πᾶσιν ἀγαθῶν παρεῖεν καὶ κοινῇ καὶ ἰδίᾳ· καὶ δὴ καὶ Ταξίλῃ νῦν συμβουλεύσαιεν δέχεσθαι τὸν Ἀλέξανδρον· κρείττω μὲν γὰρ αὑτοῦ δεξάμενον εὖ πείσεσθαι, χείρω δὲ εὖ διαθήσειν. ταῦτ' εἰπόντα ἐξερέσθαι
12 εἰ καὶ ἐν τοῖς Ἕλλησι λόγοι τοιοῦτοι λέγοιντο. εἰπόντος δ' ὅτι καὶ Πυθαγόρας (14 A 9 D.-K.) τοιαῦτα λέγοι (κελεύοι τε ἐμψύχων ἀπέχεσθαι) καὶ Σωκράτης καὶ Διογένης (οὗ καὶ αὐτὸς ἀκροάσαιτο), ἀποκρίνασθαι ὅτι τἆλλα μὲν νομίζοι φρονίμως αὐτοῖς δοκεῖν, ἓν δ' ἁμαρτάνειν, νόμον πρὸ τῆς φύσεως
16 τιθεμένους· οὐ γὰρ ⟨ἂν⟩ αἰσχύνεσθαι γυμνούς, ὥσπερ αὐτόν, διάγειν ἀπὸ λιτῶν ζῶντας· καὶ γὰρ οἰκίαν ἀρίστην εἶναι ἥτις ἂν ἐπισκευῆς ἐλαχίστης δέηται.

26 γενήσεσθαι Madvig (Adv. 1, 175) ταῦτα ed. pr. (om. q) **28** δὲ Tzschucke κάνδανι- E **29** τὸν yz: τῷ BCDF (unde ὑβριστῇ et 30 κατηγορήσαντι Plan., Tyrwhitt [40]) 716 **3** μὴ{δὲν}? **5** δ' οὖν scripsi: γοῦν codd. **6 sq.** διαφέροι Kramer: -φέρει codd. **7** φίλιον E: φίλον cett. γε Groskurd: δὲ codd. **9** Ταξίλῃ E (coniecerunt Plan., Tyrwhitt [40]): τάξει ἢ cett. **10** συμβουλεύσαιεν BCEF: -βασιλεύσαιεν D; -βουλεύσειεν Tzschucke (perperam Planudi attribuens), -βουλεύσειε Kramer αὑτοῦ scripsi: αὐ- codd. **13** λέγοι DF: -ει BC **14** ἀποκρίνασθαι D[ac]: -κρίνεσθαι cett. **16** add. Korais

Übermut, und droht Vernichtung aller Dinge'. Nach diesen Worten habe er ihm befohlen, wenn er zuhören wolle, seine Bekleidung abzulegen und
28 nackt auf denselben Steinen liegend die Reden anzuhören. Als er in Verlegenheit war, habe Mandanis, der älteste und weiseste von ihnen, jenen einen Übermütigen gescholten – und das, wo er gerade den Übermut angeprangert habe –, ihn aber zu sich gerufen und gesagt, er lobe den König, weil er
32 als Lenker eines so großen Reiches nach Weisheit verlange (sei er doch der einzige den er in Waffen philosophieren sehe; es sei aber das nützlichste aller Dinge wenn solche Leute vernünftig seien, die die Macht haben die Wil-
716 ligen zur Besonnenheit zu überreden und die Unwilligen dazu zu zwingen); ihm selber aber dürfe man es nicht übelnehmen wenn er in einem Gespräch das über drei Dolmetscher laufe, die außer dem Sprachlaut nicht mehr ver-
4 stünden als die Menge, nicht imstande sein werde den Nutzen darzulegen: sei das doch dasselbe wie wenn man verlange, durch Dreck solle klares Wasser fließen.

Was er sagte sei indessen darauf hinausgelaufen dass die beste Lehre die 65 sei die dazu angetan sei, die Seele von Lust und Schmerz zu befreien. Und dass Schmerz und Beschwerde verschiedene Dinge seien: jener nämlich sei etwas Feindliches, diese dagegen etwas ihnen Willkommenes, da sie ihre
8 Körper ja an Beschwerden übten um ihren Geist zu stärken, wodurch sie Streit schlichteten und Allen als Berater zum Guten, sowohl in öffentlichen als in privaten Dingen, zu Diensten stünden; so hätten sie auch Taxiles jetzt geraten, Alexander aufzunehmen: wäre der Aufgenommene ihm überlegen, würde ihm Gutes von ihm widerfahren, stünde er ihm nach, dann würde *er*
12 ihm Gutes angedeihen lassen. Nach diesen Worten habe er gefragt ob auch bei den Griechen solche Lehren verkündet würden. Und als er sagte dass auch Pythagoras dergleichen lehre (und Enthaltung von fleischlicher Nahrung verlange), sowie Sokrates und Diogenes (den er auch selber gehört habe), habe er geantwortet dass er im ganzen ihre Ansichten für vernünftig halte, in *einem* Punkt aber für verfehlt, nämlich darin dass sie der Konventi-
16 on den Vorrang über die Natur gäben: sonst würden sie sich doch nicht schämen, nackt, wie er, einherzugehen und von einfacher Kost zu leben; sei doch auch das beste Haus das was den wenigsten Unterhalt braucht.

Ἔφη δ' αὐτοὺς καὶ τῶν περὶ φύσιν πολλὰ ἐξετάσαι καὶ προσημασιῶν, ὄμβρων, αὐχμῶν, νόσων. ἀπιόντας δ' εἰς τὴν πόλιν κατὰ τὰς ἀγορὰς σκεδάννυσθαι· ὅτῳ δ' ἂν κομίζοντι σῦκα ἢ βότρυς περιτύχωσι, λαμβάνειν δωρεὰν παρ' ἑκόντος· εἰ δ' ἔλαιον εἴη, καταχεῖσθαι αὐτῶν καὶ ἀλείφεσθαι. ἅπασαν δὲ πλουσίαν οἰκίαν ἀνεῖσθαι αὐτοῖς μέχρι γυναικωνίτιδος, εἰσιόντας δὲ δείπνου κοινωνεῖν καὶ λόγων. αἴσχιστον δ' αὐτοῖς νομίζεσθαι νόσον σωματικήν· τὸν δ' ὑπονοήσαντα καθ' αὑτοῦ τοῦτο ἐξάγειν ἑαυτὸν διὰ πυρὸς νήσαντα πυράν, ὑπαλειψάμενον δὲ καὶ καθίσαντα ἐπὶ τὴν πυρὰν ὑφάψαι κελεύειν, ἀκίνητον δὲ καίεσθαι.

Νέαρχος δὲ (FGrHist 133 F 23) περὶ τῶν σοφιστῶν οὕτω λέγει. τοὺς **66** μὲν Βραχμᾶνας πολιτεύεσθαι καὶ παρακολουθεῖν τοῖς βασιλεῦσι συμβούλους, τοὺς δ' ἄλλους σκοπεῖν τὰ περὶ τὴν φύσιν (τούτων δ' εἶναι καὶ Κάλανον)· συμφιλοσοφεῖν δ' αὐτοῖς καὶ γυναῖκας· τὰς δὲ διαίτας ἁπάντων σκληρὰς ⟨εἶναι⟩.

Περὶ δὲ τῶν κατὰ τοὺς ἄλλους νομίμων τοιαῦτα ἀποφαίνεται. τοὺς μὲν νόμους ἀγράφους εἶναι, τοὺς μὲν κοινούς, τοὺς δ' ἰδίους, ἀήθειαν ἔχοντας πρὸς τοὺς τῶν ἄλλων· οἷον τὸ τὰς παρθένους | ἆθλον παρά τισι (717C.) προκεῖσθαι τῷ πυγμὴν νικήσαντι, ὥστ' ἀπροίκους συνεῖναι· παρ' ἄλλοις δὲ κατὰ συγγένειαν κοινῇ τοὺς καρποὺς ἐργασαμένους, ἐπὰν συγκομίσωσιν, αἴρεσθαι φορτίον ἕκαστον εἰς διατροφὴν τοῦ ἔτους, τὸν δ' ἄλλον ἐμπιπράναι τοῦ ἔχειν εἰσαῦθις ἐργάζεσθαι καὶ μὴ ἀργὸν εἶναι. ὁπλισμὸν δ' εἶναι τόξον καὶ ὀϊστοὺς τριπήχεις ἢ σαύνιον καὶ πέλτην καὶ μάχαιραν πλατεῖαν τρίπηχυν. ἀντὶ δὲ χαλινῶν φιμοῖς χρῆσθαι κημῶν μικρὸν διαφέρουσιν, ἥλοις δὲ τὰ χείλη διαπεπάρθαι.

Τὴν δὲ φιλοτεχνίαν τῶν Ἰνδῶν ἐμφανίζων σπόγγους φησὶν ἰδόντας **67** παρὰ τοῖς Μακεδόσι μιμήσασθαι τρίχας καὶ σχοινία λεπτὰ καὶ ἁρπεδόνας διαρράψαντας εἰς ἔρια καὶ μετὰ τὸ πιλῆσαι τὰ μὲν ἐξελκύσαντας, τὰ δὲ βάψαντας χροιαῖς· στλεγγιδοποιούς τε καὶ ληκυθοποιοὺς ταχὺ γενέσθαι πολλούς. ἐπιστολὰς δὲ γράφειν ἐν σινδόσι λίαν κεκροτημέναις (τῶν ἀλ-

717 10 sq. Eust. Il. 428, 6 sq.

19 {καὶ} προσημασιῶν? an quaedam exciderunt? **21** παρατύχωσι E **22** παρ' ἑκόντος Radermacher (RhM 50, 1895, 476): παρέχοντος codd. αὐτῶν scripsi: αὐ- codd.; αὐτῷ Groskurd **26** καὶ om. E καθίσαντα DE: καθή- BCF **30** καὶ ⟨τὸν⟩? **31** καὶ om. D **32** addidi 717 **3** ἐργασαμένους DF: ἐργαζο- BC **6** οἰστοὺς Meineke σαύνιον BC: σαυνίον DF **7** τρίπηχυν D[s] (coniecit Korais): τριπήχη cett. μικρὸν F: μικρῶν cett. **11** πιλῆσαι Casaubonus: πλῆσαι codd.

Er sagte, sie hätten auch viele Naturerscheinungen und Vorzeichen, Regen, Dürre und Krankheiten untersucht. Wenn sie in die Stadt gingen, verteilten sie sich über die Marktplätze, und wenn sie jemanden träfen der Feigen oder Weintrauben trägt, bekämen sie die umsonst von ihm (er biete sie ihnen spontan an); ist es Öl, dann gössen sie es über sich und rieben sich damit ein. Jedes reiche Haus stehe ihnen offen bis zum Frauengemach, und sie träten ein und nähmen teil an Mahlzeit und Gesprächen. Als das Schmählichste für sie gelte körperliche Krankheit, und wer das bei sich selber vermute, scheide durch Feuer aus dem Leben: er baue einen Scheiterhaufen, salbe sich, setze sich auf den Scheiterhaufen, lasse ihn anzünden und verbrenne ohne sich zu rühren.

Nearchos (FGrHist 133 F 23) sagt über die Weisheitslehrer Folgendes. **66** Die Brachmanen seien politisch tätig und begleiteten die Könige als Berater, die übrigen studierten die Naturerscheinungen (zu diesen habe auch Kalanos gehört); auch Frauen nähmen an ihren Studien teil; ihrer aller Lebensweise sei hart.

Über die Gebräuche der Anderen berichtet er Folgendes. Die Gesetze, teils öffentliche, teils private Dinge betreffend, seien ungeschrieben und hätten Ungewöhnliches im Vergleich zu den bei den übrigen Völkern geltenden, (717) z. B. dass die Jungfrauen bei Manchen als Preis für den Sieger im Faustkampf ausgesetzt werden, so dass sie ohne Mitgift einen Mann finden; bei Anderen nähmen die Leute, die aufgrund von Verwandtschaft gemeinsam den Acker bearbeitet haben, nach der Ernte jeder eine zur Nahrung für das Jahr ausreichende Fracht mit und verbrennten den Rest, um nächstes Jahr wieder arbeiten zu können und nicht untätig zu bleiben. Ihre Bewaffnung sei ein Bogen und drei Ellen lange Pfeile oder Speer, Schild und ein breites, drei Ellen langes Schwert. Statt des Zaumzeugs gebrauchten sie Gebisse die sich wenig von Maulkörben unterschieden; die Lippen seien mit Stiften durchbohrt.

Um die Kunstfertigkeit der Inder zu illustrieren erzählt er, sie hätten, als **67** sie bei den Makedonen Schwämme gesehen hatten, sie nachgebildet indem sie Wolle mit Haaren, feinen Schnüren und Garnen zusammennähten, diese nach dem Verfilzen herauszogen und das Übrige färbten; auch habe es bald eine Menge Striegel- und Ölflaschenhersteller gegeben. Briefe schrieben sie

λων γράμμασιν αὐτοὺς μὴ χρῆσθαι φαμένων). χαλκῷ δὲ χρῆσθαι χυτῷ, τῷ
δ' ἐλατῷ μή· τὴν δὲ αἰτίαν οὐκ εἶπε καίτοι τὴν ἀτοπίαν εἰπὼν τὴν παρ-
16 ακολουθοῦσαν, ὅτι θραύεται κεράμου δίκην τὰ σκεύη πεσόντα.

Τῶν δὲ περὶ τῆς Ἰνδικῆς λεγομένων καὶ τοῦτ' ἐστίν (FGrHist 721 F
14), ὅτι ἀντὶ τοῦ προσκυνεῖν προσεύχεσθαι τοῖς βασιλεῦσι καὶ πᾶσι τοῖς
ἐν ἐξουσίᾳ καὶ ὑπεροχῇ νόμος. φέρει δὲ καὶ λιθείαν ἡ χώρα πολυτελῆ
20 κρυστάλλων καὶ ἀνθράκων παντοίων * *, καθάπερ τῶν μαργαριτῶν.

Τῆς δ' ἀνομολογίας τῶν συγγραφέων ἔστω παράδειγμα καὶ ὁ περὶ τοῦ 68
Καλάνου λόγος. ὅτι μὲν γὰρ συνῆλθεν Ἀλεξάνδρῳ καὶ ἀπέθανεν ἑκὼν παρ'
αὐτῷ διὰ πυρός, ὁμολογοῦσι. τὸν δὲ τρόπον οὐ τὸν αὐτόν φασιν οὐδὲ
24 κατὰ τὰς αὐτὰς αἰτίας, ἀλλ' οἱ μὲν οὕτως εἰρήκασι. συνακολουθῆσαι γὰρ
ὡς ἐγκωμιαστὴν τοῦ βασιλέως ἔξω τῶν τῆς Ἰνδικῆς ὅρων παρὰ τὸ κοινὸν
ἔθος τῶν ἐκεῖ φιλοσόφων (ἐκείνους γὰρ τοῖς αὐτόθι συνεῖναι βασιλεῦσιν
ὑφηγουμένους τὰ περὶ τοὺς θεούς, ὡς τοὺς μάγους τοῖς Πέρσαις), ἐν Πα-
28 σαργάδαις δὲ νοσήσαντα — τότε πρῶτον αὐτῷ νόσου γενομένης — ἐξαγα-
γεῖν ἑαυτὸν ἄγοντα ἔτος ἑβδομηκοστὸν καὶ τρίτον, μὴ προσέχοντα ταῖς
τοῦ βασιλέως δεήσεσι· γενομένης δὲ πυρᾶς καὶ τεθείσης ἐπ' αὐτῆς χρυσῆς
κλίνης κατακλιθέντα εἰς αὐτὴν ἐγκαλυψάμενον ἐμπρησθῆναι. οἱ δὲ ξύλινον
32 οἶκον γενέσθαι, φυλλάδος δ' ἐμπλησθέντος καὶ ἐπὶ τῆς στέγης πυρᾶς γε-
νομένης †ἐγκλεισθέντα†, ὥσπερ ἐκέλευσε, μετὰ τὴν πομπήν, μεθ' ἧς ἧκεν,
718C. ῥίψαντα ἑαυτὸν ὡς ἂν δοκὸν συνεμπρησθῆναι τῷ οἴκῳ. | Μεγασθένης δ'
(FGrHist 715 F 34 a) ἐν μὲν τοῖς φιλοσόφοις οὐκ εἶναι δόγμα φησὶν ἑαυ-
τοὺς ἐξάγειν, τοὺς δὲ ποιοῦντας τοῦτο νεανικοὺς κρίνεσθαι, τοὺς μὲν
4 σκληροὺς τῇ φύσει φερομένους ἐπὶ πληγὴν ἢ κρημνόν, τοὺς δ' ἀπόνους ἐπὶ
βυθόν, τοὺς δὲ πολυπόνους ἀπαγχομένους, τοὺς δὲ πυρώδεις εἰς πῦρ ὠθου-
μένους· οἷος ἦν καὶ ὁ Κάλανος, ἀκόλαστος ἄνθρωπος καὶ ταῖς Ἀλεξάνδρου
τραπέζαις δεδουλωμένος. τοῦτον μὲν οὖν ψέγεσθαι, τὸν δὲ Μάνδανιν ἐπ-
8 αινεῖσθαι, ὃς τῶν τοῦ Ἀλεξάνδρου ἀγγέλων καλούντων πρὸς τὸν τοῦ Διὸς

15 δ' pro δὲ q 19 λιθείαν xz: λιθίαν BCDF (cf. 538, 28 comm.) 20 lacunam indicavi: vide comm. 22 sq. παρ' αὐτῷ om. D 23 φασιν DF: φησιν BC 24 {κατὰ} Groskurd αὐτὸν post γὰρ add. z 27 inde ab ἐν alia manus incipit in F 32 ἐμπλησθέντος z: -θείσης BCDF 33 cruces apposui (vide 32–4 comm.); κλεισθέντα? Korais; exspectaveris καὶ ἐμπρησθείσης ἧκεν F: εἶχεν B, εἶχε CD; εἶχε ⟨στολῆς⟩? Korais 718 2 μὲν τοῖς C: τοῖς μὲν cett. 6 Κάλανος qxyz: κάλλ- BCDF 7 οὖν om. E 8 τοῦ prius om. E τοῦ post. F: om. cett.

auf ganz dicht gewebtem Musselin (die Übrigen dagegen behaupten, sie hätten keine Schrift). Bronze gebrauchten sie nur gegossen, nicht getrieben;
16 den Grund hat er nicht angegeben, obwohl er die wunderliche Folge erwähnt dass die Gefäße, wenn sie zu Boden fallen, wie Töpferware zerschellen.

Zu dem über Indien Berichteten gehört auch (FGrHist 721 F 14) dass es dort Brauch ist, die Könige und alle Machthaber und Hochgestellten mit
20 der Gebetsgeste statt mit dem Fußfall zu begrüßen. Das Land bringt auch kostbares Gestein hervor: Bergkristalle und alle möglichen Karfunkel * *, wie die Perlen.

Die Unstimmigkeit der Autoren sei mit dem Beispiel des über Kalanos 68
Berichteten illustriert. Dass er Alexander begleitet hat und freiwillig bei ihm in den Feuertod gegangen ist, darüber sind sie sich einig. Aber über die Art
24 wie und die Gründe weshalb das geschah berichten sie nicht dasselbe, sondern erzählt ein Teil Folgendes. Er habe als Lobpreiser des Königs ihn bis außerhalb der Grenzen Indiens begleitet, was gegen den allgemeinen Brauch der dortigen Philosophen sei (sie stünden nämlich den dortigen Königen als Lenker in Religionssachen zur Seite, wie die Magier den Persern), und als
28 er in Pasargadai erkrankte – es sei das erste Mal gewesen dass ihn eine Krankheit befiel –, habe er sich, dreiundsiebzig Jahre alt, das Leben genommen ohne auf die Bitten des Königs zu hören: es sei ein Scheiterhaufen errichtet und eine goldene Bank darauf gestellt worden; darauf habe er sich gelegt, sich in sein Gewand gehüllt und sich verbrennen lassen. Andere da-
32 gegen sagen, man habe ein hölzernes Haus gebaut, das man mit Laub gefüllt und auf dessen Dach man einen Scheiterhaufen errichtet habe, * * * wie er befohlen hatte, nach der Prozession, mit der er gekommen war, habe er sich hineingestürzt und sei wie ein Balken zusammen mit dem Haus verbrannt.
718 Und Megasthenes sagt (FGrHist 715 F 34 a), bei den Philosophen werde nicht gelehrt sich das Leben zu nehmen, sondern die die das täten würden
4 als Draufgänger betrachtet: die von Natur Harten stürzten sich ins Schwert oder in einen Abgrund, die Bequemen gingen ins Wasser, die Fleißigen erhängten sich und die Feurigen würfen sich ins Feuer; so einer sei auch Kalanos gewesen, ein zügelloser Mensch, der zum Sklaven von Alexanders Tafel
8 geworden war. Er also werde getadelt, Mandanis dagegen gelobt, der, als Alexanders Boten ihn zu dem Sohn des Zeus luden und ihm, wenn er der

υἱὸν πειθομένῳ τε δῶρα ἔσεσθαι ὑπισχνουμένων, ἀπειθοῦντι δὲ κόλασιν,
μήτ' ἐκεῖνον ⟨εἶναι⟩ φαίη Διὸς υἱόν, ὅν γε ἄρχειν μηδὲ πολλοστοῦ μέρους
τῆς γῆς, μήτε αὐτῷ δεῖν τῶν παρ' ἐκείνου δωρεῶν, ὧν οὐδεὶς κόρος, μήτε
12 ἀπειλῆς εἶναι φόβον ᾧ ζῶντι μὲν ἀρκοῦσα εἴη τροφὸς ἡ 'Ινδική, ἀποθανὼν
δὲ ἀπαλλάξοιτο τῆς τετρυχωμένης ὑπὸ γήρως σαρκὸς μεταστὰς εἰς βελτίω
καὶ καθαρώτερον βίον· ὥστ' ἐπαινέσαι τὸν 'Αλέξανδρον καὶ συγχωρῆσαι.

Λέγεται δὲ καὶ ταῦτα παρὰ τῶν συγγραφέων (FGrHist 721 F 15), ὅτι **69**
16 σέβονται μὲν τὸν ὄμβριον Δία 'Ινδοὶ καὶ τὸν Γάγγην ποταμὸν καὶ τοὺς
ἐγχωρίους δαίμονας, ὅταν δὲ βασιλεὺς λούῃ τὴν τρίχα, μεγάλην ἑορτὴν
ἄγουσι καὶ μεγάλα δῶρα πέμπουσι, τὸν ἑαυτοῦ πλοῦτον ἕκαστος ἐπιδεικ-
νύμενος κατὰ ἅμιλλαν. τῶν τε μυρμήκων τινὰς καὶ πτερωτοὺς λέγουσι τῶν
20 χρυσωρύχων. ψήγματά τε χρυσοῦ καταφέρειν τοὺς ποταμούς, καθάπερ τοὺς
'Ιβηρικούς. ἐν δὲ ταῖς κατὰ τὰς ἑορτὰς πομπαῖς πολλοὶ μὲν ἐλέφαντες
πέμπονται χρυσῷ κεκοσμημένοι καὶ ἀργύρῳ, πολλὰ δὲ τέθριππα καὶ βοϊκὰ
ζεύγη, εἶθ' ἡ στρατιὰ κεκοσμημένη· καὶ χρυσώματα δὲ μεγάλων λεβήτων
24 καὶ κρατήρων ὀργυιαίων καὶ τοῦ 'Ινδικοῦ χαλκοῦ * *· καὶ τράπεζαι δὲ
καὶ θρόνοι καὶ ἐκπώματα καὶ λουτῆρες, λιθοκόλλητα τὰ πλεῖστα σμαράγ-
δοις καὶ βηρύλλοις καὶ ἄνθραξιν 'Ινδικοῖς· καὶ ἐσθὴς δὲ ποικίλη χρυσό-
παστος καὶ * * ασοι καὶ παρδάλεις καὶ λέοντες τιθασοὶ καὶ τῶν ποικίλων
28 ὀρνέων καὶ εὐφθόγγων πλῆθος· ὁ δὲ Κλείταρχός φησιν (FGrHist 137 F 20)
ἁμάξας τετρακύκλους δένδρα κομιζούσας τῶν μεγαλοφύλλων, ἐξ ὧν ἀπήρ-

10 addidi **11** μήτε prius Korais: μηδὲ CEF, μὴ δὲ BD δώρων D ᾧ pro ὧν z πόθος pro κόρος? Korais coll. Arrian. An. 7, 2, 3 ('poichè in me non è appetito alcuno' iam verterat anonymus Italicus, Strabone Della Geografia. Tomo III, Roma 1792, 159) δὲ post μήτε post. add. codd.: delevi **12** ἀποθανὼν E (coniecit Korais): -ὸν F, -όντι BCD **13** ἀπαλλάξοιτο Cobet (V. L. 269. Misc. 198), Kontos (BCH 2, 1878, 240): -ξαιτο codd. ὑπὸ Korais, Cobet: ἀπὸ codd. **16** οἱ ante 'Ινδοὶ add. y, ed. pr. **18** βίον pro πλοῦτον D **19** δὲ pro τε? Korais **20** ψῆγμα Bernhardy (D. P. 818) **22** βοεικὰ Cobet ms. **23** τῶν ante μεγάλων add. codd.: delevi **24** ὀργυαίων BF lacunam indicavi duce Groskurd; χαλκοῦ τράπεζαί τε Korais (duce Tifernate, qui *et mensas ex Indico aere* verterat) **25** ἐκπώματα D[s]: ἐκπό- cett. **26** δὲ om. D **27** καὶ spatium 4–5 litt. ασοι DF: καὶ spatium 4–5 litt. σοὶ C, καὶ ἀσοὶ B; καὶ βόνασοι? Tzschucke, ipse reiciens, prob. Groskurd, Kramer; κάρπασοι Cobet ms. τιθασοὶ Meineke: τιθασσοὶ codd. **29 sq.** ἀπήρτηται Schneider (Aeliani de natura animalium libri XVII, Lipsiae 1784, 546): ἀπείργεται codd.

Einladung folgen würde, Geschenke, wenn nicht, Bestrafung in Aussicht
stellten, sagte, erstens sei jener kein Sohn des Zeus, da er nicht einmal einen
Bruchteil der Erde beherrsche; ferner bedürfe er seiner Geschenke nicht,
12 deren man doch nie genug habe, und schließlich habe er keine Furcht vor
Drohungen, da ihn im Leben Indien ausreichend ernähre und sein Tod ihn
von dem vom Alter abgenutzten Fleisch befreien und in ein besseres und rei-
neres Leben befördern werde; Alexander war davon so beeindruckt dass er
ihn lobte und nachgab.

16 Die Autoren erzählen auch (FGrHist 721 F 15) dass die Inder Zeus den **69**
Regenbringer, den Ganges-Fluss und die lokalen Gottheiten verehren und
dass sie, wenn der König sich das Haar wäscht, ein großes Fest veranstalten
und große Geschenke schicken, wobei jeder wetteifert seinen Reichtum zu
20 zeigen. Von den goldgrabenden Ameisen sollen manche auch geflügelt sein,
und ferner sollen die Flüsse, wie die iberischen, Goldkörner herabführen. In
den Aufzügen bei den Festen ziehen viele mit Gold und Silber geschmückte
Elefanten mit, viele Pferdeviergespanne und Rindergespanne, danach die
Armee in vollem Schmuck; auch goldenes Geschirr – große Schüsseln und
24 klaftergroße Mischgefäße – und aus indischer Bronze * *; ferner Tische,
Sessel, Trinkgefäße und Waschbecken, meist besetzt mit Edelsteinen: Sma-
ragd, Beryll und indischen Karfunkeln; auch bunte goldbestickte Gewänder
und * * und zahme Leoparden und Löwen und eine Menge bunter und
28 wohllautender Vögel. Kleitarchos (FGrHist 137 F 20) spricht von vierrädri-
gen Wagen die großblättrige Bäume transportieren, an denen (alle mögli-

τηται γένη τετιθασευμένων ὀρνέων· ὧν εὐφωνότατον μὲν εἴρηκε τὸν ὠρί-
ωνα, λαμπρότατον δὲ κατὰ τὴν ὄψιν καὶ πλείστην ἔχοντα ποικιλίαν τὸν
32 καλούμενον κατρέα· τὴν γὰρ ἰδέαν ταῷ μάλιστα ἐγγίζειν (τὴν δὲ λοιπὴν
εἰκονογραφίαν παρ' ἐκείνου ληπτέον).

Φιλοσόφους τε τοῖς Βραχμᾶσιν ἀντιδιαιροῦνται Πράμνας, ἐριστικούς 70
719C. τινας καὶ ἐλεγκτικούς· | τοὺς δὲ Βραχμᾶνας φυσιολογίαν καὶ ἀστρονομίαν
ἀσκεῖν, γελωμένους ὑπ' ἐκείνων ὡς ἀλαζόνας καὶ ἀνοήτους. τούτων δὲ
τοὺς μὲν ὀρεινοὺς καλεῖσθαι, τοὺς δὲ γυμνήτας, τοὺς δὲ πολιτικοὺς καὶ
4 προσχωρίους. καὶ τοὺς μὲν ὀρεινοὺς δοραῖς ἐλάφων χρῆσθαι, πήρας δ'
ἔχειν ῥιζῶν καὶ φαρμάκων μεστάς, προσποιουμένους ἰατρικὴν μετὰ γοη-
τείας καὶ ἐπῳδῶν καὶ περιάπτων. τοὺς δὲ γυμνήτας κατὰ τοὔνομα γυμ-
νοὺς διαζῆν ὑπαιθρίους τὸ πλέον, καρτερίαν ἀσκοῦντας — ἣν ἔφαμεν πρό-
8 τερον (713, 30–2. 714, 13–8. 715, 8–12) — μέχρις ἑπτὰ ἐτῶν καὶ τριάκοντα·
καὶ γυναῖκας δὲ συνεῖναι μὴ μιγνυμένας αὐτοῖς· τούτους δὲ θαυμάζεσθαι
διαφερόντως. τοὺς δὲ πολιτικοὺς σινδονίτας κατὰ πόλιν ζῆν ἢ καὶ κατ' 71
ἀγρούς, καθημμένους νεβρίδας ἢ δορκάδων δοράς (ὡς δ' εἰπεῖν, Ἰνδοὺς
12 ἐσθῆτι λευκῇ χρῆσθαι καὶ σινδόσι λευκαῖς καὶ καρπάσοις ὑπεναντίως
τοῖς εἰποῦσιν εὐανθέστατα αὐτοὺς ἀμπέχεσθαι φορήματα· κομᾶν δὲ καὶ
πωγωνοτροφεῖν πάντας, ἀναπλεκομένους δὲ μιτροῦσθαι τὰς κόμας).

Ἀρτεμίδωρος δὲ (fr. 109 Stiehle = FGrHist 721 F 5b) τὸν Γάγγην 72
16 φησὶν ἐκ τῶν Ἠμωδῶν ὀρῶν καταφερόμενον πρὸς νότον, ἐπειδὰν κατὰ
Γάγγην γένηται πόλιν, ἐπιστρέφειν πρὸς ἕω μέχρι Παλιβόθρων καὶ τῆς
εἰς τὴν θάλατταν ἐκβολῆς. τῶν δὲ συρρεόντων εἰς αὐτὸν Οἰδάνην τινὰ

719 **16** Eust. *D. P. 404, 9. *Il. 1014, 27

30 an ante vel post γένη aliquid – e. g. παντοῖα – excidit? τετιθασευμένων Meineke: τετιθασσευμένων E, τε τιθασσευομένων cett. **30 sq.** ὀρίωνα $C^{i}D^{pc}F$ **34** δὲ pro τε? Jacoby Σράμνας (i. e. Σαρμᾶνας, cf. 712, 10 comm.) dubitanter P. v. Bohlen (De Buddhaismi origine et aetate definiendis tentamen, Regimontii Pruss. (1827), 34**), confidenter O. Stein (BSOS 7, 1933, 60 = Kl. Schr. [Glasenapp-Stiftung 25], Stuttgart 1985, 330) 719 **4** καὶ BCE: om. DF **8** μέχρις C: μέχρι cett. ἐτῶν E: om. cett. (unde post τριάκοντα add. Korais) ἐτῶν ἑπτὰ καὶ τρ.? Jacoby **9** καὶ BCE: om. DF **10** καὶ om. DE **11** καθημμένους Kramer: καθειμένους codd.; ἐνημμένους z, ἐνημένους ed. pr. **16** Ἠμωδῶν E, Eust.: ἡ- cett. **17** Γάγγην E: τὴν γάγγην cett. **18** τὴν om. E Οἰμάνην? Korais, Ἰομάνην Falconer, Kramer, Διοιδάνην vel Διαρδάνην Müller (1034 ad 612, 21)

chen) Arten gezähmter Vögel aufgehängt sind; davon bezeichnet er als den
wohllautendsten den Orion und als den für das Auge prächtigsten und bun-
32 testen den sogenannten Katreus: komme sein Äußeres doch dem Pfau am
nächsten (den Rest der Schilderung lese man bei ihm selber nach).

Ferner unterscheiden sie bei den Philosophen gegenüber den Brachmanen 70
719 die Pramner, kritische und aggressive Disputierer; die Brachmanen trieben
Naturerklärung und Astronomie und würden von jenen als Aufschneider
und Dummköpfe verlacht. Von diesen werde ein Teil Berg-, ein anderer
4 Nackt- und ein dritter Stadt- und Umlandpramner genannt. Die Bergpram-
ner trügen Hirschfelle und hätten Beutel voller Wurzeln und Heilmittel: sie
nähmen die Heilkunst für sich in Anspruch, die sie in Kombination mit Zau-
berei, Beschwörungen und Amuletten praktizieren. Die Nacktpramner leb-
ten, ihrem Namen entsprechend, ständig nackt, meist unter freiem Himmel,
8 und übten sich in Standhaftigkeit – von der wir schon früher (713, 30–2.
714, 13–8. 715, 8–12) gesprochen haben – bis sie siebenunddreißig Jahre
sind; auch Frauen seien dabei, die nicht mit ihnen schliefen; diese Leute
würden ganz besonders bewundert. Die Stadtpramner lebten, in Musselin 71
gekleidet, in der Stadt oder auch auf dem Lande, wo sie Felle von Kitzen
12 oder Gazellen tragen (im allgemeinen trügen die Inder – im Gegensatz zu
der Behauptung derer die gesagt haben, sie kleideten sich in sehr farben-
prächtige Gewänder – weiße Kleider, weißen Musselin und weißes Leinen;
alle ließen das Haar und den Bart wachsen; das Haar flöchten sie oben zu-
sammen und umwänden es mit einer Kopfbinde).

16 Artemidor sagt (fr. 109 Stiehle = FGrHist 721 F 5 b), der Ganges fließe 72
aus dem Emodon-Gebirge herab nach Süden und biege, wenn er die Stadt
Gange erreicht habe, nach Osten bis nach Palibothra und zu seiner Mün-
dung ins Meer. Von seinen Nebenflüssen nennt er einen Oidanes; es gebe in

καλεῖ. τρέφειν δὲ καὶ κροκοδείλους καὶ δελφῖνας (λέγει δὲ καὶ ἄλλα
20 τινά, συγκεχυμένως δὲ καὶ ἀργῶς· ὧν οὐ φροντιστέον).

Προσθείη δ' ἄν τις τούτοις καὶ τὰ παρὰ τοῦ Δαμασκηνοῦ Νικολάου.
φησὶ γὰρ οὗτος (FGrHist 90 F 100) ἐν Ἀντιοχείᾳ τῇ ἐπὶ Δάφνῃ παρατυχεῖν **73**
τοῖς Ἰνδῶν πρέσβεσιν ἀφιγμένοις παρὰ Καίσαρα τὸν Σεβαστόν. οὓς ἐκ μὲν
24 τῆς ἐπιστολῆς πλείους δηλοῦσθαι, σωθῆναι δὲ τρεῖς μόνους, οὓς ἰδεῖν
φησι, τοὺς δ' ἄλλους ὑπὸ μήκους τῶν ὁδῶν διαφθαρῆναι τὸ πλέον. τὴν δ'
ἐπιστολὴν ἑλληνίζειν, ἐν διφθέρᾳ γεγραμμένην, δηλοῦσαν ὅτι Πῶρος εἴη
ὁ γράψας, ἑξακοσίων δὲ ἄρχων βασιλέων ὅμως περὶ πολλοῦ ποιοῖτο φίλος
28 εἶναι Καίσαρι καὶ ἕτοιμος εἴη δίοδόν τε παρέχειν, ὅπῃ βούλεται, καὶ
συμπράττειν ὅσα καλῶς ἔχοι. ταῦτα μὲν ἔφη λέγειν τὴν ἐπιστολήν. τὰ δὲ
κομισθέντα δῶρα προσενεγκεῖν ὀκτὼ οἰκέτας γυμνοὺς ἐν περιζώμασι, κατα-
πεπασμένους ἀρώμασιν· εἶναι δὲ τὰ δῶρα τόν τε Ἑρμᾶν ἀπὸ τῶν ὤμων
32 ἀφῃρημένον ἐκ νηπίου τοὺς βραχίονας — ὃν καὶ ἡμεῖς εἴδομεν — καὶ
ἐχίδνας μεγάλας καὶ ὄφιν πηχῶν δέκα καὶ χελώνην ποταμίαν τρίπηχυν
καὶ πέρδικα δὲ μείζω γυπός. συνῆν δέ, ὥς φασι, καὶ ὁ Ἀθήνησι κατακαύ-
720C. σας ἑαυτόν· | ποιεῖν δὲ τοῦτο τοὺς μὲν ἐπὶ κακοπραγίᾳ, ζητοῦντας ἀπαλ-
λαγὴν τῶν παρόντων, τοὺς δ' ἐπ' εὐπραγίᾳ, καθάπερ τοῦτον· ἅπαντα γὰρ
κατὰ γνώμην πράξαντα μέχρι νῦν ἀπιέναι δεῖν, μή τι τῶν ἀβουλήτων χρο-
4 νίζοντι συμπέσοι· καὶ δὴ καὶ γελῶντα ἁλέσθαι γυμνὸν λίπ' ἀληλιμμένον
ἐν περιζώματι ἐπὶ τὴν πυράν· ἐπιγεγράφθαι δὲ τῷ τάφῳ 'Ζαρμανοχήγας
Ἰνδὸς ἀπὸ Βαργόσης κατὰ τὰ πάτρια Ἰνδῶν ἔθη ἑαυτὸν ἀπαθανατίσας
⟨ἐνθάδε⟩ κεῖται'.

19 καλεῖ Casaubonus: -εῖν codd. 20 δὲ om. D 28 εἴη BF: εἶναι D, om. C
29 ἔχει q[i]x, ed. pr. φησι pro ἔφη? vide comm. 34 καὶ πέρδικα δὲ D: πέρδικα δὲ
cett.; πέρδικά τε xz φησι Korais, fort. recte 720 2 τῶν παρόντων om. C
3 ⟨φάναι⟩ δεῖν? 4 ἁλέσθαι Kramer: ἄλλεσθαι BD, ἅλεσθαι C, ἄδεσθαι F λίπ' ἀλη-
λιμμένον Meineke (Vind. 223): ἐπαληλιμμένον D (coniecit Korais), ἐπαληλειμμένον B,
ἐπαληλειμένον C, ἐπαλιλειμμένον F; λίπα ἀληλιμμένον? Kramer 5 Ζαρμανοχήγας
BCD: -χηγὰς F; Ζάρμαρος Χήγας Hemsterhuis ms. 6 βαργώσης D; Βαρυγάσης
(-γάζης)? Müller (1034 ad 612, 50) ἀπαθανατίσας BD^{pc} qx: ἀπαθανατήσας C, ἀποθα-
νατίσας F (prob. Müller 1034 ad 612, 51), ἀπαναθανατίσας D^{ac} 7 add. v. Herwer-
den (453)

20 ihm auch Krokodile und Delphine (er sagt auch noch einiges Andere, aber
verworren und flüchtig; das braucht nicht berücksichtigt zu werden).

Dem darf man wohl auch hinzufügen was der Damaskener Nikolaos er-
zählt. Er sagt nämlich (FGrHist 90 F 100), er sei in Antiocheia bei Daphne **73**
dabei gewesen als die zu Caesar Augustus geschickten indischen Gesandten
24 eingetroffen seien. Ihre Zahl habe der Brief höher angegeben, doch seien
nur noch drei am Leben gewesen, die er gesehen habe; die übrigen seien
hauptsächlich durch die Länge der Strecken zu Tode gekommen. Der Brief
sei in griechischer Sprache abgefasst und auf Leder geschrieben gewesen
und habe besagt dass der Schreibende Poros sei, der, obwohl er über sechs-
28 hundert Könige herrsche, trotzdem hohen Wert darauf lege, Caesar ein
Freund zu sein, und bereit sei ihm, wo er wolle, Durchzug zu gewähren und
bei allem mitzuwirken was ehrenhaft sei. Dies, sagte er, habe in dem Brief
gestanden. Die mitgebrachten Geschenke hätten acht nackte Diener, in
Lendenschurz und mit Spezereien bestäubt, herangetragen; es seien gewe-
32 sen: der Hermas, dem in frühester Kindheit die Arme an den Schultern ab-
genommen worden waren — den auch wir gesehen haben —, große Nattern,
eine zehn Ellen lange Schlange, eine drei Ellen große Flußschildkröte und
auch ein Rebhuhn das größer war als ein Geier. Dabei war, sagt man, auch
720 der Mann der in Athen sich selbst verbrannt hat; dies täten Manche bei
Misserfolg, indem sie Erlösung aus ihrer Situation suchen, Andere dagegen
bei gutem Gelingen, wie dieser: denn nachdem bis jetzt alles für ihn nach
Wunsch verlaufen sei, müsse er aus dem Leben scheiden, damit ihm nicht,
4 wenn er noch länger bliebe, etwas Unerwünschtes zustoße; und so soll er
denn auch lachend, nackt und gesalbt im Lendenschurz auf den Scheiter-
haufen gesprungen sein; auf seinem Grab stehe geschrieben: 'Zarmanoche-
gas der Inder aus Bargosa liegt hier, nachdem er sich, den herkömmlichen
Gebräuchen der Inder gemäß, unsterblich gemacht'.

8 Μετὰ δὲ τὴν Ἰνδικήν ἐστιν ἡ Ἀριανή, μερὶς πρώτη τῆς ὑπὸ Πέρσαις 1 2
τῆς μετὰ τὸν Ἰνδὸν ποταμὸν καὶ τῶν ἄνω σατραπειῶν τῶν ἐκτὸς τοῦ Ταύ-
ρου, τὰ μὲν νότια καὶ τὰ ἀρκτικὰ μέρη τῇ αὐτῇ θαλάττῃ καὶ τοῖς αὐτοῖς
ὄρεσιν ἀφοριζομένη οἷσπερ καὶ ἡ Ἰνδική, καὶ τῷ αὐτῷ ποταμῷ τῷ Ἰνδῷ,
12 μέσον ἔχουσα αὐτὸν ἑαυτῆς τε καὶ τῆς Ἰνδικῆς, ἐντεῦθεν δὲ πρὸς τὴν
ἑσπέραν ἐκτεινομένη μέχρι τῆς ἀπὸ Κασπίων πυλῶν εἰς Καρμανίαν γραφο-
μένης γραμμῆς, ὥστε εἶναι τετράπλευρον τὸ σχῆμα. τὸ μὲν οὖν νότιον
πλευρὸν ἀπὸ τῶν ἐκβολῶν ἄρχεται τοῦ Ἰνδοῦ καὶ τῆς Παταληνῆς, τελευτᾷ
16 δὲ πρὸς Καρμανίαν καὶ τοῦ Περσικοῦ κόλπου τὸ στόμα, ἄκραν ἔχον ἐκκει-
μένην ἱκανῶς πρὸς νότον· εἶτα εἰς τὸν κόλπον λαμβάνει καμπὴν ὡς ἐπὶ
τὴν Περσίδα. οἰκοῦσι δὲ Ἄρβιες πρῶτον, ὁμώνυμοι ποταμῷ Ἄρβει τῷ ὁρί-
ζοντι αὐτοὺς ἀπὸ τῶν ἑξῆς Ὠρειτῶν, ὅσον χιλίων σταδίων ἔχοντες παρα-
20 λίαν, ὥς φησι Νέαρχος (FGrHist 133 F 24)· Ἰνδῶν δ' ἐστὶ μερὶς καὶ αὕτη.
εἶτ' Ὠρεῖται, ἔθνος αὐτόνομον· τούτων δ' ὁ παράπλους χιλίων ὀκτακοσίων,
ὁ δὲ τῶν ἑξῆς Ἰχθυοφάγων ἑπτακισχίλιοι τετρακόσιοι, ὁ δὲ τῶν Καρμανίων
τρισχίλιοι ἑπτακόσιοι μέχρι Περσίδος· ὥσθ' οἱ σύμπαντες μύριοι δισχί-
24 λιοι ἐννακόσιοι.

Ἁλιτενὴς δ' ἐστὶν ἡ τῶν Ἰχθυοφάγων καὶ ἄδενδρος ἡ πλείστη πλὴν φοι- 2
νίκων καὶ ἀκάνθης τινὸς καὶ μυρίκης· καὶ ὑδάτων δὲ καὶ τροφῆς ἡμέρου
σπάνις, τοῖς δ' ἰχθύσι χρῶνται καὶ αὐτοὶ καὶ τὰ θρέμματα καὶ τοῖς ὀμ-
28 βρίοις ὕδασι καὶ ὀρυκτοῖς· καὶ τὰ κρέα δὲ τῶν θρεμμάτων ἰχθύων προσ-
βάλλει. οἰκήσεις δὲ ποιοῦνται τοῖς ὀστέοις τῶν κητῶν χρώμενοι καὶ κόγ-
χοις ὀστρέων τὸ πλέον, δοκοῖς μὲν ταῖς πλευραῖς καὶ ὑπερείσμασι, θυρώ-
μασι δὲ ταῖς σιαγόσιν. οἱ σπόνδυλοι δ' αὐτοῖς εἰσιν ὅλμοι, ἐν οἷς πτίτ-
32 τουσι τοὺς ἰχθύας ἐν ἡλίῳ κατοπτήσαντες· εἶτ' ἀρτοποιοῦνται σίτου μικρὰ

8–22 Eust. D. P. 399, 4–7 **13** St. B. 360, 3 **16** St. B. 360, 3 **18 sq.** St. B. 710, 9 sq. Eust. D. P. 398, 31–3 **20 sq.** St. B. 710, 10 sq. **21** Eust. D. P. 398, 33 sq.

9 σατραπειῶν DE: -πιῶν cett. **18** ἄραβες E, ἀράβιες Eust. B τῷ ante ποταμῷ add. F **19** ὠριτῶν St. B. ed. Aldina, Eust. **20** αὐτή D μερίς post αὕτη collocat St. B. **21** Ὠρῖται Salmasius (Plin. exerc. 1176 B) (cf. Eust.) αὐτόνομον ἔθνος E ,αχ´ E **22** ἑπτακισχιλίων τετρακοσίων? **23** τρισχιλίων ἑπτακοσίων? ξύμπαντες F **23 sq.** τρισχίλιοι Falconer ('dreyzehntausend' iam vertit Penzel) **24** ἑνα- C **25** πλὴν E (coniecerunt z[s], Tyrwhitt [40]): om. cett. **26** ἀκανθων (sic) τινῶν D **27** καὶ primum om. D τὰ D: om. cett. **31** ὅλμοι F: ὄλμοι E, ὀλμοί CD, ὀλμοί B **31 sq.** πτίττουσι Meineke: πτίσσουσι E (coniecerunt z[s], Plan., Casaubonus), πίττουσι BCD, πίπτουσι F **32** σῖτα E

8 Nach Indien kommt die Ariane, das erste Stück des den Persern unterste- 1 2
henden Gebietes nach dem Indus-Fluss und der Satrapien im Binnenland
jenseits des Tauros; im Süden und im Norden wird sie von demselben Meer
12 und demselben Gebirge begrenzt wie Indien und von demselben Fluss, dem
Indus, den sie zwischen sich und Indien hat, und von dort erstreckt sie sich
westwärts bis zu der vom Kaspischen Tor nach Karmanien gezogenen Linie,
so dass sie eine Figur mit vier Seiten bildet. Die Südseite fängt bei der Mün-
16 dung des Indus und Patalene an und endet bei Karmanien und dem Eingang
des Persischen Golfs, wo sie eine ziemlich weit nach Süden hinausragende
Landspitze hat; dann biegt sie in den Golf ein nach Persien hin. Es wohnen
dort zuerst die Arbier – sie haben denselben Namen wie der Fluss Arbis,
der sie von den anschließenden Oreitern trennt – auf einem Küstenstrich
20 von etwa tausend Stadien, wie Nearchos (FGrHist 133 F 24) sagt; auch die-
ses Stück gehört den Indern. Dann kommen die Oreiter, ein selbständiges
Volk; ihre Küste misst eintausendachthundert, die der anschließenden
Fischesser siebentausendvierhundert, die der Karmanier dreitausendsieben-
24 hundert bis Persien; zusammen also zwölftausendneunhundert.

Das Land der Fischesser liegt auf Meereshöhe und ist größtenteils baum- 2
los, abgesehen von Dattelpalmen, einem Dorngewächs und Tamarisken;
auch an Wasser und angebauter Nahrung ist Mangel: sie leben – selber so-
28 wohl als ihr Vieh – von den Fischen und von Regen- und Grubenwasser;
auch das Fleisch ihres Viehs riecht nach Fisch. Zum Bau ihrer Wohnungen
benutzen sie hauptsächlich die Knochen der Meeresungeheuer und Austern-
schalen: als Balken und Stützen die Rippen, als Türpfosten die Kiefer. Die
32 Wirbel dienen ihnen als Mörser, in denen sie die in der Sonne gebackenen
Fische zerstoßen; dann bereiten sie Brot daraus, nachdem sie etwas Mehl

721C. καταμίξαντες | (καὶ γὰρ μύλοι αὐτοῖς εἰσι σιδήρου μὴ ὄντος· καὶ τοῦτο μὲν ἧττον θαυμαστόν — καὶ γὰρ ἄλλοθεν ἐνέγκασθαι δυνατόν —, ἀλλὰ πῶς ἐπικόπτουσιν ἀποτριβέντα⟨ς⟩· λίθοις μέντοι φασίν, οἷς καὶ τὰ βέλη καὶ τὰ
4 ἀκοντίσματα πεπυρακτωμένα ἀποξύνουσι). τοὺς δ' ἰχθύας τοὺς μὲν ἐν κλιβάνοις κατοπτῶσι, τοὺς δὲ πλείστους ὠμοφαγοῦσι· περιβάλλονται δὲ δικτύοις φλοιοῦ φοινικίνου.

3 Ὑπέρκειται δὲ τούτων ἡ Γεδρωσία, τῆς μὲν Ἰνδικῆς ἧττον ἔμπυρος,
8 τῆς δ' ἄλλης Ἀσίας μᾶλλον, καὶ τοῖς καρποῖς καὶ τοῖς ὕδασιν ἐνδεὴς πλὴν θέρους, οὐ πολὺ ἀμείνων τῆς τῶν Ἰχθυοφάγων, ἀρωματοφόρος δὲ νάρδου μάλιστα καὶ σμύρνης, ὥστε τὴν Ἀλεξάνδρου στρατιὰν ὁδεύουσαν ἀντὶ ὀρόφου καὶ στρωμάτων τούτοις χρῆσθαι, εὐωδιαζομένην ἅμα καὶ ὑγιεινότερον
12 τὸν ἀέρα ἔχουσαν παρὰ τοῦτο. γενέσθαι δ' αὐτοῖς θέρους τὴν ἐκ τῆς Ἰνδικῆς ἄφοδον ἐπίτηδες συνέβη· τότε γὰρ ὄμβρους ἔχειν τὴν Γεδρωσίαν καὶ τοὺς ποταμοὺς πληροῦσθαι καὶ τὰ ὑδρεῖα, χειμῶνος δ' ἐπιλείπειν· πίπτειν δὲ τοὺς ὄμβρους ἐν τοῖς ἄνω μέρεσι τοῖς προσαρκτίοις καὶ ἐγγὺς τῶν
16 ὀρῶν, πληρουμένων δὲ τῶν ποταμῶν καὶ τὰ πεδία τὰ πλησιάζοντα τῇ θαλάττῃ ποτίζεσθαι καὶ ὑδρείων εὐπορεῖν· προέπεμψε δ' εἰς τὴν ἔρημον μεταλλευτὰς τῶν ὑδρείων ὁ βασιλεὺς καὶ τοὺς ναύσταθμα αὐτῷ καὶ τῷ στόλῳ κατασκευάσοντας.

4 20 Τριχῇ γὰρ διελὼν τὰς δυνάμεις τῇ μὲν αὐτὸς ὥρμησε διὰ τῆς Γεδρωσίας ἀφιστάμενος τῆς θαλάττης τὸ πλεῖστον πεντακοσίους σταδίους, ἵν' ἅμα καὶ τῷ ναυτικῷ τὴν παραλίαν ἐπιτηδείαν παρασκευάζοι, πολλάκις δὲ καὶ συνάπτων τῇ θαλάττῃ καίπερ ἀπόρους καὶ τραχείας ἐχούσῃ τὰς
24 ἀκτάς. τὴν δὲ προέπεμψε μετὰ Κρατεροῦ διὰ τῆς μεσογαίας ἅμα χειρούμενόν τε τὴν Ἀριανὴν καὶ προϊόντα ἐπὶ τοὺς αὐτοὺς τόπους ἐφ' οὓς Ἀλέξανδρος τὴν πορείαν εἶχε. τὸ δὲ ναυτικὸν Νεάρχῳ καὶ Ὀνησικρίτῳ τῷ ἀρχικυβερνήτῃ παραδοὺς ἐκέλευσεν οἰκείας στάσεως ἐπιλαμβανομένους ἐπα-
28 κολουθεῖν καὶ ἀντιπαραπλεῖν αὐτοῦ τῇ πορείᾳ. καὶ δὴ καί φησιν ὁ Νέαρχος 5 (FGrHist 133 F 1 a [p. 684]) ἤδη τοῦ βασιλέως τελοῦντος τὴν ὁδὸν αὐτὸς

9–11 *Eust. D. P. 397, 32–5

3 add. Korais βέλη καὶ τὰ om. E 4 ⟨τὰ⟩ πεπυρ. Korais 5 δὲ post. z: δὲ καὶ BCDEF 11 εὐωδιαζομένην D[s]: εὐωδιζ- cett. 19 κατασκευάσοντας F: -σαντας cett. 21 θαλάσσης D 23 ἐχούσῃ Tzschucke: -σης codd. 24 sq. χειρουμένου … προϊόντος Groskurd 26 Νεάρχῳ z[mg], Xylander: νάρῳ BCDF 28 δή {καί}? Korais

721 darunter gemischt haben (sie haben nämlich Mühlen, obwohl es kein Eisen bei ihnen gibt; das ist freilich nicht so erstaunlich – denn es ist ja möglich dass sie sie sich von woanders beschafft haben –, wohl aber, wie sie sie, wenn sie abgenutzt sind, nachschärfen können; sie sollen es mit Steinen ma-
4 chen, mit denen sie auch ihre Pfeile und Speere, wenn sie im Feuer gehärtet sind, anspitzen). Die Fische backen sie zum Teil in Backöfen, die meisten aber essen sie roh; sie fangen sie in Netzen aus Dattelpalmenbast.

3 Oberhalb von ihnen liegt Gedrosien, weniger heiß als Indien, aber heißer
8 als das übrige Asien, ohne Früchte und Wasser, außer im Sommer; es ist nicht viel besser als das Land der Fischesser, bringt aber Spezereien, besonders Narde und Myrrhe, hervor, so dass Alexanders Heer auf seinem Durchzug sie als Dach und Lager benutzte und dadurch nicht nur in Wohl-
12 geruch gehüllt wurde sondern auch gesündere Luft atmete. Dass der Abzug aus Indien im Sommer stattfand, geschah absichtlich: dann nämlich sollte es in Gedrosien regnen und die Flüsse und die Wasserstellen sich füllen, im Winter dagegen versiegen; der Regen falle in den oberen, nördlichen, nahe
16 am Gebirge gelegenen Gegenden, und wenn die Flüsse sich füllten, würden auch die Ebenen in der Nähe des Meeres bewässert und seien reich an Wasserstellen; der König hatte Gräber der Wasserstellen in die Wüste vorausgeschickt, sowie Leute die Schiffsstationen für ihn und die Flotte einrichten sollten.

4 20 Er hatte nämlich seine Streitkräfte dreigeteilt. Mit dem einen Teil zog er selber durch Gedrosien, wobei er sich höchstens fünfhundert Stadien vom Meer entfernte um gleichzeitig auch den Küstenstrich für die Flotte benutzbar zu machen, und oft auch direkt ans Meer kam, obwohl es unwegsame
24 und rauhe Steilufer hatte. Den zweiten schickte er mit Krateros durch das Binnenland voraus: er sollte, gleichzeitig die Ariane unterwerfend, zu derselben Gegend vorausziehen zu der auch Alexanders Marsch ging. Die Flotte übergab er Nearchos und dem Obersteuermann Onesikritos mit dem
28 Auftrag, wenn geeigneter Wind einträte, ihm zu folgen und parallel zu seiner Marschroute an der Küste entlang zu schiffen. Und so berichtet denn 5 Nearchos (FGrHist 133 F 1 a [p. 684]) dass, als der König seinen Marsch

μετοπώρου κατὰ Πλειάδος ἐπιτολὴν ἑσπερίαν ἄρξασθαι τοῦ πλοῦ, μήπω μὲν
τῶν πνευμάτων οἰκείων ὄντων, τῶν δὲ βαρβάρων ἐπιχειρούντων αὐτοῖς καὶ
32 ἐξελαυνόντων (καταθαρρῆσαι γὰρ ἀπελθόντος τοῦ βασιλέως καὶ ἐλευθερι-
άσαι). Κρατερὸς δ' ἀπὸ τοῦ Ὑδάσπου ἀρξάμενος δι' Ἀραχωτῶν ᾔει καὶ Δραγ-
γῶν εἰς Καρμανίαν. πολλὰ δ' ἐταλαιπώρει ὁ Ἀλέξανδρος καθ' ὅλην τὴν ὁδὸν
722C. διὰ λυπρᾶς ἰών· | πόρρωθεν δ' ὅμως ἐπεχορηγεῖτο μικρὰ καὶ σπάνια, ὥστε
λιμώττειν τὸ στράτευμα· καὶ τὰ ὑποζύγια ⟨δ'⟩ ἐπέλιπε καὶ τὰ σκεύη κατ-
ελείπετο ἐν ταῖς ὁδοῖς καὶ τοῖς στρατοπέδοις· ἀπὸ δὲ τῶν φοινίκων ἦν
4 ἡ σωτηρία, τοῦ τε καρποῦ καὶ τοῦ ἐγκεφάλου (φησὶ δὲ [FGrHist 133 F 3]
φιλονικῆσαι τὸν Ἀλέξανδρον καίπερ εἰδότα τὰς ἀπορίας πρὸς τὴν κατέχου-
σαν δόξαν ὡς Σεμίραμις μὲν ἐξ Ἰνδῶν φεύγουσα σωθείη μετὰ ἀνδρῶν ὡς
εἴκοσι, Κῦρος δὲ ἑπτά, εἰ δύναιτο αὐτὸς τοσοῦτο στράτευμα διασῶσαι διὰ
8 τῆς αὐτῆς χώρας νικῶν καὶ ταῦτα).

6 Πρὸς δὲ τῇ ἀπορίᾳ χαλεπὸν ἦν καὶ τὸ καῦμα καὶ τὸ βάθος τῆς ψάμμου
καὶ ἡ θερμότης, ἔστι δ' ὅπου καὶ θῖνες ὑψηλοί, ὥστε πρὸς τῷ δυσχερῶς
ἀναφέρειν τὰ σκέλη, καθάπερ ἐκ βυθοῦ, καὶ ἀναβάσεις εἶναι καὶ καταβά-
12 σεις. ἀνάγκη δ' ἦν καὶ σταθμοὺς ποιεῖσθαι μακροὺς διὰ τὰ ὑδρεῖα — δια-
κοσίων καὶ τετρακοσίων σταδίων, ἔστι δ' ὅτε καὶ ἑξακοσίων — νυκτοπο-
ροῦντας τὸ πλέον. πόρρω δὲ τῶν ὑδρείων ἐστρατοπεδεύοντο (ἐν τριάκοντα
σταδίοις πολλάκις) τοῦ μὴ ἐμφορεῖσθαι καταδίψους· πολλοὶ γὰρ ἐμπίπ-
16 τοντες σὺν ὅπλοις ἔπινον * * * ὡς ἂν ὑποβρύχιοι, φυσώμενοι δ' ἐπέπλεον
ἐκπεπνευκότες καὶ τὰ ὑδρεῖα βραχέα ὄντα διέφθειρον. οἱ δ' ἐν τῷ ἡλίῳ
κατὰ μέσην τὴν ὁδὸν ἀπηγορευκότες ἔκειντο ὑπὸ δίψους, ἔπειτα τρομώδεις
μετὰ παλμοῦ χειρῶν καὶ σκελῶν ἔθνησκον παραπλησίως ὡς ἂν ὑπὸ ῥίγους
20 καὶ φρίκης ἐχόμενοι. συνέβαινε δέ τισι καὶ ἐκτραπομένοις τὴν ὁδὸν κατα-
δαρθεῖν κρατουμένοις ὑπὸ ὕπνου καὶ κόπου· ὑστερήσαντες δ' οἱ μὲν ἀπώ-
λοντο πλάνῃ τῶν ὁδῶν καὶ ὑπὸ ἀπορίας ἁπάντων καὶ καύματος, οἱ δ' ἐσώ-
θησαν πολλὰ ταλαιπωρήσαντες. πολλὰ δὲ κατέκλυσε καὶ τῶν σωμάτων καὶ

33 sq. St. B. 238, 3   34 St. B. 360, 3

30 ἅψασθαι D   722 1 ὁμοίως Korais   2 add. Korais   3 sq. κατελείπετο D[ac] (coniecit Korais): -λίπετο cett.   4 φησὶ Korais: φασὶ codd.   5 φιλονικῆσαι z: φι-λονει- BCDF   6 μὲν om. D   7 Κῦρος D: κύ- BCEF   τοσοῦτον qxyz   10 τῷ Korais: τὸ codd.   15 καταδίψους D qx: κατὰ δίψους BCF; κατὰ τὸ δίψος z, ed. pr., κατὰ δίψος Kramer   16 nonnulla excidisse coniecit v. Herwerden (453): καὶ ἦσαν pro ὡς ἂν Korais, ἕως ἦσαν Groskurd   17 διέφθειραν C   19 ὑπὸ xyz, ed. pr.: om. BCDFq   19 sq. ὡς ἂν ῥίγει καὶ φρίκῃ? cf. ad 19   23 ταλαιπωρήσαντες D: -ηθέντες cett.

bereits beendete, er selber im Herbst beim Abendaufgang der Pleiaden die
Fahrt begonnen habe; die Winde seien zwar noch nicht geeignet gewesen,
32 aber die Barbaren hätten sie angegriffen und vertrieben (sie hätten nämlich
durch den Abzug des Königs Mut bekommen und sich frei gefühlt). Krate-
ros zog, angefangen am Hydaspes, durch das Gebiet der Arachoter und der
Dranger nach Karmanien. Alexander hatte viele Strapazen zu ertragen, da
722 er während seines ganzen Marsches durch karges Land zog; zwar wurde er
von weither mit Lebensmitteln versehen, aber es war so wenig und geschah
so selten dass das Heer Hunger litt; auch die Lasttiere gingen ihnen aus,
und das Gepäck musste unterwegs und in den Lagern zurückgelassen wer-
4 den; ihre Rettung waren die Dattelpalmen, nicht nur die Früchte sondern
auch das Gehirn (er sagt [FGrHist 133 F 3], Alexander habe sich, obwohl
er von dem Nahrungsmangel wusste, von dem herrschenden Glauben her-
ausfordern lassen dass Semiramis sich auf der Flucht aus Indien mit etwa
zwanzig, Kyros mit sieben Mann gerettet habe: er wollte sehen ob es ihm
8 selber gelingen würde ein so zahlreiches Heer wohlbehalten, und dazu noch
als Sieger, durch dasselbe Land zu bringen).

6 Außer dem Nahrungsmangel war auch die brennende Sonne beschwer-
lich, sowie die Tiefe und die Hitze des Sandes; manchmal gab es auch hohe
Dünen, so dass man außer dem schweren Anheben der Beine, wie aus einem
12 tiefen Loch, auch noch hinauf- und hinabsteigen musste. Auch war es wegen
der Wasserstellen nötig, lange Etappen zu machen – zwei- und vierhun-
dert, manchmal sogar sechshundert Stadien –, wobei sie meistens nachts
marschierten. Sie lagerten fern von den Wasserstellen (oft dreißig Stadien
entfernt), damit sie sich, durstig wie sie waren, nicht zu voll trinken würden:
16 stürzten sich doch Viele mitsamt ihrer Waffen hinein und tranken * * * wie
unter Wasser, und wenn dann das Leben aus ihnen entwichen war, schwam-
men sie aufgedunsen auf der Oberfläche und verdarben die Wasserstellen,
die nicht tief waren. Andere blieben, erschöpft durch den Durst, mitten auf
dem Weg in der Sonne liegen und starben dann zitternd und mit Zuckung
20 von Armen und Beinen, als wären sie von Fieberfrost befallen. Manchen ge-
schah es auch dass sie abseits vom Wege, von Schlaf und Ermüdung über-
mannt, einschliefen; wenn sie so den Anschluss an die Anderen verloren hat-
ten, gingen sie teils, wenn sie sich verirrten, durch den Mangel an allem und
die Hitze zugrunde, teils kamen sie nach vielen Strapazen mit dem Leben

24 τῶν χρηστηρίων ἐπιπεσὼν χειμάρρους νύκτωρ (καὶ τῆς βασιλικῆς δὲ κατα-
σκευῆς ἐξηλείφθη πολλή). καὶ τῶν καθοδηγῶν δὲ κατ' ἄγνοιαν πολὺ εἰς τὴν
μεσόγαιαν ἐκτραπομένων, ὥστε μηκέτι ὁρᾶν τὴν θάλατταν, συνεὶς ὁ βασι-
λεὺς ἐξαυτῆς ὥρμησε ζητήσων τὴν ἠϊόνα, καὶ ἐπειδὴ εὗρε καὶ ὀρύξας
28 εἶδεν ὕδωρ πότιμον, μεταπέμπεται τὸ στρατόπεδον· καὶ λοιπὸν μέχρι ἡμε-
ρῶν ἑπτὰ πλησίον ᾔει τῆς ἠϊόνος εὐπορῶν ὑδρείας, ἔπειτ' αὖθις εἰς τὴν
μεσόγαιαν ἀνεχώρησεν.

Ἦν δέ τι ὅμοιον τῇ δάφνῃ φυτόν, οὗ τὸ γευσάμενον τῶν ὑποζυγίων 7
32 ἀπέθνησκε μετὰ ἐπιληψίας καὶ ἀφροῦ. ἄκανθα δὲ τοὺς καρποὺς ἐπὶ γῆς
723C. κεχυμένη, καθάπερ οἱ σίκυοι, πλήρης | ἦν ὀποῦ· τούτου δὲ ῥανίδες εἰς
ὀφθαλμὸν ἐμπεσοῦσαι πᾶν ἀπετύφλουν ζῷον. οἵ τε ὠμοὶ φοίνικες ἔπνιγον
πολλούς. ἦν δὲ κίνδυνος καὶ ἀπὸ τῶν ὄφεων· ἐν γὰρ τοῖς θισὶν ἐπεφύκει
4 βοτάνη, ταύτῃ δ' ὑποδεδυκότες ἐλάνθανον, τοὺς δὲ πληγέντας ἀπέκτεινον.
ἐν δὲ τοῖς Ὠρείταις τὰ τοξεύματα χρίεσθαι θανασίμοις φαρμάκοις ἔφασαν,
ξύλινα ὄντα καὶ πεπυρακτωμένα, τρωθέντα δὲ Πτολεμαῖον κινδυνεύειν· ἐν
ὕπνῳ δὲ παραστάντα τινὰ τῷ Ἀλεξάνδρῳ δεῖξαι ῥίζαν αὐτόπρεμνον, ἣν κε-
8 λεῦσαι τρίβοντα ἐπιτιθέναι τῷ τρωθέντι· ἐκ δὲ τοῦ ὕπνου γενόμενον με-
μνημένον τῆς ὄψεως εὑρεῖν ζητοῦντα τὴν ῥίζαν πολλὴν πεφυκυῖαν καὶ
χρήσασθαι καὶ αὐτὸν καὶ τοὺς ἄλλους· ἰδόντας δὲ τοὺς βαρβάρους εὑρη-
μένον τὸ ἀλέξημα ὑπηκόους γενέσθαι τῷ βασιλεῖ (εἰκὸς δέ τινα μηνῦσαι
12 τῶν εἰδότων· τὸ δὲ μυθῶδες προσετέθη κολακείας χάριν). ἐλθὼν δ' εἰς τὸ
βασίλειον τῶν Γεδρωσίων ἑξηκοσταῖος ἀπὸ Ὥρων διαναπαύσας τὰ πλήθη
μικρὸν ἀπῆρεν εἰς τὴν Καρμανίαν.

Τὸ μὲν δὴ νότιον τῆς Ἀριανῆς πλευρὸν τοιαύτην τινα ἔχει τὴν τῆς 8
16 παραλίας διάθεσιν καὶ τῆς ὑπερκειμένης πλησίον γῆς τῆς τῶν Γεδρωσίων
καὶ Ὠρειτῶν. πολλὴ δ' ἐστὶ καὶ εἰς τὴν μεσόγαιαν ἀνέχουσα καὶ ἡ Γεδρω-
σία μέχρι τοῦ συνάψαι Δράγγαις τε καὶ Ἀραχωτοῖς καὶ Παροπαμισάδαις.

723 14 St. B. 360, 3 **18** St. B. 238, 3. Eust. D. P. 398, 45–399, 2

25 δὲ C: τε cett.; an delendum? **26** μεσόγαιαν q: μεσογαῖαν B, μεσογαίαν cett. ἐκ-
τρεπ- F ὃ ante συνεὶς add. codd.: del. Korais **27** ᾐόνα Meineke **29** ᾐόνος
Meineke **30** μεσόγαιαν q: μεσογαῖαν B, μεσογαίαν cett. **32** τε pro δὲ z γῆς F:
τῆς γῆς cett. **33** κεχυμένη F[t]: ἐστρωμμένη F[mg], ἐστρωμένη cett. 723 **4** ἀπέκτεινον
Korais: -έκτενον C, -έκτεννον cett.; -έκτανον Hopper **5** Ὠρίταις Salmasius (Plin.
exerc. 1176 B) **13** Ὥρων D: ὥρων F, ὡρῶν BC; ὠρειτῶν x, Ὠριτῶν Tzschucke
15 τὴν om. E **16** τῆς post. om. D **17** τῶν ante Ὠρειτῶν add. E Ὠριτῶν Sal-
masius (Plin. exerc. 1176 B) πολὺ? Korais μεσόγαιαν q: μεσογαίαν DF, μεσογαῖαν
BCE {καὶ} ἡ? **18** ἀραχώτοις F, ἀραχώταις E

24 davon. Viele Menschen und Gebrauchsgegenstände schwemmte auch ein
Gießbach fort, der sie nachts überfiel (auch ein großer Teil der königlichen
Ausrüstung wurde dabei vernichtet). Und als auch die Führer aus Unkunde
so weit ins Binnenland abgewichen waren dass man das Meer nicht mehr
sah, ging der König, dem das klar geworden war, sofort auf die Suche nach
der Küste, und als er sie gefunden hatte und in einer Grube, die er graben
28 ließ, trinkbares Wasser sah, ließ er die Armee nachkommen; darauf zog er
sieben Tage lang dicht an der Küste weiter, wo es reichlich Wasser gab, und
ging dann wieder hinauf ins Binnenland.

Es gab ein lorbeerähnliches Gewächs, an dem die Zugtiere, wenn sie da- 7
32 von gefressen hatten, mit einem Epilepsieanfall und Schaum starben. Und
ein Dorngewächs, dessen Früchte wie Gurken am Boden lagen, war voller
723 Milchsaft: wenn davon Tropfen ins Auge spritzten, machten sie jedes Lebe-
wesen blind. Ferner brachten die unreifen Datteln Vielen den Erstickungs-
tod. Gefahr drohte auch von den Schlangen: auf den Dünen wuchs nämlich
4 eine Pflanze, unter der sie versteckt lagen, und wer gebissen wurde, starb.
Bei den Oreitern, sagte man, würden die Pfeile – die aus Holz waren und
eine feuergehärtete Spitze hatten – mit tödlichen Giften bestrichen, und
Ptolemaios, damit verletzt, habe in Lebensgefahr geschwebt; da sei Alexan-
der im Schlaf jemand erschienen der ihm eine Wurzel mit Stumpf und Stiel
8 zeigte: die solle er zerreiben und dem Verletzten auflegen; als er aufgewacht
war, habe er sich an den Traum erinnert, sei auf die Suche gegangen, habe
die Wurzel gefunden, die da in großen Mengen wuchs, und nicht nur er sel-
ber sondern auch die Anderen hätten Gebrauch von ihr gemacht; und als
die Barbaren sahen dass man das Gegengift gefunden hatte, hätten sie sich
12 dem König unterworfen (wahrscheinlich hatte es ein Kundiger verraten und
wurde die Fabelgeschichte der Schmeichelei zuliebe hinzuerfunden). Als er
nach sechzig Tagen von den Orern in den Königssitz der Gedrosier gelangt
war, gönnte er dem Heer eine kurze Ruhepause und brach dann nach Kar-
manien auf.

16 Die Südseite der Ariane hat also etwa diese Beschaffenheit der Küste und 8
des dicht darüberliegenden Landes der Gedrosier und Oreiter. Gedrosien
reicht ebenfalls auch weit ins Binnenland hinein, bis es an die Dranger, die

περὶ ὧν Ἐρατοσθένης (fr. III B 20. 23 Berger) οὕτως εἴρηκεν (οὐ γὰρ ἔχομέν
20 τι λέγειν βέλτιον περὶ αὐτῶν). ὁρίζεσθαι μὲν γάρ φησι τὴν Ἀριανὴν ἐκ
μὲν τῶν πρὸς ἕω τῷ Ἰνδῷ, πρὸς νότον δὲ τῇ μεγάλῃ θαλάττῃ, πρὸς ἄρκ-
τον δὲ τῷ Παροπαμισῷ καὶ τοῖς ἑξῆς ὄρεσι μέχρι Κασπίων πυλῶν, τὰ δὲ
πρὸς ἑσπέραν τοῖς αὐτοῖς ὅροις οἷς ἡ μὲν Παρθυηνὴ πρὸς Μηδίαν, ἡ δὲ
24 Καρμανία πρὸς τὴν Παραιτακηνὴν καὶ Περσίδα διώρισται. πλάτος δὲ τῆς
χώρας τὸ τοῦ Ἰνδοῦ μῆκος τὸ ἀπὸ τοῦ Παροπαμισοῦ μέχρι τῶν ἐκβολῶν,
μύριοι καὶ δισχίλιοι στάδιοι (οἱ δὲ τρισχιλίους φασί). μῆκος δὲ ἀπὸ Κασ-
πίων πυλῶν, ὡς ἐν τοῖς Ἀσιατικοῖς Σταθμοῖς (FGrHist 119 F 3) ἀναγέ-
28 γραπται, διττόν· μέχρι μὲν Ἀλεξανδρείας τῆς ἐν Ἀρίοις ἀπὸ Κασπίων πυ-
λῶν διὰ τῆς Παρθυαίας μία καὶ ἡ αὐτὴ ὁδός· εἶθ' ἡ μὲν ἐπ' εὐθείας διὰ
τῆς Βακτριανῆς καὶ τῆς ὑπερβάσεως τοῦ ὄρους εἰς Ὀρτόσπανα ἐπὶ τὴν ἐκ
Βάκτρων τρίοδον (ἥτις ἐστὶν ἐν τοῖς Παροπαμισάδαις), ἡ δ' ἐκτρέπεται
32 μικρὸν ἀπὸ τῆς Ἀρίας πρὸς νότον εἰς Προφθασίαν τῆς Δραγγιανῆς, εἶτα
πάλιν ἡ λοιπὴ μέχρι τῶν ὅρων τῆς Ἰνδικῆς καὶ τοῦ Ἰνδοῦ· ὥστε μακροτέρα
ἐστὶν αὕτη ἡ διὰ τῶν Δραγγῶν καὶ Ἀραχωτῶν, σταδίων μυρίων πεντακισ-
724C. χιλίων τρια|κοσίων ἡ πᾶσα· εἰ δή τις ἀφέλοι τοὺς χιλίους τριακοσίους,
ἔχοι ἂν τὸ λοιπὸν τὸ ἐπ' εὐθείας μῆκος τῆς χώρας, μυρίων καὶ τετρακισ-
χιλίων (οὐ πολὺ γὰρ ἔλαττον ⟨τὸ⟩ τῆς παραλίας, κἂν παραύξωσί τινες
4 αὐτὸ πρὸς τοῖς μυρίοις τὴν Καρμανίαν ἑξακισχιλίων τιθέντες· ἢ γὰρ σὺν
τοῖς κόλποις φανοῦνται τιθέντες ἢ σὺν τῇ ἐντὸς τοῦ Περσικοῦ κόλπου
παραλίᾳ τῇ Καρμανικῇ). ἐπεκτείνεται δὲ τοὔνομα τῆς Ἀριανῆς μέχρι μέ-
ρους τινὸς καὶ Περσῶν καὶ Μήδων καὶ ἔτι τῶν πρὸς ἄρκτον Βακτρίων καὶ
8 Σογδιανῶν· εἰσὶ γάρ πως καὶ ὁμόγλωττοι παρὰ μικρόν.

24 St. B. 360, 3 25 Eust. D. P. 398, 45 sq. 34 St. B. 238, 3 724 4 St. B. 360, 3

20 μὲν om. D 21 πρὸς δὲ νότον E 22 παραπαμισῷ D, παραπαμίσῳ F 23 ὄρεσιν pro ὅροις E 24 Παραιτακηνὴν F^{pc} (ut vid.): παρατα- E, παιατα- cett. 25 παροπαμίσου F 26 τῶν post ἀπὸ add. F 27 sq. ἀναγέγραπτο F 30 Ἀ-ριανῆς pro Βακτριανῆς Miller (1877, 4 sq.) Ὀρτόσπανα Casaubonus: ὀρό- codd. {εἰς Ὀρτόσπανα} Tarn (1951, 461[1]) ἐπὶ Groskurd coll. 514, 19: διὰ codd.; καὶ Korais 32 ἀρείας F 33 λοιπὴ Xylander: λουτὴ D, λοϊτῇ CF, λοίτῇ B; αὐτὴ Casaubonus, Jacoby (qui etiam de ⟨μία⟩ ἡ λοιπὴ cogitavit) 34 Ἀραχωτῶν ⟨σταδίοις χιλίοις τριακο-σίοις⟩? vide 724, 1 comm. σταδίων ⟨δὲ⟩ Groskurd 724 3 add. Groskurd 4 αὐτὸ yz: αὐτῶν BCDF ⟨εἰς⟩ τὴν Aly (1957, 140) γὰρ F: γὰρ ἂν cett.; γὰρ δὴ Aly (ibid.) 8 Σογδιανῶν C: σορδι- cett.

Arachoter und die Paropamisader stößt. Über sie sagt Eratosthenes (fr. III
20 B 20. 23 Berger) Folgendes (können wir doch nichts Besseres über sie mittei-
len). Ariane, sagt er, werde im Osten vom Indus begrenzt, im Süden von
dem großen Meer, im Norden vom Paropamisos und dem anschließenden
Gebirge bis zum Kaspischen Tor, und im Westen von denselben Grenzen
24 die die Parthyene von Medien und Karmanien von Paraitakene und Persien
trennen. Die Breite des Landes ist die Länge des Indus vom Paropamisos bis
zur Mündung: zwölftausend Stadien (nach Manchen dreizehntausend). Die
Länge vom Kaspischen Tor an, wie die Asiatischen Stationen (FGrHist
28 119 F 3) sie verzeichnen, ist zwiefach: bis Alexandrien bei den Ariern hat
man vom Kaspischen Tor ein und dieselbe Straße durch Parthien; dann
führt die eine geradeswegs durch Baktriane und den Gebirgsübergang nach
Ortospana zu der von Baktra kommenden Gabelung (die im Gebiet der Pa-
32 ropamisader liegt); die andere entfernt sich in südlicher Richtung etwas von
Arien nach Prophthasia in der Drangiane, dann folgt wieder die restliche
bis zu den Grenzen Indiens und dem Indus; diese Straße durch das Gebiet
der Dranger und Arachoter ist somit länger, sie misst im ganzen fünfzehn-
724 tausenddreihundert Stadien; zieht man nun davon die eintausenddreihun-
dert ab, dann hat man in dem Rest die Länge des Landes in gerader Linie:
vierzehntausend (die Länge der Küste ist nämlich nicht viel geringer, wenn
4 auch Manche sie vergrößern und zusätzlich zu den zehntausend Karmanien
auf sechstausend ansetzen: wird sich doch herausstellen dass sie entweder
die Buchten oder die Karmanische Küste innerhalb des Persischen Golfs
mitgerechnet haben). Der Name 'Ariane' erstreckt sich auch auf einen Teil
des Gebiets der Perser und der Meder sowie der Baktrier und der Sogdianer
8 im Norden; sie sprechen ja auch mit kleinen Unterschieden ungefähr diesel-
be Sprache.

Ἡ δὲ τάξις τῶν ἐθνῶν τοιαύτη. παρὰ μὲν τὸν Ἰνδὸν οἱ Παροπαμισά- 9
δαι, ὧν ὑπέρκειται ὁ Παροπαμισός, εἶτ' Ἀραχωτοὶ πρὸς νότον, εἶτ' ἐφεξῆς
πρὸς νότον Γεδρωσηνοὶ σὺν τοῖς ἄλλοις τοῖς τὴν παραλίαν ἔχουσιν· ἅπασι
12 δὲ παρὰ τὰ πλάτη τῶν χωρίων παράκειται ὁ Ἰνδός, τούτων δ' ἐκ μέρους
ἔχουσί τινα Ἰνδοί, πρότερον ὄντα Περσῶν, ἃ ἀφείλετο μὲν ὁ Ἀλέξανδρος
τῶν Ἀριανῶν καὶ κατοικίας ἰδίας συνεστήσατο, ἔδωκε δὲ Σέλευκος ὁ Νι-
κάτωρ Σανδροκόττῳ συνθέμενος ἐπιγαμίαν καὶ ἀντιλαβὼν ἐλέφαντας πεντα-
16 κοσίους. τοῖς Παροπαμισάδαις δὲ παράκεινται πρὸς τὴν ἑσπέραν Ἄριοι,
τοῖς δὲ Ἀραχωτοῖς Δράγγαι καὶ τοῖς Γεδρωσίοις· οἱ δ' Ἄριοι τοῖς Δράγγαις
ἅμα καὶ πρὸς ἄρκτον παράκεινται καὶ πρὸς ἑσπέραν, ἐγκυκλούμενοι μικρά
πως. ἡ δὲ Βακτριανὴ τῇ τε Ἀρίᾳ πρὸς ἄρκτον παράκειται καὶ τοῖς Παρο-
20 παμισάδαις, δι' ὧνπερ Ἀλέξανδρος ὑπερέβαλε τὸν Καύκασον ἐλαύνων τὴν
ἐπὶ Βάκτρων. πρὸς ἑσπέραν δὲ ἐφεξῆς εἰσι τοῖς Ἀρίοις Παρθυαῖοι καὶ τὰ
περὶ τὰς Κασπίους πύλας, πρὸς νότον δὲ τούτοις ἡ ἔρημος τῆς Καρμανίας,
εἶθ' ἡ λοιπὴ Καρμανία καὶ Γεδρωσία.

24 Γνοίη δ' ἄν τις τὰ περὶ τὴν λεχθεῖσαν ὀρεινὴν ἔτι μᾶλλον προσιστο- 10
ρήσας τὴν ὁδὸν ᾗ ἐχρήσατο διώκων τοὺς περὶ Βησσὸν ὡς ἐπὶ Βάκτρων
Ἀλέξανδρος ἐκ τῆς Παρθυηνῆς. εἰς γὰρ τὴν Ἀρίαν ἧκεν, εἶτ' εἰς Δράγγας
(ὅπου Φιλώταν ἀνεῖλε, τὸν Παρμενίωνος υἱόν, φωράσας ἐπιβουλήν· ἔπεμψε
28 δὲ καὶ εἰς Ἐκβάτανα τοὺς καὶ τὸν πατέρα αὐτοῦ ἀνελοῦντας ὡς κοινωνὸν
τῆς ἐπιβουλῆς, φασὶ δ' αὐτοὺς ἐπὶ δρομάδων καμήλων ὁδὸν ἡμερῶν τριά-
κοντα ἢ καὶ τετταράκοντα ἑνδεκαταίους διανύσαι καὶ τελευτῆσαι τὴν πρᾶ-
ξιν)· οἱ δὲ Δράγγαι περσίζοντες τἆλλα κατὰ τὸν βίον οἴνου σπανίζουσι,

9 sq. Eust. D. P. 398, 45–399, 2. *398, 37–40 **10** Eust. D. P. 398, 45 sq. **11** Eust. D. P. 397, 29 sq. **16** Eust. D. P. 398, 45–399, 2. *398, 40 sq. **17** St. B. 238, 3 **19 sq.** Eust. D. P. 398, 45–399, 2 **22** St. B. 360, 3 **23** St. B. 360, 3 **26** St. B. 238, 3 **31** St. B. 238, 3

10 ὄρος post Παροπαμισός add. codd.: delevi ἀραχῶται E **11** Γεδρωσηνοὶ EF: -σιvοὶ BCD; Γεδρωσιανοί Straboni adscribit Eust., sed vide comm. **12** τῶν παρὰ τὸν ἰνδὸν (τὸν ἰδὸν F, τῶν ἰνδὸν D, τῶν ἰνδῶν E[ac]) post μέρους add. codd.: delevi; ὄντων παρὰ τὸν Ἰνδὸν Groskurd; {ἐκ μέρους}? Kramer **13** {ὁ}? **15** ἐπιγαμίαν συνθέμενος E **16** παραπαμισάδαις (-δες a.c., ut vid.) F **17** ἀρραχώτοις F, ἀραχώταις E Δράγγαις E: -οις cett. **19** οἱ δὲ Βακτριανοὶ … παράκεινται q (παράκεινται etiam E[ac]) ἄρκτον Kramer: ἀριστερὸν codd. **20 sq.** τὴν ἐπὶ E: ἐπὶ τὴν cett.; ἐπὶ τῶν Korais **21** δέ εἰσιν ἐφεξῆς E **22** κασπίας E **26** Ἀρίαν Korais: ἀριανὴν codd. **27** Φιλώταν Xylander: φιλωτᾶς F, φιλώτας cett.

Die Lage der Völker ist folgende. Am Indus entlang wohnen die Paropa- 9
misader, über denen sich der Paropamisos erhebt, dann südlich von ihnen
die Arachoter, dann südlich anschließend die Gedrosener mit den anderen
12 Völkern die die Küste bewohnen; sie alle haben an der Breitseite ihrer Ge-
biete den Indus, und einen Teil davon besitzen die Inder: früher gehörte er
den Persern, Alexander nahm ihn den Arianern und legte dort eigene Sied-
lungen an, und Seleukos Nikator hat ihn dem Sandrokottos gegeben als er
eine Heiratsverbindung mit ihm schloss und als Gegengabe fünfhundert Ele-
16 fanten bekam. Neben den Paropamisadern wohnen im Westen die Arier, ne-
ben den Arachotern und den Gedrosiern die Dranger; die Arier wohnen so-
wohl im Norden als im Westen neben den Drangern, umschließen sie also
gewissermaßen ein wenig. Baktriane liegt nördlich neben Arien und den
20 Paropamisadern, durch deren Gebiet Alexander auf dem Wege nach Baktra
über den Kaukasos gestiegen ist. Westlich von den Ariern kommen anschlie-
ßend die Parther und die Gegend beim Kaspischen Tor, südlich davon die
Karmanische Wüste und dann das übrige Karmanien und Gedrosien.

24 Man kann die Verhältnisse in besagtem Bergland noch besser erkennen 10
wenn man sich auch noch über den Weg unterrichtet den Alexander bei sei-
ner Verfolgung von Bessos und seinen Leuten aus Parthyene in Richtung
Baktra genommen hat. Er kam nämlich nach Arien und dann zu den Dran-
gern (wo er Philotas, Parmenions Sohn, tötete, den er auf einer Verschwö-
28 rung ertappt hatte; er schickte auch Leute nach Ekbatana, die auch seinen
Vater töten sollten, in dem er einen Mitverschworenen vermutete; sie sollen
auf Rennkamelen eine Strecke von dreißig oder sogar vierzig Tagereisen in
elf Tagen zurückgelegt und die Tat vollführt haben); die Dranger, deren Le-

32 γίνεται δὲ παρ' αὐτοῖς καττίτερος. εἶτ' ἐκ Δραγγῶν ἐπί τε τοὺς Εὐεργέτας
ἧκεν — οὓς ὁ Κῦρος οὕτως ὠνόμασε — καὶ τοὺς Ἀραχωτούς, εἶτα διὰ τῶν
725C. Παροπαμισαδῶν ὑπὸ Πλειάδος δύσιν· | ἔστι δ' ὀρεινὴ καὶ κεχιονοβόλητο
τότε, ὥστε χαλεπῶς ὡδεύετο· πυκναὶ μέντοι κῶμαι δεχόμεναι πάντων εὔ-
ποροι πλὴν ἐλαίου παρεμυθοῦντο τὰς δυσκολίας· εἶχον δὲ ἐν ἀριστερᾷ
4 τὰς ἀκρωρείας. ἔστι δὲ τὰ μεσημβρινὰ μὲν τοῦ ὄρους τοῦ Παροπαμισοῦ
Ἰνδικά τε καὶ Ἀριανά, τὰ δὲ προσάρκτια τὰ μὲν πρὸς ἑσπέραν Βάκτρια
* * * τοῖς Βακτρίοις βαρβάρων. διαχειμάσας δ' αὐτόθι †ὑπερδέξιον† ἔχων
τὴν Ἰνδικὴν καὶ πόλιν κτίσας ὑπερήκρισεν εἰς τὴν Βακτριανὴν διὰ ψιλῶν
8 ὁδῶν πλὴν τερμίνθου θαμνώδους ὀλίγης, ἀπορούμενος τροφῆς, ὥστε ταῖς
τῶν κτηνῶν σαρξὶ χρῆσθαι, καὶ ταύταις ὠμαῖς διὰ τὴν ἀξυλίαν (πρὸς δὲ
τὴν ὠμοσιτίαν πεπτικὸν ἦν αὐτοῖς τὸ σίλφιον πολὺ πεφυκός). πεντεκαι-
δεκαταῖος δὲ ἀπὸ τῆς κτισθείσης πόλεως καὶ τῶν χειμαδίων ἧκεν εἰς
12 Ἄδραψα, πόλιν τῆς Βακτριανῆς.

Περὶ ταῦτα δέ που τὰ μέρη τῆς ὁμόρου τῇ Ἰνδικῇ καὶ τὴν Χοαρηνὴν 11
εἶναι συμβαίνει· ἔστι δὲ τῶν ὑπὸ τοῖς Παρθυαίοις αὕτη προσεχεστάτη τῇ
Ἰνδικῇ, διέχει δὲ τῆς †ἀρυινῆς† δι' Ἀραχωτῶν καὶ τῆς λεχθείσης ὀρεινῆς
16 σταδίους μυρίους ἐνναισχιλίους. ταύτην δὴ τὴν χώραν διεξιὼν Κρατερὸς
καταστρεφόμενος ἅμα τοὺς ἀπειθοῦντας ᾔει συμμίξαι τὴν ταχίστην σπεύ-
δων τῷ βασιλεῖ. καὶ δὴ περὶ τοὺς αὐτοὺς χρόνους σχεδόν τι συνέ-
δραμον εἰς τὴν Καρμανίαν αἱ πεζαὶ δυνάμεις ἀμφότεραι. καὶ μικρὸν ὕσ-

32 St. B. 238, 3. 284, 16 34 Eust. D. P. 398, 45–399, 2 725 4 Eust. D. P. 398, 45 sq. 9 sq. Anon. Scor. 298r 36 sq. 19 St. B. 360, 3

32 κασσί- D ἐκ E: εἰς cett. 33 Ἀραχωτούς z, ed. pr.: -χώτας E, -χώτους cett. (etiam q) εἶτα Korais: ἤτοι codd. 34 Παροπαμισαδῶν E^{pc}: -σάδων cett. post δύσιν nonnulla – e. g. εἶτα ἐπὶ τὴν τῶν Παροπαμισαδῶν – excidisse coniecit Korais 725 3 δὲ scripsi: τε codd. 4 παροπαμίσου F 6 inter Βάκτρια et διαχειμάσας spatium vacuum c. 15 litt. habet E nonnulla excidisse vidit Groskurd (in quibus utique fuisse τὰ δὲ πρὸς ἕω Σογδιανά sim. recte monuit Kramer); ⟨τὰ δὲ πρὸς ἕω Σογδιανῶν ὁμόρων⟩ Miller (1874, 145), ⟨τὰ δὲ πρὸς ἕω τῶν ὁμόρων⟩ Jones cruces apposui; ἐκ δεξιῶν? vide comm. 8 καὶ ante τροφῆς add. codd.: delevi 12 Δάραψα Korais 13 Χοαρηνὴν EF: χοαρινὴν BC, χωάρηνὴν D; Χααρηνὴν typothetarum culpa, ut vid., legitur ap. Kramerum; Γανδαρηνὴν Müller (1035 ad 617, 18) 15 ἀρυινῆς F: σαρυινῆς D, ἀριηνῆς BC, ἀριανῆς E qxyz (prob. Müller [1035 ad 617, 30]: 'Ἀριανὴ h. l. pro Ἀρία dicitur'); Καρμανίας Groskurd, Βακτριανῆς Kramer, Παρθυηνῆς Miller (1877, 8 sqq.), fort. recte 16 μυρίους ⟨ἢ⟩? Kramer ἐνακισ- Meineke δὲ pro δὴ D^{s} (sed postea deletum), ed. pr. 17 συμμῖξαι Kramer

32 bensweise im übrigen persisch ist, haben kaum Wein, doch findet sich Zinn
bei ihnen. Danach kam er von den Drangern zu den Wohltätern – die Ky-
ros so genannt hat – und den Arachotern, dann, gegen den Untergang der
725 Pleiaden, durch das Land der Paropamisader; es ist gebirgig und war da-
mals von Schnee bedeckt, so dass der Marsch mühsam war; doch brachten
zahlreiche Dörfer, die sie aufnahmen und mit allem außer Öl gut versehen
4 waren, Linderung der Beschwerden; zur Linken hatten sie die Gipfel. Die
Südseite des Paropamisos-Gebirges ist indisch und arianisch, die Nordseite
im Westen baktrisch * * * den Baktriern Barbaren. Nachdem er dort, mit
Indien † über sich † überwintert und eine Stadt gegründet hatte, stieg er über
8 das Gebirge in die Baktriane auf Wegen die, abgesehen von etwas strauchar-
tiger Terebinthe, unbewachsen waren; er hatte solchen Mangel an Nahrung
dass sie das Fleisch der Lasttiere essen mussten, und zwar roh wegen des
Holzmangels (gegen die rohe Kost diente ihnen als Verdauungsmittel das in
großen Mengen dort wachsende Silphion). Fünfzehn Tage nach dem Auf-
bruch aus der gegründeten Stadt und den Winterquartieren erreichte er
12 Adrapsa, eine Stadt in der Baktriane.

In diesen Gegenden etwa des an Indien grenzenden Gebietes liegt auch 11
die Choarene. Es ist dies von den Ländern die den Parthern unterstehen das
Indien am nächsten liegende; es ist von der † aryine † über die Arachoter
16 und besagtes Bergland neunzehntausend Stadien entfernt. Dieses Land nun
hat Krateros durchquert (und zugleich die sich Widersetzenden unterwor-
fen) als er sich beeilte, so schnell wie möglich mit dem König zusammenzu-
treffen. Und tatsächlich trafen die beiden Landheere ungefähr um dieselbe

20 τερον οἱ περὶ Νέαρχον εἰσέπλεον εἰς τὸν Περσικὸν κόλπον πολλὰ ταλαι-
πωρήσαντες διά τε τὴν ἄλλην ταλαιπωρίαν καὶ τὰ μεγέθη τῶν κητῶν.

Εἰκὸς μὲν οὖν πρὸς ὑπερβολὴν ἠδολεσχηκέναι πολλὰ τοὺς πλεύσαντας· **12**
ὅμως δ' οὖν εἰρήκασι παραδηλοῦντες ἅμα καὶ τὸ παραστὰν αὐτοῖς πάθος,
24 διότι προσδοκία μᾶλλον ἢ κίνδυνος ὑπῆρχε τοῖς ἀήθεσι. τὸ δὲ μάλιστα
ταράττον φυσητήρων ⟨ἦν⟩ μεγέθη ῥοῦν ἀπεργαζομένων μέγαν ἀθρόον καὶ
ἀχλὺν ἐκ τῶν ἀναφυσημάτων, ὥστε τὰ πρὸ ποδῶν μέρη μὴ ὁρᾶσθαι· ἐπεὶ
δ' οἱ καθηγεμόνες τοῦ πλοῦ δεδιότων ταῦτα τῶν ἀνθρώπων, τὴν δ' αἰτίαν
28 οὐχ ὁρώντων, ἐμήνυσαν ὅτι θηρία εἴη, τάχα δ' ἀπαλλάττοιτο σάλπιγγος
ἀκούσαντα καὶ κρότου, ἐκ τούτου Νέαρχος ταῖς ναῦσιν ἐπῆγε μὲν τὸ ῥό-
θιον καθ' ἅπερ ἐκώλυον καὶ ἅμα ταῖς σάλπιγξιν ἐφόβει· τὰ δὲ θηρία ἔδυ-
νεν, εἶτ' ἀνεφαίνετο κατὰ πρύμναν, ὥστε ναυμαχίας ἀγωνίαν παρεῖχεν,
32 ἀλλ' αὐτίκα ἀφίστατο. λέγουσι μὲν οὖν καὶ οἱ νῦν πλέοντες εἰς Ἰνδοὺς **13**
μεγέθη θηρίων καὶ ἐπιφανείας, ἀλλ' οὔτε ἀθρόων οὔτ' ἐπιφερομένων πολ-
726C. λάκις, ἀλλ' ἀποσοβηθέντα τῇ κραυγῇ καὶ τῇ σάλπιγγι ἀπαλλάττεσθαι. | φασὶ
δ' αὐτὰ μὲν μὴ πλησιάζειν ἂν τῇ γῇ, τὰ δ' ὀστᾶ διαλυθέντων ψιλωθέντα
ἐκκυμαίνεσθαι ῥᾳδίως καὶ χορηγεῖν τὴν λεχθεῖσαν ὕλην τοῖς Ἰχθυοφάγοις
4 πρὸς τὰς καλυβοποιίας. μέγεθος δὲ τῶν κητῶν φησιν ὁ Νέαρχος (FGrHist
133 F 1b p. 695, 4 sqq.) τριῶν καὶ εἴκοσιν ὀργυιῶν.

Πιστευθὲν δέ τι ἱκανῶς ὑπὸ τῶν ἐν τῷ στόλῳ φησὶν ὁ Νέαρχος (FGr
Hist 133 F 1c [p. 695]) ἐξελέγξαι ψεῦδος ὄν, ὡς εἴη τις ἐν τῷ πόρῳ
8 νῆσος ἣ ἀφανίζοι τοὺς προσορμισθέντας. κέρκουρον γάρ τινα πλέοντα,
ἐπειδὴ κατὰ τὴν νῆσον ταύτην ἐγεγόνει, μηκέτι ὁραθῆναι, πεμφθέντας
δέ τινας ἐπὶ τὴν ζήτησιν ἐκβῆναι μὲν μὴ θαρρεῖν εἰς τὴν νῆσον, ἐκπλέ-

22 Anon. Scor. 298^{v} 8 sq.

21 διά τε τὴν ἄλλην ταλ. Korais: διὰ τὴν ἄλην καὶ τὴν ταλ. codd.; καὶ διὰ τὴν ἄλλην ταλ. Hopper, διά τε τὴν ἄλην καὶ τὴν ἄλλην ταλ. Groskurd, διὰ τὴν ἄλην καὶ τὴν ἀπορίαν Schäfer (Philologus 31, 1872, 184) **22** τοὺς ⟨πάλαι⟩ Miller (1874, 145) **23** οὖν om. D^{i} **24** ἀήθεσι scripsi: ἀληθέσι codd. **25** ⟨ἦν⟩, quod ipse post ταράττον addideram, h. l. aptius esse vidit Holwerda ἀθρόων Kramer, Miller (1874, 145 sq.) coll. 33 **26** {μέρη} dubitanter Korais, confidenter Cobet (Misc. 198) **26 sq.** ἐπεὶ δ' Xylander (*quum … indicassent* iam Tifernate): ἔπειθ' codd. **30** ἐφώνει E 726 **2** ἂν P: om. cett. **3** ῥηθεῖσαν E **4** πρὸς scripsi: περὶ codd. **5** τριῶν καὶ om. E **6** δέ τι scripsi: τι δ' P, τι δὲ cett. **8** ἀφανίζει D προσορμηθέντας D^{ac} **10 sq.** ἐκπλέοντας δ' ἀνακαλεῖν P, ut vid. (]τας δ ανακαλειν), x: ἐκπλ. ἀνακ. δὲ cett.; ἐπιπλέοντας, ἀνακ. δὲ Forbiger; ἐκπεριπλέοντας ἀνακ. δὲ Vogel (1882, 317); ἐλέγξοντας, ἀνακ. δὲ Piccolos (730); παραπλέοντας δὲ ἀνακ. Groskurd

20 Zeit in Karmanien ein. Und etwas später fuhr auch Nearchos mit seinen
Leuten in den Persischen Golf ein; sie hatten viel ausgestanden, abgesehen
von allem übrigen besonders durch die riesenhaften Meeresungeheuer.

Nun wird zwar natürlich die Schiffsmannschaft im Schwadronieren Vie- **12**
les übertrieben haben; trotzdem lassen ihre Erzählungen auf jeden Fall zu-
gleich auch den Gemütszustand durchblicken in den sie versetzt wurden,
24 nämlich dass es sich bei ihnen, nicht vertraut mit dergleichen wie sie waren,
mehr um bange Erwartung als um Gefahr handelte. Was sie am meisten er-
schreckte waren riesige Blaswale, die plötzlich eine starke Strömung und
durch ihre Fontänen einen solchen Nebel erzeugten dass man nicht sehen
konnte was man vor sich hatte. Aber nachdem die Lotsen der Fahrt den Leu-
28 ten, die sich davor fürchteten und die Ursache nicht sahen, eröffnet hatten
dass es Tiere seien und dass sie sich bald entfernen würden wenn sie Trom-
petenschall und Klatschen hörten, seitdem steuerte Nearchos die rauschen-
den Schiffe jedesmal dorthin wo sie den Weg versperrten und schreckte sie
gleichzeitig mit den Trompeten; worauf die Tiere untertauchten und dann
hinter den Schiffen wieder erschienen, so dass sie die Spannung einer See-
32 schlacht hervorriefen; aber gleich danach ließen sie ab. Auch die heute nach **13**
Indien Schiffenden sprechen von riesigen Tieren und ihrem Auftauchen,
doch träten sie weder in Mengen auf noch kämen sie oft heran, sondern zö-
726 gen ab wenn man sie mit Geschrei und der Trompete verjage. Von sich aus,
sagen sie, würden sie nicht in die Nähe des Landes kommen, aber wenn sie
verwest seien, spülten ihre nackten Knochen leicht an und lieferten den
4 Fischessern das besagte Material für den Hüttenbau. Als Größe der Unge-
heuer gibt Nearchos (FGrHist 133 F 1b p. 695, 4 ff.) dreiundzwanzig Klaf-
ter an.

Eine Sache die von der Flottenmannschaft weitgehend geglaubt wurde,
sagt Nearchos (FGrHist 133 F 1c p. 695, 20 sqq.), habe er als Täuschung
8 entlarvt, nämlich dass es auf der Strecke eine Insel gebe die die bei ihr Anle-
genden verschwinden lasse. Ein Frachter nämlich war, nachdem er auf die
Höhe dieser Insel gekommen war, nicht mehr gesehen worden, und auf die
Suche geschickte Leute hatten es zwar nicht gewagt Fuß auf die Insel zu set-

οντας δ' ἀνακαλεῖν κραυγῇ τοὺς ἀνθρώπους, μηδενὸς δ' ὑπακούοντος ἐπαν-
12 ελθεῖν. ἁπάντων δ' αἰτιωμένων τὴν νῆσον αὐτὸς ἔφη πλεῦσαι καὶ προσορ-
μισθεὶς ἐκβῆναι μετὰ μέρους τῶν συμπλευσάντων καὶ περιελθεῖν τὴν νῆ-
σον· ὡς δ' οὐδὲν εὕρισκεν ἴχνος τῶν ζητουμένων, ἀπογνόντα ἐπανελθεῖν
καὶ διδάξαι τοὺς ἀνθρώπους ὡς ἡ μὲν νῆσος ψευδῆ τὴν αἰτίαν ἔχοι — καὶ
16 γὰρ ἂν αὐτῷ καὶ τοῖς συνεκβᾶσιν ὁ αὐτὸς ὑπάρξαι φθόρος — ἄλλος δέ
τις τῷ κερκούρῳ τρόπος τοῦ ἀφανισμοῦ συμβαίη, μυρίων ὄντων δυνατῶν.

Ἡ δὲ Καρμανία τελευταία μέν ἐστι τῆς ἀπὸ τοῦ Ἰνδοῦ παραλίας, ἀρκ- 14
τικωτέρα δ' ἐστὶ πολὺ τῆς τοῦ Ἰνδοῦ ἐκβολῆς (τὸ μέντοι πρῶτον αὐτῆς
20 ἄκρον ἔκκειται πρὸς νότον εἰς τὴν μεγάλην θάλατταν)· ποιήσασα δὲ τὸ
στόμα τοῦ Περσικοῦ κόλπου πρὸς τὴν ἀπὸ τῆς Εὐδαίμονος Ἀραβίας ἄκραν
— ἐν ἀπόψει οὖσαν — κάμπτεται πρὸς τὸν Περσικὸν κόλπον ἕως ἂν συνάψῃ
τῇ Περσίδι. πολλὴ δὲ καὶ ἐν τῇ μεσογαίᾳ ἐστὶν ἐκτεινομένη μεταξὺ τῆς
24 Γεδρωσίας καὶ τῆς Περσίδος, παραλλάττουσα πλέον τῆς Γεδρωσίας πρὸς
τὴν ἄρκτον. δηλοῖ δ' ἡ εὐκαρπία· καὶ γὰρ πάμφορος καὶ μεγαλόδενδρος
πλὴν ἐλαίας καὶ ποταμοῖς κατάρρυτος (ἡ δὲ Γεδρωσία διαφέρει μικρὸν τῆς
τῶν Ἰχθυοφάγων, ὥστ' ἀκαρπία κατέχει πολλάκις· διὸ φυλάττουσι τὸν ἐνι-
28 αύσιον καρπὸν εἰς ἔτη πλείω ταμιευόμενοι). Ὀνησίκριτος δὲ λέγει (FGr
Hist 134 F 32) ποταμὸν ἐν τῇ Καρμανίᾳ καταφέροντα ψήγματα χρυσοῦ· καὶ
ὀρυκτοῦ δ' εἶναι μέταλλον καὶ ἀργύρου καὶ χαλκοῦ καὶ μίλτου· ὄρη τε
εἶναι δύο, τὸ μὲν ἀρσενικοῦ, τὸ δὲ ἁλός. ἔχει δέ τινα καὶ ἔρημον συν-
32 άπτουσαν ἤδη τῇ Παρθυαίᾳ καὶ τῇ Παραιτακηνῇ. γεώργια δ' ἔχει παραπλή-
σια τοῖς Περσικοῖς τά τε ἄλλα καὶ ἄμπελον (ταύτης δ' ἡ Καρμανία λεγο-
μένη παρ' ἡμῖν καὶ δίπηχυν ἔχει πολλάκις τὸν βότρυν πυκνόρρωγά τε ὄντα

18 St. B. 360, 3 **21 sq.** Anon. Scor. 298^{v} 9 **27 sq.** *Eust. D. P. 397, 30–2
29 St. B. 360, 3 **29 sq.** *Eust. D. P. 397, 18–20 **30 sq.** Eust. D. P. 397, 20–2
31 Eust. Il. 913, 58 sq. **34 sq.** *Eust. D. P. 397, 22 sq.

14 ṭ pro δ' P εὕρισκον ... ἀπογνόντας? Miller (1878, 264) **16** ἂν hoc loco habuisse videtur P (ẹχọι̣ και [7–8 litt.]τ̣ῳ̣ι) (addiderunt x, Cobet [Misc. 199]): om. cett.; post ὑπάρξαι add. z **19** δ' ἐστὶ om. P **20** θάλατταν ⟨· τὸ δεύτερον δὲ βλέπει πρὸς ἑσπέραν, τὸ Ἅρμοζον καλούμενον·⟩ Groskurd (ποιῆσαν legens, cf. infra) ποιήσασα Kramer: ποιήσας codd.; ποιῆσαν Xylander **23** ἐν E necnon, ut vid., P (]λη δ̣ε̣ ..... τ̣η̣ι̣ μεσο[) (coniecerunt Casaubonus, Korais): om. cett. κἀν pro καὶ ἐν Meineke τῆς ⟨τε⟩? **26** ἐλαίας ⟨ἐστὶ⟩ (vel ⟨ἐστι⟩ πλὴν)? **27** ἀκαρπίᾳ κατέχεται? Korais coll. Eust. **30** μέταλλα? **32** ἤδη om. P Παραιτακηνῇ E: π̣α̣...τακηνη̣ι P, πατακηνῇ cett. **33** Περσικοῖς CEP (περσι̣κ̣ο̣ι̣ς̣): παρσικοῖς B, παρεσικοῖς D^{pc} F, παρεσίοις D^{ac} **34** πυκνόρρωγά D^{s} (coniecit Casaubonus): πυκνόρωγά cett.; πυκνορρῶγά Meineke

zen, waren aber ganz an ihr entlang gefahren, hatten die Leute laut schrei-
12 end gerufen und waren, als niemand antwortete, wieder zurückgekehrt. Als
Alle der Insel die Schuld gaben, sei er selber hingefahren, mit einem Teil der
Mannschaft an Land gegangen und habe die Runde um die Insel gemacht;
als er keine Spur von den Gesuchten fand, habe er die Suche aufgegeben, sei
zurückgekehrt und habe den Leuten klargemacht dass die Insel zu Unrecht
16 beschuldigt werde – sonst hätte ja ihn selber und die mit an Land Gegange-
nen dasselbe Verderben getroffen – und der Frachter auf eine andere Art
verschwunden sei, wofür es Tausende von Möglichkeiten gebe.

Karmanien ist das letzte Stück der Küste nach dem Indus, liegt aber viel 14
20 weiter nördlich als die Indusmündung (doch ragt seine erste Spitze nach Sü-
den ins große Meer hinaus); nachdem es zusammen mit der vom Gesegneten
Arabien vorspringenden Landspitze – die in Blickweite ist – den Eingang
des Persischen Golfs gebildet hat, biegt es zum Persischen Golf um bis es an
Persien stößt. Karmanien hat auch eine weite Ausdehnung im Binnenland
24 zwischen Gedrosien und Persien, wo es weiter nach Norden reicht als Ge-
drosien. Das zeigt sich auch an seinem Fruchtreichtum: bringt es doch alles
hervor, trägt große Bäume (außer Ölbäumen) und wird von Flüssen durch-
strömt (Gedrosien dagegen unterscheidet sich nur wenig von dem Land der
Fischesser, so dass es dort oft Missernten gibt; daher heben die Leute den
28 Ertrag eines Jahres auf und verteilen ihn über mehrere Jahre). Onesikritos
(FGrHist 134 F 32) spricht von einem Fluss in Karmanien der Goldkörner
herabführt; auch gebe es eine Goldgrube und Silber-, Kupfer- und Rötel-
gruben; ferner gebe es zwei Berge, einen aus Arsen und einen aus Salz. Ein
32 Teil Karmaniens ist auch Wüste; sie grenzt bereits an Parthien und Paraita-
kene. Angebaut wird ungefähr dasselbe wie in Persien, insbesondere die Re-
be (die von ihr abstammende, die bei uns 'die Karmanische' genannt wird,
trägt oft eine Traube von nicht weniger als zwei Ellen, mit dichtgedrängten

727C. καὶ μεγαλόρρωγα· ἣν εἰκὸς ἐκεῖ εὐερνεστέραν εἶναι). | χρῶνται δ' ὄνοις
οἱ πολλοὶ καὶ πρὸς πόλεμον σπάνει τῶν ἵππων. ὄνον τε θύουσι τῷ Ἄρει,
ὅνπερ σέβονται θεῶν μόνον, καί εἰσι πολεμισταί. γαμεῖ δ' οὐδεὶς πρὶν ἂν
4 πολεμίου κεφαλὴν ἀποτεμὼν ἀνενέγκῃ ὡς τὸν βασιλέα· ὁ δὲ τὸ κρανίον
μὲν ἐπὶ τῶν βασιλείων ἀνατίθησι, τὴν δὲ γλῶτταν λεπτοτομήσας καὶ
καταμίξας ἀλεύρῳ γευσάμενος αὐτὸς δίδωσι τῷ ἀνενέγκαντι καὶ τοῖς οἰ-
κείοις κατασιτήσασθαι (ἐνδοξότατος δ' ἐστὶν ᾧ πλεῖσται κεφαλαὶ ἀνηνέχ-
8 θησαν). Νέαρχος δὲ (FGrHist 133 F 1 f [p. 702]) τὰ πλεῖστα ἔθη καὶ
τὴν διάλεκτον τῶν Καρμανιτῶν Περσικά τε καὶ Μηδικὰ εἴρηκε. τὸ δὲ
στόμα τοῦ Περσικοῦ κόλπου οὐ μεῖζον διάρματος ἡμερησίου.

Μετὰ δὲ Καρμανίαν ἡ Περσίς ἐστι, πολλὴ μὲν ἐν τῇ παραλίᾳ τοῦ ἀπ' 1 3
12 αὐτῆς ὀνομαζομένου κόλπου, πολὺ δὲ μείζων ἐν τῇ μεσογαίᾳ καὶ μάλιστ'
ἐπὶ μῆκος τὸ ἀπὸ τοῦ νότου καὶ τῆς Καρμανίας ἐπὶ τὰς ἄρκτους καὶ τὰ
περὶ Μηδίαν ἔθνη. τριττὴ δ' ἐστὶ καὶ τῇ φύσει καὶ τῇ τῶν ἀέρων κράσει.
ἡ μὲν γὰρ παραλία καυματηρά τε καὶ ἀμμώδης καὶ σπανιστὴ καρποῖς ἐστι
16 πλὴν φοινίκων, ὅσον ἐν τετρακισχιλίοις καὶ τετρακοσίοις ἢ τριακοσίοις
ἐξεταζομένη σταδίοις καταστρέφουσα εἰς ποταμὸν μέγιστον τῶν ταύτῃ,
καλούμενον Ὀρόατιν. ἡ δ' ὑπὲρ ταύτης ἐστὶ πάμφορος καὶ πεδινὴ καὶ θρεμ-
μάτων ἀρίστη τροφός, ποταμοῖς τε καὶ λίμναις πληθύει. τρίτη δ' ἐστὶν ἡ
20 πρὸς βορρᾶν, χειμέριος καὶ ὀρεινή· πρὸς δὲ ταῖς ἐσχατιαῖς εἰσιν οἱ κα-
μηλοβοσκοί. μῆκος μὲν οὖν ἐστι κατ' Ἐρατοσθένη (fr. III B 34 Berger) τὸ
ἐπὶ τὰς ἄρκτους καὶ τὰς Κασπίους πύλας περὶ ὀκτακισχιλίους σταδίους,
ἔστιν δὲ ὅπου καὶ ἐννακισχιλίους κατά τινας προπιπτούσας ἄκρας (λοι-

727 **10** Anon. Scor. 298ᵛ 10 **11** St. B. 360, 3 **13** St. B. 360, 3

35 μεγαλόρρωγα Dˢ (coniecit Casaubonus): μεγαλόρωγα cett.; μεγαλορρῶγα Meineke
727 **2** Ἀρει⟨μάνῃ⟩ Scaliger (De emendatione temporum ..., Lutetiae 1583, 282 D)
3 ὅνπερ P (coniecerunt B. Brisson [De regio Persarum principatu ..., Parisiis 1590, 209], Tzschucke): ὃν πέρσαι cett.; ὅνπερ καὶ Bertram (ap. Casaubonum) **4** ὡς scripsi: ἐπὶ codd.; πρὸς vel παρὰ v. Herwerden (453) **5** προ pro ἐπὶ P γλῶσσαν BCF καὶ z: om. BCDFP **7** κατασιτήσασθαι qxyz: κατα..τ̣ησασ.αι P, κατασιτίζεσθαι D, κατασιτίσασθαι cett. **10** οὐ Korais: .. P, om. cett. **11** τὴν ante Καρμανίαν add. E, fort. recte πε.σι..π̣εστ̣ι̣ P (unde ἔπεστι pro ἐστι scribi vix recte iussit Aly 1956, 224) **12** μείζων E: μεῖζον cett. **13** τοῦ om. E **14** τριττὴ EP: τρίτη cett.
15 παραλία καὶ κ. ἐστι καὶ ἀ. E ἀμμώδης P (coniecit Tyrwhitt [41]): ἀνεμώ- cett.
16 ἢ τριακοσίοις om. Dⁱ P **17** τὸν pro τῶν BC **18** Ὀρόατιν Salmasius (Plin. exerc. 1181 D/E): ορoα̣τιν P, ὀροάτιν C, ὀραότην BE, ὀ]ραότιν F^mg, ὀρέκτην D, ὀρέκτιν Fᵗ **20** βορρα P ἐσχατιαῖς E: ε̣σ̣.....ις P, ἐσχάταις CDF, ἐσχάται (sic) B
22 sq. ὀκτακισχιλίους — ἐννακισχιλίους P: ͵ωους nec plura E, ὀκτακισχιλίων nec plura cett. **23 sq.** λοιποὶ δ' εἰσὶν scripsi: λοιπὴ δ' ἐστὶν codd.

727 großen Beeren, und man darf annehmen dass sie dort einen größeren Wuchs
hat). Wegen Mangel an Pferden benutzen die Meisten Esel, auch für den
Krieg. Esel opfern sie auch dem Ares, dem einzigen Gott den sie verehren,
und sie sind auch ein kriegerisches Volk. Keiner heiratet bevor er dem Kö-
4 nig den abgehauenen Kopf eines Feindes gebracht hat; dieser stellt den
Schädel auf seinem Palast auf, die Zunge aber hackt er ganz fein und gibt
sie, mit Mehl vermischt, nachdem er selber gekostet hat, dem Bringer und
seiner Familie zu essen (das größte Ansehen besitzt der dem die meisten
8 Köpfe gebracht worden sind). Nearchos sagt (FGrHist 133 F 1 f [p. 702]),
die meisten Bräuche sowie die Sprache der Karmaniter seien persisch und
medisch. Der Eingang des Persischen Golfs ist nicht breiter als eine Tages-
fahrt.

Nach Karmanien kommt Persien. Es hat eine große Ausdehnung an der 1 3
12 Küste des nach ihm genannten Golfs, aber eine noch viel größere im Bin-
nenland, besonders in der Länge vom Süden, d. h. Karmanien, nach Nor-
den, zu den Völkern Mediens. Es zerfällt sowohl seiner natürlichen Be-
schaffenheit als dem Klima nach in drei Teile. Der Küstenstrich ist bren-
16 nend heiß, sandig und arm an Frucht außer Datteln; er endet erwiesenerma-
ßen nach viertausendundvierhundert oder -dreihundert Stadien an dem
größten der dortigen Flüsse, Oroatis genannt. Die Region oberhalb davon
trägt jede Frucht, ist eben, eine treffliche Ernährerin von Zuchtvieh und
20 reich an Flüssen und Seen. Die dritte Region ist die nördliche; sie ist winter-
lich und gebirgig; an ihren Enden wohnen die Kamelhalter. Die Länge nach
Norden zum Kaspischen Tor beträgt nach Eratosthenes (fr. III B 34 Berger)
rund achttausend Stadien, mancherorts, bei einigen vorspringenden Land-

24 ποὶ δ' εἰσὶν ἕως ἐπὶ Κασπίους πύλας οὐ πλεῖον τῶν τρισχιλίων). πλάτος δὲ τὸ ἐν τῇ μεσογαίᾳ τὸ ἀπὸ Σούσων εἰς Περσαίπολιν στάδιοι τετρακισχίλιοι διακόσιοι, κἀντεῦθεν ἐπὶ τοὺς τῆς Καρμανίας ὅρους ἄλλοι χίλιοι ἑξακόσιοι. φῦλά τε οἰκεῖ τὴν χώραν οἵ τε Πατεισχορεῖς λεγόμενοι καὶ
28 Ἀχαιμενίδαι καὶ Μάγοι· οὗτοι μὲν οὖν σεμνοῦ τινός εἰσι βίου ζηλωταί, Κύρτιοι δὲ καὶ Μάρδοι ληστρικοί, ἄλλοι δὲ γεωργικοί.

2 Σχεδὸν δέ τι καὶ ἡ Σουσὶς μέρος γεγένηται τῆς Περσίδος, μεταξὺ αὐτῆς κειμένη καὶ τῆς Βαβυλωνίας, ἔχουσα πόλιν ἀξιολογωτάτην τὰ Σοῦσα.
32 οἱ γὰρ Πέρσαι κρατήσαντες Μήδων καὶ ὁ Κῦρος ὁρῶντες τὴν μὲν οἰκείαν γῆν ἐπ' ἐσχάτοις που ταττομένην, τὴν δὲ Σουσίδα ἐνδοτέρω καὶ πλησιαιτέραν τῇ Βαβυλωνίᾳ καὶ τοῖς ἄλλοις ἔθνεσιν, ἐνταῦθα ἔθεντο τὸ τῆς ἡγεμονίας βασίλειον, ἅμα καὶ τὸ ὅμορον τῆς χώρας ἀποδεξάμενοι καὶ τὸ
728C. ἀξίωμα τῆς πόλεως | καὶ τρίτον τὸ μηδέποτε καθ' ἑαυτὴν τὴν Σουσίδα πραγμάτων μεγάλων ἐπήβολον γεγονέναι, ἀλλ' ἀεὶ ὑφ' ἑτέροις ὑπάρξαι καὶ ἐν μέρει τετάχθαι συστήματος μείζονος, πλὴν εἰ ἄρα τὸ παλαιὸν τὸ κατὰ
4 τοὺς ἥρωας. λέγεται γὰρ δὴ καὶ κτίσμα Τιθωνοῦ τοῦ Μέμνονος πατρός, κύκλον ἔχουσα ἑκατὸν καὶ εἴκοσι σταδίων, παραμήκης τῷ σχήματι· ἡ δ' ἀκρόπολις ἐκαλεῖτο Μεμνόνιον. λέγονται δὲ καὶ Κίσσιοι οἱ Σούσιοι, φησὶ δὲ καὶ Αἰσχύλος (F 405) τὴν μητέρα Μέμνονος Κισσίαν (ταφῆναι δὲ λέγε-
8 ται Μέμνων περὶ Πάλτον τῆς Συρίας παρὰ Βαδᾶν ποταμόν, ὡς εἴρηκε Σιμωνίδης ἐν Μέμνονι διθυράμβῳ τῶν Δηλιακῶν [PMG 539]). τὸ δὲ τεῖχος ᾠκοδόμητο τῆς πόλεως καὶ ἱερὰ καὶ βασίλεια παραπλησίως ὥσπερ τὰ τῶν Βαβυλωνίων, ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, καθάπερ εἰρήκασί τινες·

26 St. B. 360, 3 728 6 sq. *St. B. 583, 4 sq. 6 *Eust. D. P. 396, 33 sq. (? vide comm.)

24 ἕως P: om. cett.; ἢ Miller (1865, 27) πλείω E; πλείων yz, πλειόνων Groskurd ἢ ante τῶν add. codd.: del. Korais; an {τῶν}? τρισχιλίων Seidel (177 sq.) coll. 80, 19 sq.: δισ- (,β ων E) codd. 25 περσέπολιν E; vide 729, 32 comm. 27 δὲ pro τε Casaubonus, fort. recte πατισχ- DE 28 οἱ ante Ἀχαιμενίδαι add. codd.: delevi οἱ ante Μάγοι legitur in textu Casauboni (qui tamen ipse articulum deleri voluit) 29 Μάρδοι Casaubonus: μαραοὶ codd. 728 1 τρίτον Tyrwhitt (41): κρεῖττον codd.; κρεῖττον ⟨ὂν⟩ Casaubonus, ⟨ὃ⟩ κρεῖττον Papabasileiou (225 sq.) 2 ἐπήβολον D^{pc} (coniecit Casaubonus): ἐπηβόλον F, ἐπίβολον BC, ἐπήβωλον D^{ac} (ut vid.) ὑφ' C: ἐφ' cett., fort. rectius 3 τετάχθαι Korais: τέτακται codd. 4 καὶ om. x 6 Μεμνόνειον D^{ac}; cf. 45, 35 comm. 8 Πάλτον CD: παλτὸν F, τάλτον B Βαδᾶν D: βαδὰν BC, βάδαν F; Βαλᾶν Müller (1035 ad 619, 44), Βαλδᾶν Honigmann (ZPalV 46, 1923, 167. RE s.v. Syria 1556, 58 sqq. 1603, 64 sq.) 9 διθυράμβῳ ⟨καὶ Σῆμος ὁ Δήλιος ἐν ...⟩ τῶν Schneidewin (Philologus 1, 1846, 40)

24 spitzen, auch neuntausend (bis zum Kaspischen Tor bleiben nicht mehr als dreitausend). Die Breite im Binnenland beträgt von Susa nach Persepolis viertausendzweihundert Stadien und von dort zu den Grenzen Karmaniens weitere eintausendsechshundert. Die Stämme die das Land bewohnen sind
28 erstens die sogenannten Pateischorer, Achaimeniden und Magier, die nach einer höheren Lebensführung streben; die Kyrtier und Marder dagegen sind Räuber, Andere Bauern.

2 Gewissermaßen ein Teil Persiens ist auch die Susis, die zwischen ihm und Babylonien liegt und in der sich die höchst bedeutende Stadt Susa befindet.
32 Als nämlich die Perser und Kyros nach ihrem Sieg über die Meder sahen dass ihr eigenes Land ungefähr am äußersten Rand lag, Susis dagegen mehr im Inneren und näher zu Babylonien und den anderen Völkern, richteten sie dort den Königssitz ihres Reiches ein, wobei für sie zugleich auch die Nach-
728 barschaft des Landes und das Prestige der Stadt ins Gewicht fiel und drittens der Umstand dass die Susis niemals selber große Macht entfaltet sondern immer als Teil eines größeren Verbandes Anderen unterstanden hatte
4 — es sei denn in alter Zeit in der Ära der Heroen. Soll Susa doch von Tithonos, Memnons Vater, gegründet worden sein mit einem Umkreis von hundertundzwanzig Stadien in länglicher Form; die Burg hieß Memnonion. Die Susier werden auch Kissier genannt, und auch Aischylos (F 405) nennt
8 Memnons Mutter eine Kissische (begraben soll Memnon bei Paltos in Syrien sein, am Ufer des Flusses Badas, wie Simonides im *Memnon*, einem der Delischen Dithyramben, sagt [PMG 539]). Die Mauer der Stadt war ebenso wie die Heiligtümer und der Palast in gleicher Weise gebaut wie die babylonischen, nämlich aus gebrannten Ziegeln und Erdpech, wie Manche sagen;

12 Πολύκλειτος δὲ (FGrHist 128 F 2) διακοσίων φησὶ τὸν κύκλον καὶ ἀτεί-
χιστον.

Κοσμήσαντες δὲ τὰ ἐν Σούσοις βασίλεια μάλιστα τῶν ἄλλων οὐδὲν 3
ἧττον καὶ τὰ ἐν Περσαιπόλει καὶ τὰ ἐν Πασαργάδαις ἐξετίμησαν, καὶ ἥ
16 γε γάζα καὶ οἱ θησαυροὶ καὶ τὰ μνήματα ἐνταῦθα ἦν τοῖς Πέρσαις ὡς ἐν
τόποις ἐρυμνοτέροις καὶ ἅμα προγονικοῖς· ἦν δὲ καὶ ἄλλα βασίλεια, τὰ
ἐν Γάβαις ἐν τοῖς ἀνωτέρω που μέρεσι τῆς Περσίδος καὶ τὰ ἐν τῇ παραλίᾳ
τὰ κατὰ τὴν Ταόκην λεγομένην. ταῦτα μὲν τὰ κατὰ τὴν τῶν Περσῶν ἀρχήν·
20 οἱ δ' ὕστερον ἄλλοις καὶ ἄλλοις ἐχρήσαντο, ὡς εἰκός, εὐτελεστέροις τισὶν
ἅτε καὶ τῆς Περσίδος ἠλαττωμένης ὑπό τε τῶν Μακεδόνων καὶ ἔτι μᾶλλον
ὑπὸ τῶν Παρθυαίων· καὶ γὰρ εἰ βασιλεύονται μέχρι νῦν ἴδιον βασιλέα
ἔχοντες οἱ Πέρσαι, τῇ γε δυνάμει πλεῖστον ἀπολείπονται καὶ τῷ Παρθυ-
24 αίων προσέχουσι βασιλεῖ.

Τὰ μὲν οὖν Σοῦσα ἐν μεσογαίοις κεῖται ἐπὶ τῷ Χοάσπῃ ποταμῷ περαι- 4
τέρω κατὰ τὸ ζεῦγμα, ἡ δὲ χώρα μέχρι τῆς θαλάττης καθήκει· καὶ ἔστιν
αὐτῆς ἡ παραλία μέχρι τῶν ἐκβολῶν σχεδόν τι τοῦ Τίγριος ἀπὸ τῶν ὅρων
28 τῆς Περσικῆς παραλίας σταδίων ὡς τρισχιλίων. ῥεῖ δὲ διὰ τῆς χώρας ὁ
Χοάσπης εἰς τὴν αὐτὴν τελευτῶν παραλίαν, ἀπὸ τῶν Οὐξίων τὰς ἀρχὰς
ἔχων· παρεμπίπτει γάρ τις ὀρεινὴ τραχεῖα καὶ ἀπότομος μεταξὺ τῶν Σου-
σίων καὶ τῆς Περσίδος στενὰ ἔχουσα δυσπάροδα καὶ ἀνθρώπους λῃστάς, οἳ
32 μισθοὺς ἐπράττοντο καὶ αὐτοὺς τοὺς βασιλέας κατὰ τὴν ἐκ Σούσων εἰς
Πέρσας εἰσβολήν. φησὶ δὲ Πολύκλειτος (FGrHist 128 F 6) εἰς λίμνην τινὰ
συμβάλλειν τόν τε Χοάσπην καὶ τὸν Εὔλαιον καὶ ἔτι τὸν Τίγριν, εἶτ'
ἐκεῖθεν εἰς τὴν θάλατταν ἐκδιδόναι· πρὸς δὲ τῇ λίμνῃ καὶ ἐμπόριον εἶναι,
729C. τῶν ποταμῶν μὲν οὐ δεχομένων τὰ ἐκ τῆς θα|λάττης οὐδὲ καταπεμπόντων
διὰ τοὺς καταρράκτας ἐπίτηδες γενομένους, πεζῇ δ' ἐμπορευομένων· ὀκτα-
κοσίους δ' εἶναι σταδίους εἰς Σοῦσα. ἄλλοι δέ φασι τοὺς διὰ Σουσίων πο-

729 3–5 *Eust. D. P. 404, 15–7

12 δὲ Korais: τε codd.; Π. ⟨δὲ σταδίων⟩ τε Jacoby **15** Περσαιπόλει qxyz: περσε- BCDEF; vide 729, 32 comm. **17** τά ⟨τε⟩? **19** Ταόκην Casaubonus: ὤκην D, ὀκὴν F, ὄκην cett. **21** τε om. q **26** ⟨ἢ⟩ κατὰ Casaubonus **27** τίγρητος D[t] **28** δισχιλίων Gossellin coll. 729, 13 sq. **34** Εὔλαιον F: εὔλεον cett. **35** ἐμπόριον Kramer: ἐμπορίον F, ἐμπορεῖον cett. **36** {μὲν} Korais τῆς om. F
729 **2** καταρράκτας qxz: καταράκτας BCDF **2 sq.** ⟨χιλίους⟩ ὀκτακοσίους Gossellin **3** δ' scripsi: γὰρ codd. λέγουσιν ἄλλοι post Σοῦσα add. codd.: del. Kramer; λέγουσιν {ἄλλοι} Korais Σουσίων Groskurd: σούσων codd.

12 doch sagt Polykleitos (FGrHist 128 F 2), ihr Umkreis habe zweihundert be-
tragen und keine Mauer gehabt.

Obwohl sie den Palast in Susa am meisten von allen verschönert hatten, 3
hielten sie nichtsdestoweniger auch die Paläste in Persepolis und in Pasarga-
16 dai in hohen Ehren: dort hatten die Perser auch ihren Reichsschatz, ihre
Schatzkammern und ihre Grabmonumente, da es naturfestere und zugleich
angestammte Plätze waren; es gab auch noch andere Paläste: den in Gabai,
irgendwo in den weiter hinauf gelegenen Regionen Persiens, und den an der
Küste bei dem sogenannten Taoke. Dies waren die Paläste zur Zeit der per-
20 sischen Herrschaft; die späteren Könige benutzten immer wieder andere,
die begreiflicherweise bescheidener waren, da ja auch Persien von den Ma-
kedonen und noch mehr von den Parthern gedemütigt worden war; denn
wenn die Perser auch bis heute von einem eigenen König regiert werden: ih-
24 re Macht haben sie weitestgehend verloren und gehorchen dem König der
Parther.

Susa liegt im Binnenland an dem Fluss Choaspes, etwas von ihm entfernt 4
auf der Höhe der Uferverbindung, aber sein Gebiet reicht bis zum Meer,
28 und dessen Küste bis ungefähr zur Tigrismündung misst von der Grenze zur
Persischen Küste an etwa dreitausend Stadien. Durch das Land fließt der
Choaspes, der an derselben Küste endet und seinen Ursprung bei den
Uxiern hat; es schiebt sich nämlich ein rauher und steiler Gebirgszug zwi-
schen die Susier und Persien mit schwer passierbaren Engen und räube-
32 rischen Bewohnern, die an dem Einfallstor von Susa nach Persien sogar
selbst den Königen Bezahlung abverlangten. Polykleitos sagt (FGrHist
128 F 6), der Choaspes und der Eulaios sowie auch der Tigris flössen in ei-
nen See zusammen und mündeten von dort ins Meer; bei dem See liege auch
729 ein Handelsplatz, da wegen der absichtlich angebrachten Stromschnellen
die Waren von Übersee nicht über die Flüsse hinauf- und herabgebracht
werden könnten, sondern über Land transportiert würden; es seien achthun-
dert Stadien nach Susa. Andere sagen, die durch die Susis fließenden Flüsse

4 ταμοὺς εἰς ἓν ῥεῦμα τὸ τοῦ Τίγριος συμπίπτειν καὶ τὰς μεταξὺ διώρυγας
τοῦ Εὐφράτου, διὰ δὲ τοῦτο κατὰ τὰς ἐκβολὰς ὀνομάζεσθαι Πασίτιγριν.

Νέαρχος δὲ (FGrHist 133 F 25) τὸν παράπλουν τῆς Σουσίδος τεναγώδη 5
φήσας πέρας αὐτοῦ λέγει τὸν Εὐφράτην ποταμόν. πρὸς δὲ τῷ στόματι κώ-
8 μην οἰκεῖσθαι τὴν ὑποδεχομένην τὰ ἐκ τῆς Ἀραβίας φορτία· συνάπτειν γὰρ
ἐφεξῆς τὴν τῶν Ἀράβων παραλίαν τῷ στόματι τοῦ Εὐφράτου καὶ τοῦ Πασι-
τίγριος, τὸ δὲ μεταξὺ πᾶν ἐπέχειν λίμνην τὴν ὑποδεχομένην τὸν Τίγριν.
ἀναπλεύσαντι δὲ τῷ Πασιτίγρει σταδίους πεντήκοντα καὶ ἑκατὸν τὴν σχε-
12 δίαν εἶναι τὴν ἄγουσαν ἐπὶ Σούσων ἐκ τῆς Περσίδος, ἀπέχουσαν Σούσων
σταδίους ἑξήκοντα· τὸν δὲ Πασίτιγριν ἀπὸ τοῦ Ὀροάτιδος διέχειν περὶ
δισχιλίους σταδίους. διὰ δὲ τῆς λίμνης ἐπὶ τὸ στόμα τοῦ Τίγριος τὸν
ἀνάπλουν εἶναι σταδίων ἑξακοσίων, πλησίον δὲ τοῦ στόματος κώμην οἰ-
16 κεῖσθαι τῆς Σουσιανῆς διέχουσαν τῶν Σούσων σταδίους πεντακοσίους. ἀπὸ
δὲ τοῦ στόματος τοῦ Εὐφράτου καὶ μέχρι Βαβυλῶνος τὸν ἀνάπλουν εἶναι
διὰ γῆς οἰκουμένης καλῶς σταδίων πλειόνων ἢ τρισχιλίων. Ὀνησίκριτος
δὲ (FGrHist 134 F 33) πάντας φησὶν ἐμβάλλειν εἰς τὴν λίμνην, τόν τε
20 Εὐφράτην καὶ τὸν Τίγριν * * *, ἐκπεσόντα δὲ πάλιν τὸν Εὐφράτην ἐκ τῆς
λίμνης ἰδίῳ στόματι πρὸς τὴν θάλατταν συνάπτειν.

Ἔστι δὲ καὶ ἄλλα πλείω στενὰ διεκβαλόντι τὰ ἐν τοῖς Οὐξίοις κατ' 6
αὐτὴν τὴν Περσίδα, ἃ καὶ αὐτὰ βίᾳ διῆλθεν Ἀλέξανδρος — κατά τε τὰς
24 Περσικὰς πύλας καὶ κατ' ἄλλους τόπους — διεξιὼν τὴν χώραν καὶ κατοπ-
τεῦσαι σπεύδων τὰ κυριώτατα μέρη καὶ τὰ γαζοφυλάκια, ἃ τοσούτοις χρό-
νοις ἐξεπεπλήρωτο, οἷς ἐδασμολόγησαν Πέρσαι τὴν Ἀσίαν. ποταμοὺς δὲ
διέβη πλείους τοὺς διαρρέοντας τὴν χώραν καὶ καταφερομένους εἰς τὸν
28 Περσικὸν κόλπον. μετὰ γὰρ τὸν Χοάσπην ὁ Κοπράτας ἐστὶ καὶ ὁ Πασίτι-

4 τὸ om. E κατὰ pro καὶ Korais 5 δὴ pro δὲ xz πασίτιγριν ὀνομάζεσθαι E Πασίτιγριν E^{pc}: πασιτίγρειν F^{pc} (pot. qu. F^{ac}), πασιτίγριν cett. 11 τὸν πασίτιγριν E 12 ἐκ τῆς περ(αίας Σου)σίδος Groskurd 13 ἑξακοσίους? Kramer Πασίτιγριν D: πα-σιτίγριν CF, Eust. QR, πᾶσι τίγριν Eust. BC, πάσιτίγριν B 16 τῆς Σουσιανῆς scripsi: τὴν σουσιανὴν codd.; (τινα) Σουσιανὴν vel Ἄγινιν Σουσιανὴν Korais 17 καὶ om. qxy, fort. recte 18 γῆς Casaubonus: τῆς codd. 19 πάντως v. Herwerden (453) ἐμβάλλειν B^{s}EF: ἐκ- cett. 20 lacunam significavi, aliorum fluviorum nomina, utique τὸν Πασίτιγριν, excidisse ratus 21 θάλασσ- D 22 διεκβαλόντι scripsi: -βάλλοντι codd. 28 Κοπράτας CDF: κοπράτης E, κοπάτρας B^{ac}, κοπράτρας B^{pc} ποταμὸς post ἐστὶ add. E 28 sq. Πασίτιγρις E: πασατίγρις B^{ac}D, πασιτίγρις cett.

4 und die Zwischenkanäle des Euphrat vereinigten sich zu dem *einen* Strom
des Tigris, und deshalb werde er bei seiner Mündung Pasitigris genannt.

Nearchos sagt (FGrHist 133 F 25), die Küste der Susis sei seicht und ihr 5
8 Ende bilde der Euphrat-Fluss. An seiner Mündung liege ein Dorf, das der
Stapelplatz für die Waren aus Arabien sei: unmittelbar an die Mündung des
Euphrat und des Pasitigris stoße nämlich die arabische Küste; den ganzen
Raum dazwischen nehme der See ein der den Tigris aufnimmt. Fahre man
12 den Pasitigris hundertundfünfzig Stadien hinauf, dann sei dort die Schiff-
brücke die aus Persien nach Susa führt und sechzig Stadien von Susa ent-
fernt ist; der Pasitigris sei von dem Oroatis rund zweitausend Stadien ent-
fernt. Über den See schiffe man sechshundert Stadien landeinwärts zu der
16 Mündung des Tigris, und dicht an der Mündung liege in der Susiane ein
fünfhundert Stadien von Susa entferntes Dorf. Von der Mündung des Eu-
phrat führe die Fahrt bis ganz nach Babylon durch wohlbesiedeltes Land
und belaufe sich auf mehr als dreitausend Stadien. Onesikritos sagt
20 (FGrHist 134 F 33), alle Flüsse mündeten in den See, der Euphrat, der Ti-
gris * * *, doch breche der Euphrat wieder aus dem See hervor und erreiche
mit einer eigenen Mündung das Meer.

Es gibt, wenn man durch die Passengen bei den Uxiern gekommen ist, 6
noch mehrere weitere in Persien selber. Sie hat Alexander ebenfalls in Ge-
24 waltmärschen durchschritten – beim Persischen Tor und anderenorts –,
als er durch das Land zog und eilte, seine wichtigsten Gegenden zu erkun-
den, sowie die Schatzkammern, die sich in all den Jahren angefüllt hatten in
denen die Perser Asien besteuert hatten. Er überschritt mehrere Flüsse die
28 das Land durchströmen und zum Persischen Golf hinablaufen. Nach dem
Choaspes nämlich kommt der Kopratas und der Pasitigris, der ebenfalls aus

γρις, ὃς ἐκ τῆς Οὐξίας καὶ αὐτὸς ῥεῖ· ἔστι δὲ καὶ Κῦρος ποταμὸς διὰ
τῆς Κοίλης καλουμένης Περσίδος ῥέων περὶ Πασαργάδας (οὗ μετέλαβε
τοὔνομα ὁ βασιλεύς, ἀντὶ Ἀγραδάτου μετονομασθεὶς Κῦρος)· πρὸς αὐτῇ δὲ
32 τῇ Περσαιπόλει τὸν Ἀράξην διέβη. ἦν δ' ἡ Περσαίπολις μετὰ Σοῦσα κάλ-
λιστα κατεσκευασμένη, μεγίστη πόλις ἔχουσα βασίλεια ἐκπρεπῆ, καὶ μά-
λιστα τῇ πολυτελείᾳ τῶν κειμένων. ῥεῖ δ' ὁ Ἀράξης ἐκ τῶν Παραιτακῶν,
συμβάλλει δ' εἰς αὐτὸν ὁ Μῆδος ἐκ Μηδίας ὁρμηθείς, φέρονται δὲ δι' αὐ-
36 λῶνος παμφόρου συνάπτοντος τῇ Καρμανίᾳ καὶ τοῖς ἑωθινοῖς μέρεσι τῆς
730C. χώρας, καθάπερ καὶ αὐτὴ ἡ Περσαίπολις. ἐνέπρησε δὲ ὁ Ἀλέξανδρος τὰ
ἐν Περσαιπόλει βασίλεια τιμωρῶν τοῖς Ἕλλησιν, ὅτι κἀκείνων ἱερὰ καὶ
πόλεις οἱ Πέρσαι πυρὶ καὶ σιδήρῳ διεπόρθησαν.

4 Εἶτ' εἰς Πασαργάδας ἧκε· καὶ τοῦτο δ' ἦν βασίλειον ἀρχαῖον. ἐνταῦθα 7
δὲ καὶ τὸν Κύρου τάφον εἶδεν ἐν παραδείσῳ, πύργον οὐ μέγαν τῷ δάσει
τῶν δένδρων ἐναποκεκρυμμένον, κάτω μὲν στερεόν, ἄνω δὲ στέγην ἔχοντα
καὶ σηκὸν στενὴν τελέως ἔχοντα τὴν εἴσοδον. δι' ἧς παρελθεῖν εἴσω φησὶν
8 Ἀριστόβουλος (FGrHist 139 F 51) κελεύσαντος τοῦ βασιλέως καὶ κοσμῆσαι
τὸν τάφον· ἰδεῖν δὲ κλίνην τε χρυσῆν καὶ τράπεζαν σὺν ἐκπώμασι καὶ
πύελον χρυσῆν καὶ ἐσθῆτα πολλὴν κόσμον τε λιθοκόλλητον. κατὰ μὲν οὖν
τὴν πρώτην ἐπιδημίαν ταῦτ' ἰδεῖν, ὕστερον δὲ συληθῆναι· καὶ τὰ μὲν ἄλλα
12 ἐκκομισθῆναι, τὴν δὲ κλίνην θραυσθῆναι μόνον καὶ τὴν πύελον μεταθέντων
τὸν νεκρόν (δι' οὗ δῆλον γενέσθαι διότι προνομευτῶν ἔργον ἦν — οὐχὶ τοῦ
σατράπου — καταλιπόντων ἃ μὴ δυνατὸν ἦν ῥᾳδίως ἐκκομίσαι). συμβῆναι
δὲ ταῦτα καίπερ φυλακῆς περικειμένης Μάγων σίτησιν λαμβανόντων καθ'
16 ἡμέραν πρόβατον, διὰ μηνὸς δ' ἵππον· ἀλλ' ὁ ἐκτοπισμὸς τῆς Ἀλεξάνδρου
στρατιᾶς εἰς Βάκτρα καὶ Ἰνδοὺς πολλά τε ἄλλα νεωτερισθῆναι παρεσκεύασε
καὶ δὴ καὶ τοῦθ' ἓν τῶν νεωτερισθέντων ὑπῆρξεν. οὕτω μὲν οὖν Ἀριστό-
βουλος εἴρηκε, καὶ τὸ ἐπίγραμμα δὲ ἀπομνημονεύει τοῦτο· 'ὦ ἄνθρωπε,

730 **4–11** *Eust. D. P. 396, 2–8 **19–21** *Eust. D. P. 396, 11–3

29 καὶ post. om. D **30** παρὰ pro περὶ Cobet (Misc. 199) μετέβαλε E (coniecit Casaubonus) **31** τὸ ὄνομα q ὁ q: om. BCDEF Ἀτρα- Aly (1957, 418[2]) **32** τῇ D[ac]: om. cett. περσεπόλει D[i]E δὲ q περσέπολις D **32-4** an ἦν — κειμένων post 37 Περσαίπολις transponenda? **34** Παραιτακῶν Korais: παραιτάκων E, παρετάκων cett. **37** περσέπολις DE 730 **2** περσεπόλει DE **6** κάτωθεν μὲν z **7** στενὴν ἔχοντα τελέως E **9** τε pro δὲ E τε om. E **13** δι' οὗ Tyrwhitt (41): δ' οὐ codd.; ἐξ οὗ Salmasius (Plin. exerc. 1203 D) **15** σίτησιν Scherpezeelius, Cobet (Misc. 199): σίτισιν codd. **17** στρατείας Villebrune

Uxien fließt; es gibt auch einen Fluss Kyros, der bei Pasargadai durch das
sogenannte Hohle Persien fließt (von ihm hat der König seinen Namen entlehnt, als er sich Kyros statt Agradates nennen ließ); und unmittelbar bei
32 Persepolis überquerte er den Araxes. Persepolis war nach Susa am schönsten
ausgebaut, eine sehr große Stadt mit einem sich besonders durch die Kostbarkeit seiner Schätze auszeichnenden Palast. Der Araxes kommt aus dem
Land der Paraitaker; in ihn mündet der Medos ein, der in Medien ent-
36 springt, und sie nehmen ihren Lauf durch ein fruchtreiches Tal, das, ebenso
wie Persepolis selber, an Karmanien und die östlichen Regionen des Landes
730 stößt. Alexander hat den Palast in Persepolis in Flammen aufgehen lassen
um die Griechen zu rächen, weil die Perser auch deren Heiligtümer und
Städte mit Feuer und Schwert zerstört hatten.

4 Dann kam er nach Pasargadai; auch dies war ein alter Königssitz. Dort 7
sah er auch das Grab des Kyros in einem Park, einen im Dickicht der Bäume versteckten nicht sehr großen Turm; unten war er massiv, oben hatte er
ein Obergeschoss und eine Kammer mit einem ganz schmalen Eingang.
8 Durch ihn, sagt Aristobulos (FGrHist 139 F 51), sei er auf Befehl des Königs hineingegangen und habe das Grab geschmückt; er habe ein goldenes
Ruhebett und einen Tisch mit Trinkgeschirr gesehen sowie einen goldenen
Sarkophag und viele Gewänder und mit Edelsteinen besetztes Geschmeide.
Das habe er bei seinem ersten Aufenthalt gesehen; später sei es geraubt wor-
12 den: alles übrige sei herausgeschafft worden, das Ruhebett aber nur beschädigt gewesen, ebenso wie der Sarkophag, aus dem man den Leichnam entfernt hatte (dadurch sei klar geworden dass dies das Werk von Plünderern
– und nicht des Satrapen – war, die zurückgelassen hatten was nicht leicht
herauszuschaffen war). Dies sei geschehen obwohl ringsherum eine Wache
16 von Magiern lag, die als Beköstigung täglich ein Schaf und jeden Monat ein
Pferd bekamen; aber der Fortzug von Alexanders Heer nach Baktra und Indien hatte den Weg auch für viele andere Ordnungswidrigkeiten freigemacht, und dies war eine davon. Das ist was Aristobulos berichtet, und er
zeichnet aus dem Gedächtnis auch folgende Inschrift auf: 'Mensch, ich bin

20 ἐγὼ Κῦρός εἰμι ὁ τὴν ἀρχὴν τοῖς Πέρσαις κτησάμενος καὶ τῆς Ἀσίας βα-
σιλεύσας· μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος'. Ὀνησίκριτος δὲ (FGrHist
134 F 34) τὸν μὲν πύργον δεκάστεγον εἴρηκε καὶ ἐν μὲν τῇ ἀνωτάτω στέ-
γῃ κεῖσθαι τὸν Κῦρον, ἐπίγραμμα δ' εἶναι Ἑλληνικὸν Περσικοῖς κεχαραγ-
24 μένον γράμμασιν 'ἐνθάδ' ἐγὼ κεῖμαι Κῦρος βασιλεὺς βασιλήων' καὶ ἄλλο
περσίζον πρὸς τὸν αὐτὸν νοῦν. (μέμνηται δ' Ὀνησίκριτος [FGrHist 134 F 8
35] καὶ τοῦ ἐπὶ τῷ Δαρείου τάφῳ γράμματος τοῦδε· 'φίλος ἦν τοῖς φίλοις·
ἱππεὺς καὶ τοξότης ἄριστος ἐγενόμην· κυνηγῶν ἐκράτουν· πάντα ποιεῖν
28 ἠδυνάμην'). Ἄριστος δ' ὁ Σαλαμίνιος πολὺ μέν ἐστι νεώτερος τούτων,
λέγει δὲ (FGrHist 143 F 1) δίστεγον τὸν πύργον καὶ μέγαν, ἐν δὲ τῇ
Περσῶν διαδοχῇ ἱδρῦσθαι, φυλάττεσθαι δὲ τὸν τάφον, ἐπίγραμμα δὲ τὸ
λεχθὲν Ἑλληνικὸν καὶ ἄλλο Περσικὸν πρὸς τὸν αὐτὸν νοῦν. τοὺς δὲ Πασαρ-
32 γάδας ἐτίμησε Κῦρος ὅτι τὴν ὑστάτην μάχην ἐνίκησεν Ἀστυάγην ἐνταῦθα
τὸν Μῆδον καὶ τὴν ἀρχὴν τῆς Ἀσίας μετήνεγκεν εἰς ἑαυτόν· καὶ πόλιν
ἔκτισε καὶ βασίλειον κατεσκεύασε τῆς νίκης μνημεῖον.

731C. Πάντα δὲ τὰ ἐν τῇ Περσίδι χρήματα ἐξεσκευάσατο | εἰς τὰ Σοῦσα (καὶ 9
αὐτὰ θησαυρῶν καὶ κατασκευῆς μεστά). οὐδὲ τοῦθ' ἡγεῖτο βασίλειον, ἀλλὰ
τὴν Βαβυλῶνα, καὶ διενοεῖτο ταύτην προσκατασκευάζειν· κἀνταῦθα δ'
4 ἔκειντο θησαυροί. φασὶ δὲ χωρὶς τῶν ἐν Βαβυλῶνι καὶ τῶν ἐν τῷ στρατο-
πέδῳ τῷ περὶ Γαυγάμηλα ληφθέντων αὐτὰ τὰ ἐν Σούσοις καὶ τὰ ἐν Περσίδι
τέτταρας μυριάδας ταλάντων ἐξετασθῆναι· τινὲς δὲ καὶ πέντε λέγουσιν·
ἄλλοι δὲ πάντα πάντοθεν συναχθῆναι παραδεδώκασιν εἰς Ἐκβάτανα ὀκτω-
8 καίδεκα μυριάδας ταλάντων (τὰ δὲ Δαρείῳ φεύγοντι ἐκ τῆς Μηδίας συνεκ-
κομισθέντα τάλαντα ὀκτακισχίλια διήρπασαν οἱ δολοφονήσαντες αὐτόν). τὴν 10

23 sq. *Eust. D. P. 396, 8–10 **26–8** *Eust. D. P. 396, 14–6

20 sq. βασιλεύσας Eust.: βασιλεύς BCDF **25** Περσικὸν Cobet ms. **26** τοῦ ἐπὶ τῷ Δ. τ. γράμματος τοῦδε scripsi (τῷ Δ. iam xz): τὸ (τοῦ D[ac], ut vid.) ἐπὶ τοῦ Δ. τ. γράμμα τόδε codd.; vide comm. (ἐπίγραμμα praebet i, prob. Kramer olim [retractavit 3, 683 ad 252, 25]) **27** ἐγενόμην X, Eust. BCDQ (coniecerunt Plan., Xylander): γενόμην cett., Eust. R **33** πόλιν ⟨δ'⟩? **35** χρήματα ⟨'Αλέξανδρος⟩ Groskurd, v. Herwerden (453) **731 1** τὰ om. E **2** καὶ om. E καὶ ante οὐδὲ add. E ᾕρεῖτο Groskurd τὸ post ἡγεῖτο add. codd.: del. Korais **5** τῷ περὶ Γαυγάμηλα praeclare Madvig (Adv. 1, 136; cf. iam 1864, 19 sq.), Pearson (CQ 1, 1951, 84 sq.): τῶν περὶ ταῦτα μὴ codd.; τῶν παρὰ ταῦτα (vel τῷ περὶ ταύτην) Korais, τῶν παρὰ ταῦτα μὴ Kramer **6** τέσσαρας F **7** πανταχόθεν E **8** φεύγοντι scripsi (cf. E): φυγόντι codd. τῆς om. E

20 Kyros, der den Persern die Herrschaft erworben hat und König über Asien
gewesen ist: missgönne mir also mein Grabmal nicht'. Onesikritos dagegen
sagt (FGrHist 134 F 34), der Turm habe zehn Stockwerke, in dem obersten
Geschoss liege Kyros, und eine mit persischen Schriftzeichen eingemeißelte
24 griechische Inschrift laute 'Ich bins, der hier liegt, der König der Könige
Kyros' und eine andere, persische, habe denselben Sinn. (Onesikritos 8
[FGrHist 134 F 35] erwähnt auch folgende Inschrift auf dem Grab des Da-
reios: 'Meinen Freunden war ich ein Freund; ich war der beste Reiter und
28 Bogenschütze; als Jäger war ich der erste; alles vermochte ich'). Aristos der
Salaminier ist zwar viel jünger als sie, doch sagt er (FGrHist 143 F 1), der
Turm habe zwei Stockwerke, sei groß und in der Nachfolge der Perser er-
richtet worden; das Grab werde bewacht und es sei dort die besagte griechi-
sche Inschrift und eine andere persische desselben Inhalts zu lesen. Die Pa-
32 sargader wurden von Kyros geehrt weil er hier die letzte Schlacht gegen den
Meder Astyages gewonnen und damit die Herrschaft über Asien an sich ge-
bracht hatte; zur Erinnerung an den Sieg gründete er hier eine Stadt und
baute sie zum Königssitz aus.

731 Das ganze Geld das sich in Persien befand ließ er nach Susa fortschaffen 9
(das auch selber voll von Schätzen und glänzender Einrichtung war). Doch
betrachtete er nicht diese Stadt als seine Residenz, sondern Babylon, das er
4 noch weiter auszubauen gedachte; auch dort lagen Schätze. Man sagt, abge-
sehen von dem was in Babylon lag und dem was im Heereslager bei Gauga-
mela erbeutet worden war habe allein das in Susa und in Persien Befindliche
sich auf vierzigtausend Talente belaufen, Manche sagen auch: fünfzigtau-
send; und Andere berichten, von überallher seien nach Ekbatana im ganzen
8 hundertachtzigtausend Talente zusammengebracht worden (die achttau-
send Talente, die Dareios bei seiner Flucht aus Medien mitgenommen hatte,
waren von seinen Meuchelmördern geraubt worden). Jedenfalls gab Alexan- 10

δ' οὖν Βαβυλῶνα ὁ Ἀλέξανδρος προέκρινεν ὁρῶν καὶ τῷ μεγέθει πολὺ ὑπερ-
βάλλουσαν καὶ τοῖς ἄλλοις.

12 Εὐδαίμων δ' οὖσα ἡ Σουσὶς ἔκπυρον τὸν ἀέρα ἔχει καὶ καυματηρόν,
καὶ μάλιστα τὸν περὶ τὴν πόλιν, ὥς φησιν ἐκεῖνος (deest in FGrHist)·
τὰς γοῦν σαύρας καὶ τοὺς ὄφεις θέρους ἀκμάζοντος τοῦ ἡλίου κατὰ μεσημ-
βρίαν διαβῆναι μὴ φθάνειν τὰς ὁδοὺς τὰς ἐν τῇ πόλει, ἀλλ' ἐν μέσαις
16 περιφλέγεσθαι — ὅπερ τῆς Περσίδος μηδαμοῦ συμβαίνειν καίπερ νοτιωτέρας
οὔσης —, λουτρὰ δὲ ψυχρὰ προτεθέντα ἐκθερμαίνεσθαι παραχρῆμα, τὰς δὲ
κριθὰς διασπαρείσας εἰς τὸν ἥλιον ἀνάλλεσθαι, καθάπερ ἐν τοῖς ἰπνοῖς
τὰς κάχρυς. διὸ καὶ ταῖς στέγαις ἐπὶ δύο πήχεις τὴν γῆν ἐπιτίθεσθαι,
20 ὑπὸ δὲ τοῦ βάρους ἀναγκάζεσθαι στενοὺς μέν, μακροὺς δὲ ποιεῖσθαι τοὺς
οἴκους ἀπορουμένους μακρῶν μὲν δοκῶν, δεομένους δὲ μεγάλων οἴκων διὰ
τὸ πνῖγος. ἴδιον δέ τι πάσχειν τὴν φοινικίνην δοκόν· στερεὰν γὰρ οὖσαν
παλαιουμένην οὐκ εἰς τὸ κάτω τὴν ἔνδοσιν λαμβάνειν, ἀλλ' εἰς τὸ ἄνω
24 μέρος κυρτοῦσθαι τῷ βάρει καὶ βέλτιον ἀνέχειν τὴν ὀροφήν. αἴτιον δὲ
τῶν καυμάτων λέγεται τὸ ὑπερκεῖσθαι πρὸς ἄρκτον ὄρη ὑψηλὰ τὰ προεκδε-
χόμενα ἅπαντας τοὺς βορείους ἀνέμους· ὑπερπετεῖς δὴ πνέοντες ἀπὸ τῶν
ἀκρωτηρίων μετέωροι τῶν γε πεδίων οὐ προσάπτονται, ἀλλὰ παρελαύνουσιν
28 εἰς τὰ νοτιώτερα τῆς Σουσίδος· αὕτη δὲ νηνεμίαις κατέχεται, καὶ μάλιστα
τότε ἡνίκα ⟨οἱ⟩ ἐτησίαι τὴν ἄλλην γῆν καταψύχουσιν ἐκκαομένην ὑπὸ τῶν
καυμάτων.

Πολύσιτος δ' ἄγαν ἐστίν, ὥστε ἑκατοντάχουν δι' ὁμαλοῦ καὶ κριθὴν καὶ **11**
32 πυρὸν ἐκτρέφειν, ἔστι δ' ὅτε καὶ διακοσιοντάχουν· διόπερ οὐδὲ πυκνὰς
τὰς αὔλακας τέμνουσι· πυκνούμεναι γὰρ κωλύουσιν αἱ ῥίζαι τὴν βλάστην.
τὴν δ' ἄμπελον οὐ φυομένην πρότερον Μακεδόνες κατεφύτευσαν κἀκεῖ καὶ
ἐν Βαβυλῶνι, οὐ ταφρεύοντες, ἀλλὰ παττάλους κατασεσιδηρωμένους ἐξ

12–7 *Eust. D. P. 396, 34–9

10 δ' οὖν Korais: γοῦν codd. **12** ἔμπυρον? Korais καὶ E: om. cett. **13** Πολύ-
κλειτος pro ἐκεῖνος Madvig (Adv. 1, 137^0) **15** φθάνειν τὰς ἐν τῇ πόλει ὁδοὺς X
17 θερμαίνεσθαι D **18** ἀνάλλεσθαι Aly (1983, 19): φρύγεσθαι X, ἀλεαίνεσθαι cett.;
ἅλλεσθαι Korais ἐν ἵπνῳ (sic) X **19** κάχρυς B^sFX: κάγχρυς E, κέγχρυς D, κέχρυς
B^iC {τὴν} Korais, fort. recte **20 sq.** τοὺς οἴκους ποιεῖσθαι X **21** ἀπορούντων
X; ⟨οὐκ⟩ ἀπορουμένους vel εὐπορουμένους v. Herwerden (453 sq.) μὲν ante μακρῶν
collocat E (coniecit Casaubonus), om. X οἰκιῶν (-κει- a. c., ut vid.) X **23** ἐς pro
εἰς priore X **27** τῶν γε Casaubonus: τε τῶν E, τῶν τε cett.; τῶν x; τῶν γηπέδων? Ko-
rais **29** addidi ἐκκαιο- yz **32** διακοσιάχουν Tyrwhitt (42) οὐ pro οὐδὲ E
34 οἱ ante Μακεδόνες add. E ἐκεῖ pro κἀκεῖ D **35** κατασεσιδηρωμένους Korais:
ἅτε σεσιδη- codd.; κατεσιδηρωμένους x, σεσιδηρωμένους yz

der Babylon den Vorzug weil er sah dass es nicht nur an Größe sondern
auch im übrigen Susa weit übertraf.

12 Obwohl die Susis ein gesegnetes Land ist, hat sie eine glühende, brennend
heiße Atmosphäre, besonders in der Gegend der Stadt, wie jener (*fehlt in*
FGrHist) sagt; jedenfalls berichtet er dass die Eidechsen und die Schlangen
im Sommer, wenn die Sonne ihre größte Kraft hat, mittags nicht schnell ge-
nug die Straßen in der Stadt überqueren können, sondern auf halbem Wege
16 verbrennen – was in Persien nirgends vorkomme, obwohl es südlicher liegt
–, dass bereitgestelltes kaltes Badewaser sich sofort erhitzt und dass in der
Sonne ausgestreute Gerstenkörner emporspringen wie die Röstgerste in den
Backöfen. Deshalb belegten sie auch die Dächer zwei Ellen hoch mit Erde
20 und seien durch das Gewicht gezwungen ihre Häuser schmal, aber lang zu
machen, da sie einerseits keine langen Balken haben, andererseits aber we-
gen der Hitze große Häuser brauchen. Der Palmenbalken habe eine ganz
besondere Eigenschaft: wenn er durchs Altern hart geworden ist, biege er
24 nicht nach unten durch sondern wölbe sich unter dem Gewicht nach oben
und trage so das Dach besser. Als Ursache der Hitze führt man den Um-
stand an dass sich im Norden hohe Gebirge erheben, die alle nördlichen
Winde abfangen: dadurch wehen sie von den Gipfeln in großer Höhe hin-
28 über und berühren die Ebenen nicht, sondern ziehen an ihnen vorbei in die
südlich der Susis liegenden Regionen, und herrscht in der Susis Windstille,
besonders dann wenn die Etesien das übrige von der Hitze ausgedörrte
Land erfrischen.

Sie ist überaus reich an Getreide, so dass sie durchschnittlich sowohl bei **11**
32 der Gerste als beim Weizen hundertfachen Ertrag bringt, manchmal sogar
zweihundertfachen; daher ziehen sie die Furchen auch nicht dicht nebenein-
ander, denn die Zusammendrängung der Wurzeln beeinträchtigt das
Wachstum. Den Weinstock, der hier vorher nicht wuchs, haben die Make-
donen sowohl dort als auch in Babylon angepflanzt, wobei sie keine Rinnen

732C. ἄκρων πήττοντες, | εἶτ' ἐξαιροῦντες, ἀντὶ δ' αὐτῶν τὰ κλήματα καθιέντες
εὐθέως. ἡ μὲν δὴ μεσόγαια ⟨τοιαύτη⟩, ἡ δὲ παραλία τεναγώδης ἐστὶ καὶ
ἀλίμενος· διὰ τοῦτο γοῦν καί φησιν ὁ Νέαρχος (FGrHist 133 F 26) μηδὲ
4 καθοδηγῶν ἐπιχωρίων τυγχάνειν, ἡνίκα τῷ στόλῳ παρέπλει πρὸς τὴν Βα-
βυλωνίαν ἐκ τῆς Ἰνδικῆς, ὅτι προσόρμους οὐκ εἶχεν, οὐδ' ἀνθρώπων εὐπο-
ρεῖν οἷός τ' ἦν τῶν ἡγησομένων κατ' ἐμπειρίαν.

Γειτνιᾷ δὲ τῇ Σουσίδι τῆς Βαβυλωνίας ἡ Σιτακηνὴ μὲν πρότερον, 12
8 Ἀπολλωνιᾶτις δ' ὕστερον προσαγορευθεῖσα. ἀπὸ τῶν ἄρκτων δ' ὑπέρκεινται
ἀμφοῖν πρὸς ἕω Ἐλυμαῖοί τε καὶ Παραιτακηνοί, λῃστρικοὶ ἄνδρες καὶ
ὀρεινῇ τραχείᾳ πεποιθότες. μᾶλλον δ' οἱ Παραιτακηνοὶ τοῖς Ἀπολλωνιάταις
ἐπίκεινται, ὥστε καὶ χεῖρον ἐκείνους διατιθέασιν· οἱ δ' Ἐλυμαῖοι κἀκεί-
12 νοις καὶ τοῖς Σουσίοις, τούτοις δὲ καὶ οἱ Οὔξιοι προσπολεμοῦσιν, ἧττον
δὲ νῦν, ὡς εἰκός, διὰ τὴν τῶν Παρθυαίων ἰσχύν, ὑφ' οἷς εἰσιν ἅπαντες
οἱ ταύτῃ· εὖ μὲν οὖν πραττόντων ἐκείνων εὖ πράττουσιν ἅπαντες καὶ οἱ
ὑπήκοοι αὐτῶν, στασιαζόντων δέ — ὅπερ συμβαίνει πολλάκις καὶ δὴ καὶ
16 ἐφ' ἡμῶν — ἄλλοτ' ἄλλως συμβαίνει καὶ οὐ τὰ αὐτὰ πᾶσι· τοῖς μὲν γὰρ
συνήνεγκεν ἡ ταραχή, τοῖς δὲ παρὰ γνώμην ἀπήντησεν.

Ἡ μὲν δὴ χώρα ἥ τε Περσὶς καὶ ἡ Σουσιανὴ τοιαύτη. τὰ ⟨δ'⟩ ἔθη τὰ 13
Περσικὰ καὶ τούτοις καὶ Μήδοις τὰ αὐτὰ καὶ ἄλλοις πλείοσι. περὶ ὧν εἰ-
20 ρήκασι μὲν πλείους, τὰ δὲ καίρια καὶ ἡμῖν λεκτέον. Πέρσαι τοίνυν ἀγάλ-
ματα μὲν καὶ βωμοὺς οὐχ ἱδρύονται, θύουσι δ' ἐν ὑψηλῷ τόπῳ τὸν οὐρανὸν
ἡγούμενοι Δία. τιμῶσι δὲ καὶ Ἥλιον — ὃν καλοῦσι Μίθρην — καὶ Σελήνην
καὶ Ἀφροδίτην καὶ πῦρ καὶ γῆν καὶ ἀνέμους καὶ ὕδωρ. θύουσι δ' ἐν καθαρῷ
24 τόπῳ κατευξάμενοι, παραστησάμενοι τὸ ἱερεῖον ἐστεμμένον· μελίσαντος δὲ
τοῦ Μάγου τὰ κρέα τοῦ ὑφηγουμένου τὴν ἱερουργίαν ἀπίασι διελόμενοι,
τοῖς θεοῖς οὐδὲν ἀπονείμαντες μέρος· τῆς γὰρ ψυχῆς φασι τοῦ ἱερείου

732 **21 sq.** Eust. Il. 135, 2 sq. **22** *Nonn. Hist. PG 36, 989 D. 1009 D (?) **24–8** Eust. Il. 135, 3–5

732 **2** μεσόγαια q: μεσογαία F, μεσογαῖα cett. post μεσόγαια verba πολλάκις καὶ δὴ καὶ ἐφ' ἡμῶν ἄλλοτ' ἄλλως συνέβη add. codd., quae e l. 15 huc illata esse vidit delevitque Korais **2 sq.** ἡ δὲ — γοῦν post 18 τοιαύτη praebent codd.: vocem τοιαύτη praefigens huc transposuit Korais **5** εἶχεν Kramer: ἔχειν codd. **7** Σιτακηνὴ C: σιττα- cett. **8** δὲ pro δ' priore q **11** δὲ q **11 sq.** κἀκείνοις CE: -νους BDF **15** δέ D: δ' cett. συνέβη (cf. ad l. 2) Korais **16** ⟨κατὰ⟩ τὰ αὐτὰ Tyrwhitt (42), Miller (1874, 146) **18** post τοιαύτη verba ἡ δὲ — γοῦν add. codd., quae — τοιαύτη praefigens — post 2 μεσόγαια transposuit Korais add. Korais **22** μίθραν E **24** ⟨καὶ⟩ παραστησάμενοι Casaubonus ἐστεμμένοι? Korais coll. Hdt. 1, 132, 1

732 gruben, sondern Pflöcke mit Eisenspitzen in den Boden trieben, dann herauszogen und an ihrer Stelle sofort die Schößlinge hineinsteckten. Das Binnenland also ist so beschaffen, die Küste aber ist seicht und hafenlos; jeden-
4 falls sagt Nearchos (FGrHist 133 F 26), er habe, als er mit der Flotte aus Indien kommend entlang der Küste nach Babylonien fuhr, deshalb auch keine einheimischen Lotsen finden können, weil er keine Anlegestellen hatte und dadurch nicht über eine Menge potentieller ortskundiger Lotsen verfügen konnte.

An die Susis grenzt in Babylonien die Landschaft die früher Sitakene, 12
8 später Apolloniatis genannt wurde. An der Nordseite wohnen im Osten über beiden die Elymäer und die Paraitakener, räuberische Leute, die sich auf ihr rauhes Bergland verlassen. Die Paraitakener wohnen mehr den Apolloniatern zu Häupten, so dass sie diese auch schwerer heimsuchen; die Elymäer
12 bekriegen sowohl diese als die Susier, und letztere werden auch von den Uxiern bekriegt; doch geschieht das heute begreiflicherweise weniger dank der Macht der Parther, denen sämtliche Völker dort unterstehen; wenn es daher jenen gut geht, geht es auch allen ihren Untertanen gut, gibt es dage-
16 gen inneren Streit bei ihnen – was oft vorkommt, auch gerade zu unserer Zeit –, geht es bald so, bald anders, und nicht für alle gleich: sind die Unruhen doch für Manche günstig, Anderen dagegen unerwünscht.

Das Land der Perser und der Susier ist also so beschaffen. Die Bräuche 13
der Perser sind dieselben wie bei den Medern und mehreren Anderen. Über
20 sie haben schon Mehrere berichtet, doch müssen auch wir das Einschlägige erwähnen. Die Perser denn stellen keine Götterstatuen und Altäre auf; sie opfern vielmehr an einer hochgelegenen Stelle, da sie den Himmel als Zeus betrachten. Sie verehren auch den Sonnengott – den sie Mithres nennen –, die Mondgöttin, Aphrodite, das Feuer, die Erde, die Winde und das Was-
24 ser. Sie opfern an einer reinen Stelle, nachdem sie gebetet und das Opfertier bekränzt vorgeführt haben; wenn der Magier, der die Zeremonie leitet, das Fleisch zerlegt hat, verteilen sie es unter sich und gehen fort ohne den Göttern eine Portion zuzuteilen: sie sagen nämlich, die Gottheit brauche nur die

δεῖσθαι τὸν θεόν, ἄλλου δὲ οὐδενός· ὅμως δὲ τοῦ ἐπίπλου τι μικρὸν τι-
28 θέασιν, ὡς λέγουσί τινες, ἐπὶ τὸ πῦρ.

Διαφερόντως δὲ τῷ πυρὶ καὶ τῷ ὕδατι θύουσι· τῷ μὲν πυρὶ προτιθέν- 14
τες ξηρὰ ξύλα τοῦ λέπους χωρίς, πιμελὴν ἐπιτιθέντες ἄνωθεν εἶθ' ὑφ-
άπτουσιν ἔλαιον καταχέοντες, οὐ φυσῶντες, ἀλλὰ ῥιπίζοντες (τοὺς δὲ φυ-
32 σήσαντας ἢ νεκρὸν ἐπὶ πῦρ θέντας ἢ βόλβιτον θανατοῦσι)· τῷ δ' ὕδατι ἐπὶ
λίμνην ἢ ποταμὸν ἢ κρήνην ἐλθόντες, βόθρον ὀρύξαντες εἰς τοῦτον σφα-
733C. γιάζονται | φυλαττόμενοι μή τι τοῦ πλησίον ὕδατος αἱμαχθείη, ὡς μια-
νοῦντες· εἶτ' ἐπὶ μυρρίνην ἢ δάφνην διαθέντες τὰ κρέα ῥάβδοις λεπταῖς
ἐφάπτονται οἱ Μάγοι καὶ ἐπᾴδουσιν ἀποσπένδοντες ἔλαιον ὁμοῦ γάλακτι
4 καὶ μέλιτι κεκραμένον οὐκ εἰς πῦρ οὐδ' ὕδωρ, ἀλλ' εἰς τοὔδαφος· τὰς δ'
ἐπῳδὰς ποιοῦνται πολὺν χρόνον ῥάβδων μυρικίνων λεπτῶν δέσμην κατέ-
χοντες.

Ἐν δὲ τῇ Καππαδοκίᾳ — πολὺ γὰρ ἐκεῖ τὸ τῶν Μάγων φῦλον (οἳ καὶ 15
8 Πύραιθοι καλοῦνται), πολλὰ δὲ καὶ τῶν Περσικῶν θεῶν ἱερά — οὐδὲ μα-
χαίρᾳ θύουσιν, ἀλλὰ κορμῷ τινι ὡς ἂν ὑπέρῳ τύπτοντες. ἔστι δὲ καὶ Πυρ-
αιθεῖα, σηκοί τινες ἀξιόλογοι, ἐν δὲ τούτοις μέσος βωμός, ἐν ᾧ πολλή
τε σποδὸς καὶ πῦρ ἄσβεστον, ⟨ὃ⟩ φυλάττουσιν οἱ Μάγοι καὶ καθ' ἡμέραν
12 εἰσιόντες ἐπᾴδουσιν ὥραν σχεδόν τι πρὸ τοῦ πυρὸς τὴν δέσμην τῶν ῥάβ-
δων ἔχοντες, τιάρας περικείμενοι πιλωτὰς καθεικυίας ἑκατέρωθεν μέχρι
τοῦ καλύπτειν τὰ χείλη τὰς παραγναθίδας. ταὐτὰ δ' ἐν τοῖς τῆς Ἀναΐτιδος
καὶ τοῦ Ὠμανοῦ ἱεροῖς νενόμισται· τούτων δὲ καὶ σηκοί εἰσι, καὶ ξόανον
16 τοῦ Ὠμανοῦ πομπεύει. ταῦτα μὲν οὖν ἡμεῖς ἑωράκαμεν, ἐκεῖνα δ' ἐν ταῖς
ἱστορίαις λέγεται καὶ τὰ ἐφεξῆς.

733 7 sq. *Eust. D. P. 386, 1 sq.

29 sq. προτιθέντες scripsi: προσ- codd. 31 καταχέαντες q 32 ἐπιθέντας D
733 1 καθαροῦ post ὕδατος add. X αἱμαχθῇ X 1 sq. μιαινοντες P 2 ἐπιθέντες D λεπταῖς F: -οῖς cett. 3 ὑφάπτουσιν pro ἐφάπτονται z^{s}, ἐφαπτόμενοι ὑφάπτουσι? Korais 4 οὐδ' Kramer: οὐχ codd. 5 μυρικίνων B^{i}: μυρρη- F, μυρρι- cett. 7 γὰρ ἐκεῖ Meineke: παρεστιν P, μᾶλλόν ἐστι D, γάρ ἐστι cett.; γὰρ κἀκεῖ ἐστι Groskurd, γάρ ἐστιν ἐκεῖ? Kramer, γὰρ ἐκεῖ ἐστι Jones 10 μέσος P: -σοις cett. 11 addidi ἡμέραν P: ἡμέραν δὲ cett. (unde καὶ post Μάγοι om. q) 14 ταὐτὰ Korais: ταῦτα codd. Ἀναΐτιδος P (αναι.ιδος P^{A}, ανα...... P^{C}) (coniecit Xylander; *Anaitidis* iam vertit Tifernate): ναΐτιδος cett. 15 ὠμάνου F 16 ὠμάνου F ταῖς ⟨παλαιαῖς⟩ Korais

Seele des Opfertieres, sonst nichts; trotzdem legen sie nach Manchen ein
28 kleines Stück Bauchfell auf das Feuer.

Ganz besonders opfern sie dem Feuer und dem Wasser: dem Feuer, in- 14
dem sie trockenes Holz ohne Rinde hinlegen, Fett oben darauf tun und
dann, Öl darüber gießend, anzünden, wobei sie nicht blasen, sondern fä-
32 cheln (wer bläst oder eine Leiche oder Mist auf Feuer legt wird getötet);
dem Wasser, indem sie zu einem See, Fluss oder Brunnen gehen, eine Grube
733 graben und über ihr schlachten, wobei sie darauf achten dass das Wasser
daneben nicht mit Blut bespritzt wird, da sie es damit entweihen würden;
dann legen die Magier die Fleischstücke auf Myrten- oder Lorbeerzweige,
berühren sie mit feinen Zweigen und singen Beschwörungen, wobei sie mit
4 Milch und Honig vermischtes Öl nicht ins Feuer oder ins Wasser sondern
auf den Boden gießen; die Beschwörungen singen sie lange, wobei sie ein
Bündel feiner Tamariskenzweige in der Hand halten.

In Kappadokien — ist dort doch der Stamm der Magier (die auch Pyrai- 15
8 ther genannt werden) reich vertreten, wie es dort auch viele Heiligtümer der
persischen Götter gibt — opfern sie überhaupt nicht mit dem Dolch, son-
dern erschlagen das Opfertier mit einem Holzkloben wie mit einer Keule.
Es gibt dort auch Pyraitheia, stattliche heilige Kammern mit in der Mitte ei-
nem Altar auf dem sich viel Asche und nie verlöschendes Feuer befindet, das
12 die Magier unterhalten und täglich hineingehend etwa eine Stunde lang be-
schwören, wobei sie das Zweigbündel vor das Feuer halten und auf dem
Kopf Filzturbane tragen mit Wangenteilen die auf beiden Seiten so weit her-
abhängen dass sie ihre Lippen verbergen. Dieselben Bräuche gibt es auch in
den Heiligtümern der Anaitis und des Omanos; diese Götter haben auch
16 heilige Kammern, und ein Kultbild des Omanos wird in Prozessionen mit-
getragen. Diese Dinge haben wir selber gesehen; das Vorangegangene wird
in den Geschichtswerken berichtet, ebenso wie das Folgende.

Εἰς γὰρ ποταμὸν οὔτ' οὐροῦσιν οὔτε νίπτονται Πέρσαι οὐδὲ λούονται **16**
οὐδὲ νεκρὸν ἐμβάλλουσιν οὐδ' ἄλλο τῶν δοκούντων εἶναι μυσαρῶν. ὅτῳ
20 δ' ἂν θύσωσι θεῷ, πρώτῳ τῷ πυρὶ εὔχονται.

Βασιλεύονται δ' ὑπὸ τῶν ἀπὸ γένους· ὁ δ' ἀπειθῶν ἀποτμηθεὶς τὴν κε- **17**
φαλὴν καὶ βραχίονα ῥίπτεται. γαμοῦσι δὲ πολλὰς καὶ ἅμα παλλακὰς τρέ-
φουσι πλείους πολυτεκνίας χάριν· τιθέασι δὲ καὶ οἱ βασιλεῖς ἆθλα πολυ-
24 τεκνίας κατ' ἔτος· τὰ δὲ τρεφόμενα μέχρι ἐτῶν τεττάρων οὐκ ἄγεται τοῖς
ἰδίοις γονεῦσιν εἰς ὄψιν. οἱ δὲ γάμοι κατὰ τὰς ἀρχὰς τῆς ἐαρινῆς ἰση-
μερίας ἐπιτελοῦνται· παρέρχονται δ' ἐπὶ τὸν θάλαμον προφαγόντες μῆλον
ἢ καμήλου μυελόν, ἄλλο δ' οὐδὲν τὴν ἡμέραν ἐκείνην.

28 Ἀπὸ δὲ πέντε ἐτῶν ἕως τεττάρων καὶ εἴκοσι παιδεύονται τοξεύειν **18**
καὶ ἀκοντίζειν καὶ ἱππάζεσθαι καὶ ἀληθεύειν διδασκάλοις τε λόγων τοῖς
σωφρονεστάτοις χρῶνται, οἳ καὶ τὸ μυθῶδες πρὸς τὸ συμφέρον ἀνάγοντες
παραπλέκουσι καὶ μέλους χωρὶς καὶ μετ' ᾠδῆς ἔργα θεῶν τε καὶ ἀνδρῶν
32 τῶν ἀρίστων ἀναδιδόντες. συνάγουσι δ' εἰς ἕνα τόπον ψόφῳ χαλκοῦ πρὸ
ὄρθρου διεγείροντες ὡς ἐπὶ ἐξοπλισίαν ἢ θήραν, τάξαντες δ' ἀνὰ πεντήκον-
734C. τα ἡγεμόνα τῶν βασιλέως τινὰ παίδων αὐτοῖς ἢ σατράπου | τρέχοντι κελεύ-
ουσιν ἕπεσθαι χωρίον ἀφορίσαντες τριάκοντα ἢ τετταράκοντα σταδίων. ἀπ-
αιτοῦσι δὲ καὶ λόγον ἑκάστου μαθήματος, ἅμα καὶ μεγαλοφωνίαν καὶ
4 πνεῦμα καὶ πλευρὰν ἀσκοῦντες· καὶ πρὸς καῦμα δὲ καὶ πρὸς ψῦχος καὶ
ὄμβρους καὶ χειμάρρων διαβάσεις, ὥστ' ἄβροχα φυλάττειν καὶ ὅπλα καὶ
ἐσθῆτα· καὶ ποιμαίνειν δὲ καὶ ἀγραυλεῖν καὶ καρποῖς ἀγρίοις χρῆσθαι,
τερμίνθῳ, δρυοβαλάνοις, ἀχράδι· καλοῦνται δ' οὗτοι Κάρδακες, ἀπὸ κλω-
8 πείας τρεφόμενοι· 'κάρδα' γὰρ τὸ ἀνδρῶδες καὶ πολεμικὸν λέγεται. ἡ δὲ
καθ' ἡμέραν δίαιτα ἄρτος μετὰ τὸ γυμνάσιον καὶ μᾶζα καὶ κάρδαμον καὶ

18 *Eust. D. P. 395, 23 sq. 734 **3–6** *Eust. D. P. 395, 17–20

18 οὔτε pro οὐδὲ X **19** οὔτε pro οὐδὲ X ἄλλο P: ἄλλα cett. **20** θύωσι Cobet ms. θεῶν D **21** τὴν P: om. cett. **24** τεσσά- F, τεττε- P^A **25** ἰδίοις P^A (...... P^C): om. cett. **26** παρέρχονται P: -χεται cett. (unde ὁ νυμφίος sim. excidisse censuit Forbiger) προφαγόντες P (π.......... P^C, π...ạ...... P^A): -φαγὼν cett. **28** τεττάρων καὶ scripsi: τετταρων ... P^C, τεττερων και P^A, τετάρτου καὶ cett. (unde εἰκοστοῦ pro εἴκοσι F); del. Jacoby (FGrHist 696 F 23 p. 542, 2) **32** παραδιδόντες Korais olim, ἀναδιδάσκοντες? id. **33** ἐξοπλασίαν F^s 734 **2** τεσσα- F, τεττẹ- P^A **4** πνεύματα in P fuisse propter spatium coniecit Cozza-Luzi (7, 21), πνεῦμά τε Aly (1956, 224) καὶ πλευρὰν om. E **5** φυλάσσειν τά τε ὅπλα καὶ τὴν ἐσθῆτα Eust. **7** ἀχράσι? **7 sq.** {καλοῦνται — λέγεται} (nisi lacuna statuenda) Korais κλωπείας D: κλωπίας BCF; κλοπείας q, κλοπίας ed. pr. **9** ἄρτος et καὶ primum om. E κάρδαμα E

In einen Fluss schlagen die Perser weder ihr Wasser ab noch waschen sie **16**
sich oder baden in ihm; auch werfen sie keinen Toten hinein oder etwas an-
20 deres von dem was als unrein gilt. Welchem Gott sie auch immer opfern, zu-
erst beten sie zu dem Feuer.

Ihr Königtum ist erblich; Ungehorsamen wird der Kopf und ein Arm ab- **17**
gehauen und ihr Leichnam fortgeworfen. Sie heiraten viele Frauen und hal-
ten daneben noch mehrere Konkubinen um viele Kinder zu haben; die Kö-
24 nige setzen sogar alljährlich Preise für Kinderreichtum aus; die Kinder die
großgezogen werden bekommen die eigenen Eltern nicht zu Gesicht bevor
sie vier Jahre alt sind. Die Ehen werden zu Anfang der Frühlingstagund-
nachtgleiche geschlossen; wenn sie in das Brautgemach gehen, haben die
Brautleute an dem Tag nur einen Apfel oder Kamelmark gegessen, sonst
nichts.

28 Von fünf bis vierundzwanzig Jahren werden sie im Bogenschießen, Speer- **18**
werfen, Reiten und Die-Wahrheit-Sprechen erzogen und haben sie als Leh-
rer des Wissens die verständigsten Männer, die auch das Fabelhafte ein-
flechten, indem sie es auf das Nützliche zurückführen, und mit und ohne
32 Gesang die Taten der Götter und der trefflichsten Männer erzählen. Sie las-
sen sie sich an *einer* Stelle versammeln, nachdem sie sie mit Bronzeklang vor
Morgengrauen zu Waffenübung oder Jagd geweckt haben, stellen über je
734 fünfzig einen Sohn des Königs oder eines Satrapen als Führer an und befeh-
len ihnen diesem im Laufschritt zu folgen, wozu sie ein Gelände von dreißig
oder vierzig Stadien abgesteckt haben. Sie verlangen auch Rechenschaft
über jedes Gelernte, womit sie zugleich auch die Kraft der Stimme, den
4 Atem und den Brustkorb üben; auch üben sie sie zum Ertragen von Hitze,
Kälte, Regen und zum Überqueren von Gießbächen ohne dass ihre Waffen
und ihre Kleider nass werden; ferner zum Viehhüten, zum Übernachten im
Freien und zum Sichernähren von wilden Früchten (Terebinthen, Eicheln,
8 Birnen): diese, die sich vom Diebstahl ernähren, werden Kardaker genannt
(*karda* bedeutet nämlich 'mannhaft' und 'kriegerisch'). Ihre tägliche Kost

ἁλῶν χόνδρος καὶ κρέα ὀπτὰ ἢ ἑφθὰ ἐξ ὕδατος, ποτὸν δ' ὕδωρ. θηρεύουσι δὲ σαύνια ἀφ' ἵππων βάλλοντες καὶ τοξεύματα καὶ σφενδονῶντες. δείλης
12 δὲ φυτουργεῖν καὶ ῥιζοτομεῖν ἀσκοῦσι καὶ ὁπλοποιεῖν καὶ λίνα καὶ ἄρκυς φιλοτεχνεῖν. οὐχ ἅπτονται δὲ τῶν θηρευμάτων οἱ παῖδες, ἀλλὰ κομίζειν οἴκαδε ἔθος. τίθεται δ' ὑπὸ τοῦ βασιλέως ἆθλα δρόμου καὶ τῶν ἐν τοῖς πεντάθλοις. κοσμοῦνται δ' οἱ παῖδες χρυσῷ, τὸ πυρωπὸν τιθεμένων ἐν τιμῇ
16 (διὸ οὐδὲ νεκρῷ προσφέρουσι — καθάπερ οὐδὲ τὸ πῦρ — κατὰ τιμήν).

Στρατεύονται δὲ καὶ ἄρχουσιν ἀπὸ εἴκοσιν ἐτῶν ἕως πεντήκοντα **19** καὶ πεζοὶ καὶ ἱππεῖς (ἀγορᾶς δ' οὐχ ἅπτονται· οὔτε γὰρ πωλοῦσιν οὔτ' ὠνοῦνται). ὁπλίζονται δὲ γέρρῳ ῥομβοειδεῖ· παρὰ δὲ τὰς φαρέτρας σαγά-
20 ρεις ἔχουσι καὶ κοπίδας, περὶ δὲ τῇ κεφαλῇ πίλημα πυργωτόν· θώραξ δ' ἐστὶν αὐτοῖς φολιδωτός. ἐσθὴς δὲ τοῖς ἡγεμόσι μὲν ἀναξυρὶς τριπλῆ, χιτὼν δὲ χειριδωτὸς διπλοῦς ἕως γόνατος (ὁ ὑπενδύτης μὲν λευκός, ἀνθινος δ' ὁ ἐπάνω), ἱμάτιον δὲ θέρους μὲν πορφυροῦν ἢ ἰάνθινον, χειμῶνος
24 δ' ἄνθινον, τιάρα δὲ παραπλησία ταῖς τῶν Μάγων, ὑπόδημα δὲ κοῖλον διπλοῦν· τοῖς δὲ πολλοῖς χιτὼν ἕως μεσοκνημίου καὶ διπλοΐς, ῥάκος δὲ σινδόνιόν τι περὶ τῇ κεφαλῇ· ἔχει δ' ἕκαστος τόξον καὶ σφενδόνην.

Δειπνοῦσι δὲ πολυτελῶς Πέρσαι τιθέντες καὶ ὁλομελῆ καὶ πολλὰ καὶ
28 ποικίλα· κόσμος τε λαμπρὸς στρωμνῆς ἐκπωμάτων τε καὶ τῶν ἄλλων, ὥστε χρυσῷ καὶ ἀργύρῳ καταλάμπεσθαι. ἐν οἴνῳ τὰ μέγιστα βουλεύονται, **20** καὶ βεβαιότερα τῶν ἐν νήψει τίθενται. τῶν κατὰ τὰς ὁδοὺς συναντώντων τοὺς μὲν γνωρίμους καὶ ἰσοτίμους φιλοῦσι προσιόντες, τοῖς δὲ ταπεινο-

15 sq. *Eust. D. P. 395, 20 sq.

11 σφενδονῶντες P (coniecit Meineke): -νοῦντες cett. **11–3** verba δείλης — φιλοτεχνεῖν post 14 ἔθος transponenda esse coniecit Jacoby (ad FGrHist 696 F 23 p. 542, 17 sq.) **12** κ[ ]ιμ̣ (λσ supra) οπλοποιει. post ἀσκοῦσι mire P[A] (καινοπ..ποιει. vel καννοπ..ποιει. P[C] [7, 21. 23]) **14** ⟨ἄλλων⟩ τῶν vel τῶν ⟨ἄλλων τῶν⟩ Groskurd **17** εἴκοσι ⟨πέντε⟩ Miller (1874, 146 sq.); an idem voluit codex e quo pendet P? (vide comm.) πεντε post πεντήκοντα add. P **18** καὶ πεζοὶ habuit P (vide comm.): πεζοί τε cett. **19** ῥομβωδει habuit P (ρο.. ῳδ̣ε̣ι̣ P[A], ρ...ωδει P[C]) **21** διπλῆ Korais olim **22** ⟨οὗ⟩ ὁ Korais **23** ἢ ἰάνθινον Casaubonus: ἢ ἀνθινόν (-θει- E[s]) codd.; del. Jacoby (FGrHist 696 F 23 p. 542, 29) **24** τιάρα ... παραπλησία scripsi: τιᾶραι (-ά- E) ... παραπλήσιαι codd. δὲ prius E: om. cett. ταῖς D[pc]: τ... P, τοῖς cett. δὲ post. E: om. cett. **25** διπλοΐς Aly (1956, 207): διπλοις P[A] (διπλ... P[C]), διπλοῖς F, διπλοῦς cett. (unde {καὶ} Korais) **26** σινδονίου περὶ Korais **27** δειπνοῦσι δὲ E (coniecit Agallianus [z]): και ...... υσιν δε P[A], .α....... υσιν P[C], δειπνοῦσι cett.; καὶ δειπνοῦσι x, δειπνοῦσί τε y **28** καὶ xy: om. BCDFP **29** 'πάντα λάμπεσθαι *Par.* 4 ⟨= s⟩ ex margine' perperam Falconer **31** προσιόντες D: -τας cett.

nach der Leibesübung ist Brot, Grütze, Kresse, grobes Salz und gebratenes oder in Wasser gekochtes Fleisch, als Getränk Wasser. Beim Jagen zu Pferde werfen sie Speere, schießen Pfeile oder schleudern Steine. Spätnachmit-
12 tags üben sie sich in Gartenarbeit, im Schneiden von Wurzeln, in der Anfertigung von Waffen und der Herstellung von Garnen und Netzen. Das auf der Jagd Erlegte rühren die Jungen nicht an, sondern es ist gebräuchlich dass sie es nach Hause bringen. Vom König werden Preise für den Wettlauf und die Sportarten des Fünfkampfs ausgesetzt. Die Jungen schmücken sich
16 mit Gold, da sein Feuerschein hochgeehrt wird (daher bringen sie es auch nicht als Ehrung mit einem Toten in Berührung, ebensowenig wie das Feuer).

Im Heer dienen sie und bekleiden sie Kommandoposten von zwanzig **19** Jahren an bis fünfzig, sowohl als Infanteristen wie zu Pferde (Marktgeschäfte treiben sie nicht, da sie weder kaufen noch verkaufen). Sie sind be-
20 waffnet mit einem rhombenförmigen Schild; neben den Köchern haben sie Sagareis und Messer und um den Kopf eine turmartige Filzkappe; ihr Panzer ist aus Schuppen gemacht. Die Kleidung ist bei den Offizieren ein dreifaches Beinkleid, ein bis zum Knie reichendes doppeltes Hemd mit Ärmeln (das untere weiß, das obere bunt), als Oberkleid im Sommer ein purpurner
24 oder violetter, im Winter ein bunter Mantel, ein Turban, der dem der Magier ähnlich ist, und ein hoher doppelter Schuh; bei den Mannschaften ein bis zur Mitte des Schienbeins reichendes Hemd, ein Doppelmantel und ein Musselintuch um den Kopf; jeder hat einen Bogen und eine Schleuder.

Die Mahlzeiten der Perser sind reich: sie tischen ganze Tiere in großer
28 Menge und Vielfalt auf, und die Ausstattung mit Liegen, Trinkgerät und dem übrigen ist so prächtig dass alles von Gold und Silber glänzt. Die wich- **20** tigsten Beschlüsse fassen sie beim Zechen und halten sie für beständiger als die nüchtern gefassten. Wenn Leute ihnen auf der Straße begegnen, gehen
32 sie auf die Bekannten und Gleichrangigen zu und küssen sie; den niedriger

32 τέροις παραβάλλουσι τὴν γνάθον καὶ δέχονται ταύτῃ τὸ φίλημα· οἱ δ' ἔτι
735C. ταπεινότεροι προσκυνοῦσι μόνον. | θάπτουσι δὲ κηρῷ περιπλάσαντες τὰ
σώματα· τοὺς δὲ Μάγους οὐ θάπτουσιν, ἀλλ' οἰωνοβρώτους ἐῶσι. (τούτοις
δὲ καὶ μητράσι συνέρχεσθαι πάτριον νενόμισται).

4 Τοιαῦτα μὲν τὰ ἔθη. ἔστι δ' ἴσως καὶ ταῦτα τῶν ἐθίμων, ἅ φησι Πο- **21**
λύκλειτος (FGrHist 128 F 3). ἐν γὰρ Σούσοις ἑκάστῳ τῶν βασιλέων ἐπὶ
τῆς ἄκρας ἰδίᾳ πεποιῆσθαι οἴκησιν καὶ θησαυροὺς καὶ παραθέσεις ὧν
ἐπράττοντο φόρων, ὑπομνήματα τῆς οἰκονομίας. πράττεσθαι δ' ἐκ μὲν τῆς
8 παραλίας ἀργύριον, ἐκ δὲ τῆς μεσογαίας ἃ φέρει ἑκάστη χώρα, ὥστε καὶ
χρώματα καὶ φάρμακα καὶ τρίχα ⟨καὶ⟩ ἐρέαν ἤ τι τοιοῦθ' ἕτερον καὶ θρέμ-
ματα ὁμοίως (τὸν δὲ διατάξαντα τοὺς φόρους Δαρεῖον εἶναι τὸν Μακρόχει-
ρα, κάλλιστον ἀνθρώπων πλὴν τοῦ μήκους τῶν βραχιόνων καὶ τῶν πηχέων·
12 ἅπτεσθαι γὰρ καὶ τῶν γονάτων). τὸν δὲ πλεῖστον χρυσὸν καὶ ἄργυρον ἐν
κατασκευαῖς εἶναι, νομίσματι δ' οὐ πολλῷ· πρός τε ⟨γὰρ⟩ τὰς δωρεὰς
ἐκεῖνα κεχαρισμένα νομίζειν μᾶλλον καὶ πρὸς κειμηλίων ἀπόθεσιν, τὸ
δὲ νόμισμα τὸ πρὸς τὰς χρείας ἀρκοῦν ἱκανὸν εἶναι· κόπτειν δὲ πάλιν
16 τὸ τοῖς ἀναλώμασι σύμμετρον.

Τὰ μὲν οὖν ἔθη σωφρονικὰ τὰ πλείω, διὰ δὲ τὸν πλοῦτον εἰς τρυφὴν **22**
ἐξέπεσον οἱ βασιλεῖς· ὥστε πυρὸν μὲν ἐξ Ἄσσου τῆς Αἰολίδος μετῄεσαν,
οἶνον δ' ἐκ Συρίας τὸν Χαλυβώνιον, ὕδωρ δὲ ἐκ τοῦ Εὐλαίου πάντων ἐλα-
20 φρότατον (ὥστ' ἐν Ἀττικῇ κοτύλῃ δραχμῇ ἀφολκότερον εἶναι).

Συνέβη δὲ τοῖς Πέρσαις ἐνδοξοτάτοις γενέσθαι τῶν βαρβάρων παρὰ **23**
τοῖς Ἕλλησιν, ὅτι τῶν μὲν ἄλλων οὐδένες τῶν τῆς Ἀσίας ἀρξάντων Ἑλλή-
νων ἦρξαν οὐδ' ᾔδεισαν οὔτ' ἐκεῖνοι τούτους οὔθ' οἱ Ἕλληνες τοὺς βαρβά-
24 ρους, ἀλλ' ἐπὶ μικρὸν μόνον ἐκ τῆς πόρρωθεν ἀκοῆς. Ὅμηρος γοῦν οὔτε

735 **4 sq.** Πολύκλειτος P[A] (πολυκλ..τος: ...υ...τος P[C]) (coniecit Müller ap. Fr. Dübner, Arriani Anabasis et Indica ..., Parisiis 1846, 131 [secunda paginarum series]): -κριτος cett. **9** add. Korais; ⟨ἢ⟩ Kramer **10** εἶναι· * * * ('neuordnung der φόροι durch Artoxerxes, genannt Makrocheir?') ⟨εἶναι δὲ⟩ τὸν M.? Jacoby (ad FGrHist 696 F 23 p. 543, 14–6) **10–2** {τὸν Μακρόχειρα — γονάτων} Falconer **11** καὶ ante κάλλιστον add. codd.: del. Korais; ⟨εἶναι δὲ αὐτὸν⟩ καὶ κάλλιστον? Jacoby (ad FGrHist 128 F 3) ἄνθρωπον D **12** τῶν om. P, ut vid. **13** addidi **15** προτερας post τὰς add. P[A] (....τερας P[C]); quae vox e dittographia vocum πρὸς τὰς orta esse videtur **20** ἀφολκότερον BP: ἀφολκώτερον C, ἀφολοκότερον F, ἀφολοκώτερον D **22** μὲν om. P **22 sq.** ουδεις ... ηρξεν P **23** οὔτ' ... οὔθ' Korais: ου....ου. P, οὐδ' ... οὐδ' cett. **24** ἀλλ' ⟨ἢ⟩?

Gestellten bieten sie ihre Wange und bekommen darauf den Kuss; und die
735 noch niedriger Gestellten machen nur den Fußfall. Die Toten überziehen sie
vor dem Begräbnis mit Wachs; die Magier begraben sie nicht, sondern über-
lassen sie den Raubvögeln zum Fraß. (Sie dürfen auch nach hergebrachter
Sitte ihren Müttern beiwohnen).

4 So sind die Bräuche. Zu den Gebräuchen gehört vielleicht auch folgendes **21**
von Polykleitos Berichtete (FGrHist 128 F 3). In Susa nämlich habe man auf
der Burg für jeden der Könige eine Wohnung und Schatzkammern gebaut
und Verzeichnisse der von ihnen eingetriebenen Steuern, zur Erinnerung an
8 ihre Verwaltung, angebracht. Eingetrieben werde aus der Küste Geld, aus
dem Binnenland was jede Gegend hervorbringt, also z. B. Farben, Heilmit-
tel, Haar, Wolle oder Anderes derart, und ebenso Vieh (der der die Steuern
festgesetzt habe sei Dareios der Langarmige gewesen, der schönste aller
12 Menschen, abgesehen von der Länge seiner Ober- und Unterarme: hätten
sie doch bis ganz an seine Knie gereicht). Das meiste Gold und Silber stecke
in Einrichtungsgegenständen, in gemünztem Geld nicht viel: jene hielten sie
nämlich für willkommener sowohl zum Verschenken als zum Aufbewahren
von Kostbarkeiten, gemünztes Geld dagegen für hinreichend wenn es für
16 den täglichen Bedarf genüge; sie prägten dann wieder neu was dem Ver-
brauch entspreche.

Die Bräuche sind größtenteils maßvoll, aber durch ihren Reichtum verfie- **22**
len die Könige in Üppigkeit: so ließen sie Weizen aus Assos in der Aiolis
kommen, Chalybonischen Wein aus Syrien und das allerleichteste Wasser
20 aus dem Eulaios (so leicht dass eine attische Kotyle eine Drachme weniger
wiegt).

Die Perser sind von allen Barbaren bei den Griechen am berühmtesten **23**
geworden. Das kam dadurch dass keines der anderen über Asien herrschen-
den Völker über Griechen geherrscht hat und weder jene die Griechen noch
24 die Griechen die Barbaren gekannt haben – außer ein wenig vom Hörensa-

τὴν τῶν Σύρων οὔτε τὴν τῶν Μήδων ἀρχὴν οἶδεν· οὐδὲ γὰρ ἂν Θήβας Αἰγυπτίας ὀνομάζων καὶ τὸν ἐκεῖ καὶ τὸν ἐν Φοινίκῃ πλοῦτον (I 381 sq. δ 126 sq.; Ψ 741 sqq. δ 615 sqq.) τὸν ἐν Βαβυλῶνι καὶ Νίνῳ καὶ Ἐκβατά-
28 νοις παρεσιώπησε. πρῶτοι δὲ Πέρσαι καὶ Ἑλλήνων ἐπῆρξαν· Λυδοὶ δὲ ἐπῆρξαν μέν, ἀλλ' οὔτε τῆς Ἀσίας ὅλης ἄρξαντες, ἀλλὰ μέρους τινὸς μικροῦ τοῦ ἐντὸς Ἅλυος μόνον, καὶ ταῦτ' ἐπ' ὀλίγον χρόνον τὸν κατὰ Κροῖσον καὶ Ἀλυάττην, κρατηθέντες δ' ὑπὸ Περσῶν, εἰ καί τι δόξης ἦν αὐτοῖς, ἀφῃρέ-
32 θησαν τοῦθ' ὑπ' ἐκείνων. Πέρσαι δ' ἀφ' οὗ κατέλυσαν τὰ Μήδων, εὐθὺς καὶ Λυδῶν ἐκράτησαν καὶ τοὺς κατὰ τὴν Ἀσίαν Ἕλληνας ὑπηκόους ἔσχον· ὕστερον δὲ καὶ διέβησαν εἰς τὴν Ἑλλάδα καὶ ἡττηθέντες πολλοῖς καὶ †πολλά-
736C. κις† ἀγῶσιν | ὅμως διετέλεσαν τὴν Ἀσίαν μέχρι τῶν ἐπὶ θαλάττῃ τόπων κατέχοντες ἕως ὑπὸ Μακεδόνων κατελύθησαν.

Ὁ μὲν οὖν εἰς τὴν ἡγεμονίαν καταστήσας αὐτοὺς Κῦρος ἦν· διαδεξά- 24
4 μενος δὲ τοῦτον Καμβύσης υἱὸς ὑπὸ τῶν Μάγων κατελύθη· τούτους δ' ἀνελόντες οἱ Ἑπτὰ Πέρσαι Δαρείῳ τῷ Ὑστάσπεω παρέδοσαν τὴν ἀρχήν· εἶθ' οἱ ἀπὸ τούτου διαδεχόμενοι κατέληξαν εἰς Ἄρσην, ὃν ἀποκτείνας Βαγῶος ὁ εὐνοῦχος κατέστησε Δαρεῖον οὐκ ὄντα τοῦ γένους τῶν βασιλέων· τοῦτον
8 δὲ καταλύσας Ἀλέξανδρος αὐτὸς ἦρξε †δέκα ἢ ἕνδεκα† ἔτη· εἶτ' εἰς πλείους τοὺς διαδεξαμένους καὶ τοὺς ἐπιγόνους τούτων μερισθεῖσα ἡ ἡγεμονία τῆς Ἀσίας διελύθη, συνέμεινε δ' ὅσον πεντήκοντα ἐπὶ τοῖς διακοσίοις

27 Νίνῳ P (coniecit Xylander): νίλῳ E^{pc}, νείλῳ cett. τὸν ante Ἐκβατάνοις add. E 28 {καὶ} Korais 29 ἄρξαντες scripsi: ἐπάρξαντες codd.; om. xz 30 μόνου E ὀλίγον χρόνον τὸν habuit P (........ νον τον), praebet i: ὀλίγον χρόνον τῶν F, ὀλίγον χρόνον E, ὀλίγων χρόνων τῶν BCD 31 τῆς ante δόξης add. codd.: del. Korais 32 μηδους pro τὰ Μήδων P 34 καὶ primum om. D 34 sq. πολλάκοις F; μεγάλοις y, Kramer 736 2 κατελύθησαν P: κατεπολεμήθησαν cett. 4 ⟨ὁ⟩ υἱὸς Korais 5 οι.σε [c. 8] δαρειωι P^{A}, πε .... αρει.. P^{C} ὑστάσπου q 6 Ἄρσην Leopardus (1604, 221): αρσην P, ἀρσήν cett. βαγώας E 8 δέκα ἢ ἕνδεκα BCFP: δώδεκα ἢ ἕνδεκα D; δώδεκα Korais, ⟨ἔτη ϛ', εἶτα Φίλιππος καὶ Ἀλέξανδρος sim.⟩ δέκα ἢ ἕνδεκα ('Die 10–11 Jahre sind der Intervall zwischen Alexanders Tod und dem Beginn der Seleukidenaera') H. Gelzer (Sextus Iulius Africanus u. die byzant. Chronographie II 1, Leipzig 1885, 14[3])

gen aus der Ferne. Homer jedenfalls weiß weder von der Herrschaft der Syrer noch von der der Meder: sonst hätte er ja, wo er doch das ägyptische Theben und den dortigen Reichtum, sowie den in Phönizien nennt (Il. 9, 381 f. Od. 4, 126 f.; Il. 23, 741 ff. Od. 4, 615 ff.), nicht den in Babylon, Ni-
28 nos und Ekbatana verschwiegen. Die Perser waren die ersten die auch über Griechen geherrscht haben; die Lyder hatten das zwar auch getan, aber ohne über ganz Asien zu herrschen: sie herrschten nur über einen kleinen Teil auf dieser Seite des Halys, und das auch nur kurze Zeit, unter Kroisos und Alyattes; und als sie von den Persern besiegt worden waren, wurde ih-
32 nen was sie etwa an Ruhm besaßen von jenen genommen. Die Perser aber haben, nachdem sie die Meder entmachtet hatten, gleich auch die Lyder besiegt und die Griechen in Asien zu Untertanen bekommen; später sind sie sogar nach Griechenland übergesetzt, und obwohl sie in zahlreichen und
736 † oft † Kämpfen besiegt wurden, blieben sie doch im Besitz von Asien bis zu den Gegenden am Meer, bis sie von den Makedonen entmachtet wurden.

Der der ihnen zu der Oberherrschaft verholfen hatte war Kyros; sein 24
4 Sohn Kambyses, der ihm nachfolgte, wurde von den Magiern gestürzt; diese wurden von den Sieben Persern getötet, die Dareios, dem Sohn des Hystaspes, die Herrschaft übergaben; dann folgten auf dem Thron dessen Nachkommen bis zu Arses, den der Eunuch Bagoos tötete und Dareios ein-
8 setzte, der nicht dem Königsgeschlecht angehörte; den hat Alexander entmachtet und selber † zehn oder elf † Jahre regiert; danach fiel die Herrschaft über Asien auseinander, da sie unter mehrere Nachfolger und deren Nachkommen verteilt wurde, doch hatte sie sich etwa zweihundertundfünfzig

ἔτη. νῦν δ' ἤδη καθ' αὐτοὺς συνεστῶτες οἱ Πέρσαι βασιλέας ἔχουσιν ὑπη-
12 κόους ἑτέροις βασιλεῦσι, πρότερον μὲν Μακεδόσι, νῦν δὲ Παρθυαίοις.

11 καθ' αὐτοὺς Pq: κατ' αὐτοὺς cett. **12** post Παρθυαίοις add. τῇ δὲ περσίδι καὶ τῇ σουσιανῇ συνάπτουσιν ἀσσύριοι. καλοῦσιν δ' οὕτω τὴν βαβυλωνίαν (= 736, 13 sq.) F. ἐν τῷ ιε' (πεντεκαιδεκάτῳ D) βιβλίῳ λέγει περὶ τῆς ἰνδικῆς καὶ ἀριανῆς καὶ περσίδος καὶ σούσων (σουσῶν B) BCD^mg F

Jahre lang gehalten. Heute schließlich haben die Perser als selbständiger
12 Verband Könige, die anderen Königen unterstehen; früher waren das die
Makedonen, heute sind es die Parther.

Iϛ

Τῇ δὲ Περσίδι καὶ τῇ Σουσιανῇ συνάπτουσιν οἱ Ἀσσύριοι. καλοῦσι δ' οὕτω τὴν Βαβυλωνίαν καὶ πολλὴν τῆς κύκλῳ γῆς, ἧς ἐν μέρει καὶ ἡ Ἀτουρία ἐστίν, ἐν ᾗπερ ἡ Νίνος καὶ ἡ Ἀπολλωνιᾶτις καὶ Ἐλυμαῖοι καὶ Παραιτάκαι καὶ ἡ περὶ τὸ Ζάγρον ὄρος Χαλωνῖτις καὶ τὰ περὶ τὴν Νίνον πεδία, Δολομηνή τε καὶ Καλαχηνὴ καὶ Χαζηνὴ καὶ Ἀδιαβηνή, καὶ τὰ τῆς Μεσοποταμίας ἔθνη τὰ περὶ Γορδυαίους καὶ τοὺς περὶ Νίσιβιν Μυγδόνας μέχρι τοῦ ζεύγματος τοῦ κατὰ τὸν Εὐφράτην, καὶ τῆς πέραν τοῦ Εὐφράτου πολλή, ἣν Ἄραβες κατέχουσι καὶ οἱ ἰδίως ὑπὸ τῶν νῦν λεγόμενοι Σύροι μέχρι Κιλίκων καὶ Φοινίκων καὶ | Λιβύων καὶ τῆς θαλάττης τῆς κατὰ τὸ Αἰγύπτιον πέλαγος καὶ τὸν Ἰσσικὸν κόλπον.

Δοκεῖ δὲ τὸν τῶν Σύρων ὄνομα διατεῖναι ἀπὸ μὲν τῆς Βαβυλωνίας μέχρι τοῦ Ἰσσικοῦ κόλπου, ἀπὸ δὲ τούτου μέχρι τοῦ Εὐξείνου τὸ παλαιόν. οἱ γοῦν Καππάδοκες ἀμφότεροι — οἵ τε πρὸς τῷ Ταύρῳ καὶ οἱ πρὸς τῷ Πόντῳ — μέχρι νῦν Λευκόσυροι καλοῦνται (ὡς ἂν ὄντων τινῶν Σύρων καὶ μελάνων· οὗτοι δ' εἰσὶν οἱ ἐκτὸς τοῦ Ταύρου· λέγω δὲ Ταῦρον μέχρι τοῦ Ἀμανοῦ διατείνων τοὔνομα). οἱ δ' ἱστοροῦντες τὴν Σύρων ἀρχὴν ὅταν φῶσι Μήδους μὲν ὑπὸ Περσῶν καταλυθῆναι, Σύρους δὲ ὑπὸ Μήδων, οὐκ ἄλλους τινὰς τοὺς

13–8 Eust. D. P. 352, 16–9 **18** St. B. 477, 2 sq. **20–737, 7** Eust. D. P. 352, 20–8
737 **3–6** St. B. 594, 8–12 **5** Eust. D. P. 385, 13–5 **6 sq.** *Const. Porphyr. De them. 1, 2, 33–7 Pertusi? (cf. 544, 6–11 comm.)

13 ante Strabonis verba τῶν Στράβωνος Γεωγραφικῶν τοῦ ἑξκαιδεκάτου (C: ἑξακαι- D, ιϛ´ B) βιβλίου κεφάλαια. τὸ ἑξκαιδέκατον (BC: ἑξακαι- D) περὶ τὴν Ἀσσύριον χώραν, ἐν ᾗ Βαβυλὼν καὶ Νίσιβις πόλεις μέγισται, καὶ τὴν Ἀδιαβηνὴν καὶ Μεσοποταμίαν, Συρίαν πᾶσαν, Φοινίκην, Παλαιστίνην, Ἀραβίαν πᾶσαν καὶ ὅσα τῆς Ἰνδικῆς τῇ Ἀραβίᾳ ᾗ (ἣ D^{pc}) συνάπτει, καὶ τὴν (τῶν add. C) Σαρακηνῶν, ἣν Σκηνῆτιν καλεῖ, καὶ πᾶσαν τὴν παρακειμένην τῇ τε Νεκρᾷ θαλάσσῃ καὶ τῇ Ἐρυθρᾷ BCD. Στράβωνος Γεωγραφικῶν ιϛ´ BCDF **14** οὕτω E: -ως cett. **15** Νίνος Eust. DR: νῖνος Strabonis codd., Eust. BQ, νίσος Eust. C Ἀπολλωνιᾶτις D: -άτις cett. οἱ ante Παραιτάκαι add. E **16** Ζάγρον BCF: ζάγριον D (an recte? cf. 522, 11 sq.), ζάδρον E Χαλωνῖτις Casaubonus: χαωνῖτις BCF, χαωνίτης DE Νίνον Korais: νῖκον B^{ac}, νῖνον cett. **17** δολομήνη DF; Λολομηνή Hüsing (DLZ 10, 1907, 194. 21, 1918, 47) Χαζηνὴ BC: χαζινὴ F, γαζηνὴ D; Χαζήνη Meineke **18** γορδιαίους CD^{ac} E^{i} **19** πολλή Groskurd: πολλῆς codd. **20 sq.** μέχρι φοινίκων καὶ κιλίκων E 737 **1** καὶ ἰουδαίων C^{mg} F^{mg} z^{mg}; unde ἰουδαίων καὶ ante Λιβύων add. xy, Ἰουδαίων pro Λιβύων scribi iussit La Porte (ap. Letronne); Αἰγυπτίων pro Λιβύων? Groskurd **3** δοκεῖ δὲ ἀπὸ B. τῶν Σ. τὸ ὄνομα διατείνειν St. B. 4 πόντου pro τὸ παλαιόν St. B. **5** καππαδόκαι X οἵ τε pro καὶ οἱ St. B. **7** Ἀμανοῦ CX^{ac}: ἀμάνου cett. **8** τὸ ὄνομα E

XVI

An Persien und Susiane stoßen die Assyrier. Mit diesem Namen bezeichnet man Babylonien und einen großen Teil des umliegenden Landes, zu dem im einzelnen Aturien gehört – in dem Ninos und die Apolloniatis, die Elymäer und Paraitaker, die Chalonitis beim Zagros-Gebirge und die Ebenen um Ninos liegen: Dolomene, Kalachene, Chazene und Adiabene – sowie die Völker Mesopotamiens, die Gordyäer, die Mygdonen um Nisibis und andere bis zu der Uferverbindung am Euphrat, und ein großer Teil des auf der anderen Seite des Euphrats gelegenen Landes, den die Araber und die heute im engeren Sinne als 'Syrer' Bezeichneten innehaben bis zu den Kilikern, den Phöniziern, den Libyern und dem Meer bei der Ägyptischen See und dem Issischen Golf.

Es scheint dass der Name 'Syrer' in alter Zeit erstens von Babylonien bis zum Issischen Golf, dann aber auch von dort bis zum Schwarzen Meer gereicht hat. Jedenfalls werden beiderlei Kappadoker – die beim Tauros und die beim Schwarzen Meer – bis heute 'Weißsyrer' (*Leukosyroi*) genannt (als gäbe es auch Syrer die schwarz sind: das sind die jenseits des Tauros; wenn ich 'Tauros' sage, dehne ich den Namen bis zum Amanos aus). Und wenn die Geschichtsschreiber des syrischen Reiches sagen, die Meder seien von den Persern und die Syrer von den Medern entmachtet worden, meinen sie

Σύρους λέγουσιν, ἀλλὰ τοὺς ἐν Βαβυλῶνι καὶ Νίνῳ κατεσκευασμένους τὸ βασίλειον· ὧν ὁ μὲν Νίνος ἦν ὁ τὴν Νίνον ἐν τῇ Ἀτουρίᾳ κτίσας, ἡ δὲ
12 τούτου γυνή, ἥπερ καὶ διεδέξατο τὸν ἄνδρα, Σεμίραμις· ἧς ἐστι κτίσμα ἡ Βαβυλών. οὗτοι δ' ἐκράτησαν τῆς Ἀσίας, καὶ τῆς Σεμιράμιδος χωρὶς τῶν ἐν Βαβυλῶνι ἔργων πολλὰ καὶ ἄλλα κατὰ πᾶσαν γῆν σχεδὸν δείκνυται ὅση τῆς ἠπείρου ταύτης ἐστί, τά τε χώματα — ἃ δὴ καλοῦσι Σεμιράμιδος —
16 καὶ τείχη καὶ ἐρυμάτων κατασκευαί (καὶ συρίγγων τῶν ἐν αὐτοῖς καὶ ὑδρείων καὶ κλιμάκων) καὶ διωρύγων ἐν ποταμοῖς καὶ λίμναις καὶ ὁδῶν καὶ γεφυρῶν. ἀπέλιπον δὲ τοῖς μεθ' ἑαυτοὺς τὴν ἀρχὴν μέχρι τῆς Σαρδαναπάλλου καὶ Ἀρβάκου * *· μετέστη δ' εἰς Μήδους ὕστερον.

20 Ἡ μὲν οὖν Νίνος πόλις ἠφανίσθη παραχρῆμα κατὰ τὴν τῶν Σύρων κατάλυσιν· πολὺ δὲ μείζων ἦν τῆς Βαβυλῶνος, ἐν πεδίῳ κειμένη τῆς Ἀτουρίας. 3 ἡ δ' Ἀτουρία τοῖς περὶ Ἄρβηλα τόποις ὅμορός ἐστι, μεταξὺ ἔχουσα τὸν Λύκον ποταμόν· τὰ μὲν οὖν Ἄρβηλα τῆς Βαβυλωνίας ἐπαρχία καθ' αὑτήν
24 ἐστιν, ἐν δὲ τῇ περαίᾳ τοῦ Λύκου τὰ τῆς Ἀτουρίας πεδία τῇ Νίνῳ περίκειται. ἐν δὲ τῇ Ἀτουρίᾳ ἐστὶ Γαυγάμηλα κώμη, ἐν ᾗ συνέβη νικηθῆναι καὶ ἀποβαλεῖν τὴν ἀρχὴν Δαρεῖον. ἔστι μὲν οὖν τόπος ἐπίσημος οὗτος καὶ τοὔνομα (μεθερμηνευθὲν γάρ ἐστι 'καμήλου οἶκος'· ὠνόμασε δ' οὕτω Δαρεῖος
28 ὁ Ὑστάσπεω, κτῆμα δοὺς εἰς διατροφὴν τῇ καμήλῳ τῇ συνεκπεπονηκυίᾳ μάλιστα τὴν ὁδὸν τὴν διὰ τῆς ἐρήμου Σκυθίας μετὰ τῶν φορτίων ἐν οἷς ἦν καὶ ἡ διατροφὴ τῷ βασιλεῖ)· οἱ μέντοι Μακεδόνες τοῦτο μὲν ὁρῶντες κώ-

11–3 *Eust. D. P. 390, 14–6 **11 sq.** St. B. 476, 11 sq. **20 sq.** St. B. 476, 12. *Eust.D.P. 388, 31–4

11 Νίνος Korais (cf. St. B.): νῖκος B^{ac}, νῖνος cett. τὴν Νίνον Korais (cf. St. B.): τηνῖκον (sic) B^{ac}, τηνῖνον (sic) B^{pc}, τῆν νῖνον cett. τῇ om. E **12** Σεμίραμις D^{pc}E (cf. St. B.): σεμει- cett. **13** Σεμιράμιδος D^{pc}E: σεμει- cett. **14** πολλὰ E: πολλὰ δὲ cett. **15** Σεμιράμιδος D^{pc}E: σεμει- cett. **17** καὶ primum E: om. cett. διωρύγων DE: -ρύχων cett. **18** τοῦ pro τῆς E **18 sq.** μέχρι τῆς ἥττης (vel τελευτῆς) Σ. τοῦ καταλυθέντος ὑπ' Ἀ.? Müller (1036 ad 628, 2) **19** Ἀρβάκου Xylander: ὀρβακοῦ F, ορβάκου (sic) C, ὀρβάκου cett. lacunam significavi duce Kramer; ⟨μάχης⟩? diffidenter Kramer **20** Νίνος Korais: νῖνος E (cf. X, Eust.), νίνων cett.; Νινίων? diffidenter Kramer κατὰ E: μετὰ cett. τῶν om. BD **21** τῆς prius om. X κειμένη ἐν πεδίῳ X **22** ὅμορός E: ὅμοιός cett. **22 sq.** μεταξὺ τὸν Λ. ἔχουσα F **23** ἐπαρχία praeclare Madvig (Adv. 1, 562): ὑπάρχει (-χη D^{ac}) ἃ codd.; ὑπάρχει ⟨καὶ⟩ ἅ? Kramer (κατ' αὐτὴν legens), ὑπάρχει ἣ Müller (1036 ad 628, 9) κατ' αὐτήν D; κατ' αὐτόν Letronne, Korais, καθ' αὑτά Müller **24 sq.** παράκειται E **26** ⟨οὐκ⟩ ἐπίσημος Korais (Πλουτάρχου Βίοι παράλληλοι. Μέρος τέταρτον [Ἑλληνικῆς Βιβλ. τόμος ἕκτος], ἐν Παρισίοις ͵αωιβ', 425 sq.) **27** τὸ ὄνομα F γάρ om. E (del. Korais) **28 sq.** συμπεπονηκυίᾳ μ. κατὰ τὴν ὁδὸν yz

mit den Syrern keine Anderen, sondern die die in Babylon und Ninos den Königssitz geschaffen haben. Von diesen war Ninos der Gründer von Ninos
12 in Aturien, und seine Frau, die auch die Nachfolgerin ihres Mannes wurde, war Semiramis; ihre Gründung ist Babylon. Diese hatten die Herrschaft über Asien, und von Semiramis zeigt man abgesehen von den Bauten in Babylon noch viele andere in fast dem ganzen Gebiet das zu diesem Kontinent
16 gehört: die Erdhügel – die man ja Semiramishügel nennt –, Mauern, Anlagen von Festungen (und darin von Rohren, Brunnen und Treppen), von Kanälen in Flüssen und Seen, von Straßen und Brücken. Sie hinterließen die Herrschaft ihren Nachkommen bis zu der ⟨Auseinandersetzung zwischen⟩ Sardanapallos und Arbakes; später ging sie auf die Meder über.

20 Die Stadt Ninos wurde gleich bei der Entmachtung der Syrer zerstört; sie 3 war viel größer als Babylon und lag im Flachland Aturiens. Aturien grenzt an die Gegend um Arbela; dazwischen ist der Fluss Lykos; Arbela ist eine
24 selbständige Provinz Babyloniens, und auf der anderen Seite des Lykos liegen die Ebenen Aturiens rings um Ninos. In Aturien liegt das Dorf Gaugamela, in dem es sich begeben hat dass Dareios besiegt wurde und die Herrschaft verlor. Der Ort ist also bemerkenswert, ebenso wie sein Name (übersetzt bedeutet er nämlich 'Haus des Kamels': so hatte Dareios, der Sohn des
28 Hystaspes, ihn genannt als er ihn für dessen Unterhalt dem Kamel zum Geschenk machte das ihm besonders geholfen hatte den beschwerlichen Weg durch das öde Skythien zu bewältigen, da es die Lasten trug zu denen auch der Unterhalt für den König gehörte); die Makedonen aber, die hier einen

μιον εὐτελές, τὰ δὲ Ἄρβηλα κατοικίαν ἀξιόλογον (κτίσμα, ὥς φασι, Ἀρ-
32 βήλου τοῦ Ἀθμονέως) περὶ Ἄρβηλα τὴν μάχην καὶ νίκην κατεφήμισαν καὶ
τοῖς συγγραφεῦσιν οὕτω παρέδωκαν.

4 Μετὰ δὲ Ἄρβηλα καὶ τὸ Νικατόριον ὄρος (ὃ προσωνόμασεν Ἀλέξανδρος
νικήσας τὴν περὶ Ἄρβηλα μάχην) Κάπρος ἐστὶ ποταμὸς ἐν ἴσῳ διαστήματι
738C. ὅσῳ καὶ ὁ Λύκος· ἡ δὲ χώρα Ἀρτακηνὴ λέγεται. | περὶ Ἄρβηλα δέ ἐστι καὶ
Δημητριὰς πόλις· εἶθ' ἡ τοῦ νάφθα πηγὴ καὶ τὰ πυρὰ καὶ τὸ τῆς Ἀναίας
ἱερὸν καὶ Σαδράκαι, τὸ Δαρείου τοῦ Ὑστάσπεω βασίλειον, καὶ ὁ κυπαρισσὼν
4 καὶ ἡ τοῦ Κάπρου διάβασις συνάπτουσα ἤδη Σελευκείᾳ καὶ Βαβυλῶνι.

5 Ἡ δὲ Βαβυλὼν καὶ αὐτὴ μέν ἐστιν ἐν πεδίῳ, τὸν δὲ κύκλον ἔχει τοῦ
τείχους τριακοσίων ὀγδοήκοντα πέντε σταδίων, πάχος δὲ τοῦ τείχους ποδῶν
δύο καὶ τριάκοντα, ὕψος δὲ τῶν μὲν μεσοπυργίων πήχεις πεντήκοντα, τῶν
8 δὲ πύργων ἑξήκοντα· ἡ δὲ πάροδος τοῖς ἐπὶ τοῦ τείχους ὥστε τέθριππα
ἐναντιοδρομεῖν ἀλλήλοις ῥᾳδίως. διόπερ τῶν ἑπτὰ θεαμάτων λέγεται καὶ
τοῦτο καὶ ὁ κρεμαστὸς κῆπος, ἔχων ἐν τετραγώνῳ σχήματι ἑκάστην πλευρὰν
τεττάρων πλέθρων· συνέχεται δὲ ψαλιδώμασι καμαρωτοῖς ἐπὶ πεττῶν ἱδρυ-
12 μένοις κυβοειδῶν ἄλλοις ἐπ' ἄλλοις· οἱ δὲ πεττοὶ κοῖλοι, πλήρεις γῆς,
ὥστε δέξασθαι φυτὰ δένδρων τῶν μεγίστων, ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου
κατεσκευασμένοι καὶ αὐτοὶ καὶ αἱ ψαλίδες καὶ τὰ καμαρώματα. ἡ δ' ἀνωτά-
τω στέγη προσβάσεις κλιμακωτὰς ἔχει, παρακειμένους δ' αὐταῖς καὶ κοχλίας,
16 δι' ὧν τὸ ὕδωρ ἀνῆγον εἰς τὸν κῆπον ἀπὸ τοῦ Εὐφράτου συνεχῶς οἱ πρὸς
τοῦτο τεταγμένοι· ὁ γὰρ ποταμὸς διὰ μέσης ῥεῖ τῆς πόλεως σταδιαῖος τὸ
πλάτος, ἐπὶ δὲ τῷ ποταμῷ ὁ κῆπος.

Ἔστι δὲ καὶ ὁ τοῦ Βήλου τάφος αὐτόθι, νῦν μὲν κατεσκαμμένος (Ξέρ-
20 ξης δ' αὐτὸν κατέσπασεν, ὥς φασιν), ἦν δὲ πυραμὶς τετράγωνος ἐξ ὀπτῆς
πλίνθου καὶ αὐτή, σταδιαία τὸ ὕψος, σταδιαία δὲ καὶ ἑκάστη τῶν πλευρῶν.

31 sq. St. B. 111, 5 sq. 738 **1 sq.** *St. B. 227, 9? **5–13** Anon. Scor. 298ᵛ 10–6 **5–9** *Eust. D. P. 390, 15–21 **9–11** *Eust. D. P. 390, 25–8 **17 sq.** Eust. D. P. 388, 22–4

31 φασιν E: φη- cett. **32** τὴν ante νίκην add. E **34** ⟨τὰ⟩ Ἄρβηλα? νικατώριον E **35** νίκην pro μάχην E Κάπρος E: ὁ κάπρος cett. **36** καὶ om. E Ἀρβηληνὴ Cellarius ([1]2, 661 = [2]2, 471), Ἀδιαβηνῆς? Kramer, Γαραμηνὴ? Müller (1036 ad 628, 26), Ἀρπαχηνὴ Herzfeld (229) 738 **2** ἦθ' ἡ pro εἶθ' ἡ D; ἥ τε Korais Ἀναίας Xylander: ἀνέας codd.; Ναναίας Festugière (Coniectanea Neotestamentica 12, 1948, 48 sq.) **3** τοῦ ante Δαρείου add. E **5** καὶ om. E αὐτὴ E: αὕτη cett. **6** καὶ ante ὀγδοήκοντα add. Anon. Scor. ἑξήκοντα pro ὀγδοήκοντα Brisson (l. c. [730, 29 sq. comm.] 78) **8** ὥστε D: ὡς cett., ὡς καὶ Eust. **17** τούτῳ Niese (1878, XIV) **21** αὕτη F (coniecit v. Herwerden 454) πλευρῶν ⟨τὸ εὖρος⟩ v. Herwerden

armseligen Flecken, in Arbela dagegen eine ansehnliche Siedlung (eine
32 Gründung, wie man sagt, des Athmoners Arbelos) erblickten, haben die
Kunde verbreitet dass die Schlacht und der Sieg bei Arbela stattgefunden
habe, und es so den Geschichtsschreibern überliefert.

Nach Arbela und dem Siegerberg (den Alexander nach seinem Sieg in der 4
Schlacht bei Arbela so benannt hat) kommt der Fluss Kapros in der gleichen
738 Entfernung wie der Lykos; das Land heißt Artakene. Bei Arbela liegt auch
die Stadt Demetrias; dann kommen die Naphthaquelle und die Feuer, das
4 Heiligtum der Anaia, Sadrakai (der Königssitz des Hystaspessohnes Darei-
os), der Zypressenwald und der Übergang über den Kapros, der bereits an
Seleukeia und Babylon stößt.

Babylon liegt ebenfalls im Flachland. Der Umkreis seiner Mauer beträgt 5
dreihundertfünfundachtzig Stadien, die Dicke der Mauer zweiunddreißig
8 Fuß, ihre Höhe zwischen den Türmen fünfzig Ellen und die der Türme
sechzig; für die Leute auf der Mauer ist soviel Platz zum Passieren dass
Viergespanne, die sich begegnen, bequem aneinander vorüberfahren kön-
nen; daher gilt sie ebenso als eines der Sieben Weltwunder wie der Hängen-
de Garten. Dieser hat eine quadratische Form mit Seiten von je vier Plethren
12 und ist aufgebaut aus Tonnengewölbebögen, die, einer über dem anderen,
auf würfelförmigen Sockeln stehen; die Sockel sind hohl und mit Erde ge-
füllt, so dass sie Pflänzlinge der größten Bäume aufnehmen können; sie
sind, ebenso wie die Bögen und die Gewölbe, aus Backstein und Erdpech
hergestellt. Zu dem obersten Stockwerk führen Stufenaufstiege und daneben
16 auch Schneckenschrauben, mittels deren die dazu Angestellten ständig Was-
ser aus dem Euphrat in den Garten hinaufbeförderten: der Fluss strömt
nämlich mitten durch die Stadt – er ist ein Stadion breit – und an seinem
Ufer liegt der Garten.

Es liegt hier auch das Grab des Belos; heute ist es dem Erdboden gleich-
20 gemacht (Xerxes hat es niedergerissen, wie man sagt), es war aber eine qua-
dratische Pyramide ebenfalls aus Backstein, ein Stadion hoch, und jede ih-

ἣν Ἀλέξανδρος ἐβούλετο ἀνασκευάσαι· πολὺ δ' ἦν ἔργον καὶ πολλοῦ χρόνου
(αὐτὴ γὰρ ἡ χοῦς εἰς ἀνακάθαρσιν μυρίοις ἀνδράσι δυεῖν μηνῶν ἔργον ἦν),
24 ὥστ' οὐκ ἔφθη τὸ ἐγχειρηθὲν ἐπιτελέσαι· παραχρῆμα γὰρ ἡ νόσος καὶ ἡ
τελευτὴ συνέπεσε τῷ βασιλεῖ· τῶν δ' ὕστερον οὐδεὶς ἐφρόντισεν. ἀλλὰ καὶ
τὰ λοιπὰ ὠλιγωρήθη, καὶ κατήρειψαν τῆς πόλεως τὰ μὲν οἱ Πέρσαι, τὰ δ' ὁ
χρόνος καὶ ἡ τῶν Μακεδόνων ὀλιγωρία περὶ τὰ τοιαῦτα, καὶ μάλιστα ἐπει-
28 δὴ τὴν Σελεύκειαν ἐπὶ τῷ Τίγρει πλησίον τῆς Βαβυλῶνος ἐν τριακοσίοις
που σταδίοις ἐτείχισε Σέλευκος ὁ Νικάτωρ· καὶ γὰρ ἐκεῖνος καὶ οἱ μετ'
αὐτὸν ἅπαντες περὶ ταύτην ἐσπούδασαν τὴν πόλιν καὶ τὸ βασίλειον ἐνταῦ-
θα μετήνεγκαν· καὶ δὴ καὶ νῦν ἡ μὲν γέγονε Βαβυλῶνος μείζων, ἡ δ' ἔρη-
32 μος ἡ πολλή, ὥστ' ἐπ' αὐτῆς μὴ ἂν ὀκνῆσαί τινα εἰπεῖν ὅπερ ἔφη τις τῶν
κωμικῶν (adesp. fr. 913 K.-A.) ἐπὶ τῶν Μεγαλοπολιτῶν τῶν ἐν Ἀρκαδίᾳ·

ἐρημία μεγάλη 'στιν ἡ Μεγάλη πόλις.

739C. Διὰ δὲ τὴν τῆς ὕλης σπάνιν ἐκ φοινικίνων ξύλων αἱ οἰκοδομαὶ συν-
τελοῦνται καὶ δοκοῖς καὶ στύλοις· περὶ δὲ τοὺς στύλους στρέφοντες ἐκ
τῆς καλάμης σχοινία περιτιθέασιν, εἶτ' ἐπαλείφοντες χρώμασι καταγράφου-
4 σι, τὰς δὲ θύρας ἀσφάλτῳ· ὑψηλαὶ δὲ καὶ αὗται καὶ οἱ οἶκοι, καμαρωτοὶ
πάντες διὰ τὴν ἀξυλίαν. ψιλὴ γὰρ ἡ χώρα καὶ θαμνώδης ἡ πολλὴ πλὴν
φοίνικος· οὗτος δὲ πλεῖστος ἐν τῇ Βαβυλωνίᾳ, πολὺς δὲ καὶ ἐν Σούσοις
καὶ ἐν τῇ παραλίᾳ Περσίδι καὶ ἐν τῇ Καρμανίᾳ. κεράμῳ δ' οὐ χρῶνται· οὐδὲ
8 γὰρ κατομβροῦνται. παραπλήσια δὲ καὶ τὰ ἐν Σούσοις καὶ τῇ Σιτακηνῇ.

6 Ἀφώριστο δ' ἐν τῇ Βαβυλῶνι κατοικία τοῖς ἐπιχωρίοις φιλοσόφοις,
τοῖς Χαλδαίοις προσαγορευομένοις, οἳ περὶ ἀστρονομίαν εἰσὶ τὸ πλέον·
προσποιοῦνται δέ τινες καὶ γενεθλιαλογεῖν (οὓς οὐ καταδέχονται οἱ ἕτε-
12 ροι). ἔστι δὲ καὶ φῦλόν τι τῶν Χαλδαίων καὶ χώρα τῆς Βαβυλωνίας ὑπ'
ἐκείνων οἰκουμένη πλησιάζουσα καὶ τοῖς Ἄραψι καὶ τῇ κατὰ Πέρσας λεγο-
μένῃ θαλάττῃ. ἔστι δὲ καὶ τῶν Χαλδαίων τῶν ἀστρονομικῶν γένη πλείω·

739 **9–19** Theodor. Meliten. De astron. 11 PG 149, 997 C/D

23 μυρίων ἀνδρῶν D **26** κατήρειψαν D^{pc}: -ριψαν cett. δ' ὁ Casaubonus: δὲ BCDF; δὲ ὁ q **28** ⟨τὴν⟩ ἐπὶ? **32** ἐπ' αὐτῇ X **33** τῶν posterius om. D **34** μεγάλη 'στιν X (coniecerunt Plan., Hemsterhuis ms.): μεγάλη ἐστὶν CDE, μεγαλήστιν F, om. B (una cum articulo ἡ) μεγαλόπολις E 739 **1 sq.** aliquid excidisse suspicatur Annette Harder: vide comm. **3 sq.** καταβάπτουσι D **6** φοινίκων E^{ac} δὲ posterius om. E **7** παραλίῳ? ⟨τῇ⟩ Περσίδι Meineke **8** σιττακηνῇ E **9** Βαβυλῶνι Groskurd: -λωνίᾳ codd. **11** γενεθλιο- F οὐκ ἀποδέχονται Meineke (ap. Kramer) **12** τὸ post τι add. codd.: del. Casaubonus

rer Seiten maß ebenfalls ein Stadion. Alexander wollte sie wiederherstellen,
aber es war eine große, viel Zeit erfordernde Arbeit (allein schon mit dem
Wegschaffen des Schutts wären zehntausend Mann zwei Monate lang be-
24 schäftigt gewesen), so dass er das in Angriff Genommene nicht zur Ausfüh-
rung gebracht hat: hat doch gleich die Krankheit und der Tod den König
befallen; und von den Späteren hat keiner sich darum gekümmert. Aber
auch das Übrige wurde vernachlässigt, und so ist die Stadt teils durch die
Perser, teils durch die Zeit und die Gleichgültigkeit der Makedonen in sol-
28 chen Dingen zur Ruine geworden, besonders nachdem Seleukos Nikator
am Tigris in der Nähe von Babylon, etwa dreihundert Stadien entfernt, Se-
leukeia ummauert hatte: denn sowohl er als seine sämtlichen Nachfolger ha-
ben ihre Energie dieser Stadt zugewendet und den Königssitz dorthin ver-
32 legt, und so ist diese jetzt größer geworden als Babylon und jene größten-
teils verödet, so dass man sich nicht zu scheuen brauchte auf sie anzuwen-
den was einer der Komiker (adesp. fr. 913 K.-A.) von den Megalopoliten in
Arkadien gesagt hat:

Die Große Stadt – das heißt die große Einsamkeit.

739 Durch den Mangel an Holz geschieht der Häuserbau mit Dattelpalmen-
holz, sowohl für Balken als für Pfosten; um die Pfosten legen sie aus Schilf
4 gedrehte Seile, die sie dann mit Farben bestreichen und bemalen; die Türen
bestreichen sie mit Erdpech – sie sind hoch, ebenso wie die Häuser, die alle
wegen des Holzmangels gewölbte Dächer haben. Denn das Land ist unbe-
waldet und größtenteils nur mit Gesträuch bewachsen, abgesehen von der
Dattelpalme; diese gibt es in Babylonien besonders viel, viel aber auch in Su-
sa, an der Küste Persiens und in Karmanien. Dachziegel gebrauchen sie
8 nicht: es regnet bei ihnen ja auch nicht. Ähnlich ist es auch in Susa und der
Sitakene.

6 In Babylon war ein Viertel speziell für die einheimischen Philosophen,
die sogenannten Chaldäer, bestimmt; sie beschäftigen sich hauptsächlich
12 mit Astronomie; manche nehmen auch das Stellen von Horoskopen für sich
in Anspruch (sie werden von den anderen nicht akzeptiert). Es gibt auch ei-
nen Stamm der Chaldäer und eine Gegend Babyloniens die von ihnen be-
wohnt wird, in der Nähe der Araber und des sogenannten Meeres bei den
Persern. Auch bei den astronomischen Chaldäern gibt es mehrere Gruppen:

καὶ γὰρ Ὀρχηνοί τινες προσαγορεύονται καὶ Βορσιππηνοὶ καὶ ἄλλοι πλείους,
16 ὡς ἂν κατὰ αἱρέσεις ἄλλα καὶ ἄλλα νέμοντες περὶ τῶν αὐτῶν δόγματα.
μέμνηνται δὲ καὶ τῶν ἀνδρῶν ἐνίων οἱ μαθηματικοί, καθάπερ Κιδήνα τε
καὶ Ναβουριανοῦ καὶ Σουδίνου· καὶ Σέλευκος δ' ὁ ἀπὸ τῆς Σελευκείας Χαλ-
δαῖός ἐστι καὶ ἄλλοι πλείους ἀξιόλογοι ἄνδρες.

20 Τὰ δὲ Βόρσιππα ἱερὰ πόλις ἐστὶν Ἀρτέμιδος καὶ Ἀπόλλωνος, λινουρ- 7
γεῖον μέγα. πληθύουσι δὲ ἐν αὐτῇ νυκτερίδες μείζους πολὺ τῶν ἐν ἄλλοις
τόποις, ἁλίσκονται δ' εἰς βρῶσιν καὶ ταριχεύονται.

Περιέχεται δ' ἡ χώρα τῶν Βαβυλωνίων ἀπὸ μὲν τῆς ἠοῦς ὑπό τε Σου- 8
24 σίων καὶ Ἐλυμαίων καὶ Παραιτακηνῶν, ἀπὸ δὲ τῆς μεσημβρίας ὑπὸ τοῦ
Περσικοῦ κόλπου καὶ τῶν Χαλδαίων μέχρι Ἀράβων τῶν Ἀλεσηνῶν, ἀπὸ δὲ
τῆς ἑσπέρας ὑπὸ Ἀράβων τῶν Σκηνιτῶν μέχρι τῆς Ἀδιαβηνῆς καὶ τῆς Γορ-
δυαίας, ἀπὸ δὲ τῶν ἄρκτων ὑπό τε Ἀρμενίων καὶ Μήδων μέχρι τοῦ Ζάγρου
28 καὶ τῶν περὶ αὐτὸ ἐθνῶν.

Διαρρεῖται δ' ὑπὸ πλειόνων μὲν ποταμῶν ἡ χώρα, μεγίστων δὲ τοῦ τε 9
Εὐφράτου καὶ τοῦ Τίγριος· μετὰ γὰρ τοὺς Ἰνδικοὺς οὗτοι λέγονται δευτε-
ρεύειν κατὰ τὰ νότια μέρη τῆς Ἀσίας οἱ ποταμοί. ἔχουσι δ' ἀνάπλους — ὁ
32 μὲν ἐπὶ τὴν Ὦπιν καὶ τὴν νῦν Σελεύκειαν (ἡ δὲ Ὦπις κώμη ἐμπόριον τῶν
740C. κύκλῳ τόπων), ὁ δ' ἐπὶ Βαβυλῶνα — πλειόνων ἢ τρισχιλίων σταδίων. | οἱ
μὲν οὖν Πέρσαι τοὺς ἀνάπλους ἐπίτηδες κωλύειν θέλοντες φόβῳ τῶν ἔξωθεν
ἐφόδων καταρράκτας χειροποιήτους κατεσκευάκεισαν, ὁ δὲ Ἀλέξανδρος ἐπ-
4 ιὼν ὅσους οἷός τε ἦν ἀνεσκεύασε, καὶ μάλιστα τοὺς ἐπὶ τὴν Ὦπιν. ἐπ-
εμελήθη δὲ καὶ τῶν διωρύγων. πλημμυρεῖ γὰρ ὁ Εὐφράτης κατὰ τὴν ἀρχὴν
τοῦ θέρους ἀπὸ τοῦ ἔαρος ἀρξάμενος, ἡνίκα τήκονται αἱ χιόνες αἱ ἀπὸ
τῆς Ἀρμενίας· ὥστ' ἀνάγκη λιμνάζειν καὶ κατακλύζεσθαι τὰς ἀρούρας, εἰ
8 μὴ διοχετεύει τις ταφρείαις καὶ διώρυξι τὸ ἐκπῖπτον τοῦ ῥοῦ καὶ ἐπι-
πολάζον ὕδωρ, καθάπερ καὶ ἐν Αἰγύπτῳ τὸ τοῦ Νείλου. ἐντεῦθεν μὲν οὖν

20 sq. *St. B. 176, 7 sq. **29–31** *Eust. D. P. 388, 14 sq.

16 λέγοντες q **17** Κιδήνα BCD^{pc}: κιδηνᾶ F, κυδήνα D^{ac} (ut vid.) **18** Ναβουρι⟨μ⟩ανοῦ Huxley (PP 18, 1963, 294 sq.) **25** καὶ pro μέχρι E, καὶ ante μέχρι add. F Ἀλεσηνῶν BCDE: ἐλεσηνῶν F; Μεσηνῶν Letronne, Μαισηνῶν Müller (1038 ad 653, 13) **26** ὑπὸ scripsi: ὑπό τε BCDF, ἀπὸ E; an excidit nomen populi post Σκηνιτῶν? σκηνη- DE **28** αὐτὸ⟨ν⟩ Jones, fort. recte (cf. 522, 11 comm.) **32** {καὶ} Meissner (Klio 19, 1925, 103 sq.) ἐμπόριον x, Kramer: ἐμπορίον F, ἐμπορίων BC, ἐμπορείων Dq; ἐμπορεῖον yz, ed. pr. **33** ⟨τὴν⟩ Βαβυλῶνα? 740 **2** ἐπίτηδες om. D **3** καταρράκτας qxz: καταράκτας BCDF (vide 817, 32 comm.) **7** λιμνάζεσθαι D **7 sq.** ἵνα μὴ διοχετεύοι F (διοχετεύοι etiam B^{s}) **8** ῥεύματος pro ῥοῦ C^{i}; ῥείθρου?

gibt es doch welche die Orchener, andere die Borsippener genannt werden,
16 und mehrere andere, die nach Art von Schulen lauter verschiedene Ansich-
ten über dieselben Dinge vertreten. Einige dieser Leute werden auch von
den Mathematikern erwähnt, wie z. B. Kidenas, Naburianos und Sudines;
auch Seleukos aus Seleukeia ist ein Chaldäer, ebenso wie mehrere andere
bedeutende Männer.

20 Borsippa ist eine der Artemis und dem Apollon heilige Stadt, eine große 7
Leinenmanufaktur. In ihr gibt es besonders viel Fledermäuse die viel größer
sind als andernorts; man fängt sie zum Verzehr und zum Einpökeln.

24 Umgeben wird das Land der Babylonier im Osten von den Susiern, den 8
Elymäern und den Paraitakenern, im Süden von dem Persischen Golf und
den Chaldäern bis zu den Alesenischen Arabern, im Westen von den Zeltbe-
wohnenden Arabern bis Adiabene und zum Gordyäischen, im Norden von
28 den Armeniern und den Medern bis zum Zagros und den ihn umgebenden
Völkern.

Durchströmt wird das Land von mehreren Flüssen, die größten aber sind 9
der Euphrat und der Tigris; sollen doch nach den indischen diese Flüsse im
südlichen Teil Asiens an zweiter Stelle kommen. Sie sind über eine Strecke
32 von mehr als dreitausend Stadien stromaufwärts befahrbar, der eine bis
nach Opis und dem heutigen Seleukeia (das Dorf Opis ist der Handelsplatz
740 für die Umgegend), der andere bis Babylon. Die Perser freilich, die aus
Angst vor Angriffen von außerhalb die Stromaufwärtsfahrt vorsätzlich un-
terbinden wollten, hatten künstliche Stromschnellen angebracht; doch hat
4 Alexander sie systematisch, soviel er konnte, beseitigt, besonders die auf
der Strecke nach Opis. Er hat sich auch um die Kanäle gekümmert. Der
Euphrat tritt nämlich zu Beginn des Sommers über seine Ufer – es fängt im
Frühling an, wenn der Schnee aus Armenien schmilzt; infolgedessen werden
8 die Felder unweigerlich durch Überflutung zu Seen, wenn man nicht das aus
dem Strom austretende und sich über das Land ergießende Wasser, wie das
Nilwasser in Ägypten, durch Gräben und Kanäle verteilt. Daher sind die

αἱ διώρυγες γεγένηνται, χρεία δέ ἐστιν ὑπουργίας μεγάλης· βαθεῖα γὰρ ἡ γῆ καὶ μαλακὴ καὶ εὐένδοτος, ὥστε καὶ ἐκσύρεται ῥᾳδίως ὑπὸ τῶν ῥευμάτων καὶ γυμνοῖ τὰ πεδία, πληροῖ δὲ τὰς διώρυγας καὶ τὰ στόματα αὐτῶν ἐμφράττει ῥᾳδίως ἡ χοῦς. οὕτω δὲ συμβαίνει πάλιν τὴν ὑπέρχυσιν τῶν ὑδάτων εἰς τὰ πρὸς τῇ θαλάττῃ πεδία ἐκπίπτουσαν λίμνας ἀποτελεῖν καὶ ἕλη καὶ καλαμῶνας (ἐξ ὧν καλάμινα πλέκεται παντοῖα σκεύη, τὰ μὲν ὑγροῦ δεκτικὰ τῇ ἀσφάλτῳ περιαλειφόντων, τοῖς δ' ἄλλοις ψιλοῖς χρωμένων· καὶ ἱστία δὲ ποιοῦνται καλάμινα ψιάθοις ἢ ῥιψὶ παραπλήσια).

10 Τὸ μὲν οὖν παντάπασι κωλύειν τὴν τοιαύτην πλήμμυραν οὐχ οἷόν τε ἴσως· τὸ δὲ τὴν δυνατὴν προσφέρειν βοήθειαν ἡγεμόνων ἀγαθῶν ἐστιν. ἡ δὲ βοήθεια αὕτη· τὴν μὲν πολλὴν παρέκχυσιν ἐμφράξει κωλύειν, τὴν δὲ πλήρωσιν, ἣν ἡ χοῦς ἐργάζεται, τοὐναντίον ἀνακαθάρσει τῶν διωρύγων καὶ ἐξανοίξει τῶν στομάτων. ἡ μὲν οὖν ἀνακάθαρσις ῥᾳδία, ἡ δὲ ἔμφραξις πολυχειρίας δεῖται· εὐένδοτος γὰρ οὖσα ἡ γῆ καὶ μαλακὴ τὴν ἐπιφορηθεῖσαν οὐχ ὑπομένει χοῦν, ἀλλ' εἴκουσα συνεφέλκεται κἀκείνην καὶ ποιεῖ δυσέγχωστον τὸ στόμα. καὶ γὰρ καὶ τάχους δεῖ πρὸς τὸ ταχέως κλεισθῆναι τὰς διώρυγας καὶ μὴ πᾶν ἐκπεσεῖν ἐξ αὐτῶν τὸ ὕδωρ. ξηρανθεῖσαι γὰρ τοῦ θέρους ξηραίνουσι καὶ τὸν ποταμόν, ταπεινωθεὶς δὲ τὰς ἐποχετείας οὐ δύναται παρέχεσθαι κατὰ καιρόν, ὧν δεῖται πλεῖστον τοῦ θέρους ἔμπυρος οὖσα ἡ χώρα καὶ καυματηρά (διαφέρει δ' οὐδὲν ἢ τῷ πλήθει τῶν ὑδάτων κατακλύζεσθαι τοὺς καρποὺς ἢ τῇ λειψυδρίᾳ τῷ δίψει διαφθείρεσθαι). ἅμα δὲ καὶ τοὺς ἀνάπλους — πολὺ τὸ χρήσιμον ἔχοντας — ἀεὶ λυμαινομένους ὑπ' ἀμφοτέρων τῶν λεχθέντων παθῶν οὐχ οἷόν τε ἐπανορθοῦν εἰ μὴ ταχὺ μὲν ἐξανοίγοιτο τὰ στόμια τῶν διωρύγων, ταχὺ δὲ κλείοιτο καὶ αἱ διώρυγες ἀεὶ μετριάζοιεν, ὥστε μήτε πλεονάζειν ἐν αὐταῖς τὸ ὕδωρ μήτ' ἐλλείπειν.

741C. 11 Φησὶ δ' Ἀριστόβουλος (FGrHist 139 F 56) τὸν Ἀλέξανδρον αὐτὸν ἀναπλέοντα καὶ κυβερνῶντα τὸ σκάφος ἐπισκοπεῖν καὶ ἀνακαθαίρειν τὰς διώ-

13 Eust. Il. 305, 43 sq. Od. 1390, 60. 1504, 38 **17** Anon. Scor. 298ᵛ 16 sq. **21** Eust. Il. 305, 43 sq. Od. 1390, 60. 1504, 38 **23 sq.** Eust. Il. 305, 43 sq. Od. 1390, 60. 1504, 38

16 ψιλοῖς E: -ῶς cett. **18** πλήμμυραν Kramer: πλημμύραν codd. **20** μὲν om. D **24** συνεφέλκεται C: συνυφ- cett. **24 sq.** δυσέγχωστον J. G. Schneider (Kritisches Griechisch-Deutsches Wörterbuch … 1, Jena-Leipzig 1805, 341 b): δυσέν- F, δυσεύ- cett.; δυσσύγ- Cobet ms. **28** πλείστων Cobet ms. **29** {ἢ} v. Herwerden (454) **30** ⟨καὶ⟩ τῷ? Casaubonus; {τῷ}? **31** ἀεὶ ⟨δὲ⟩ Meineke **32** ὑπ' F (coniecit Korais): γὰρ ὑπ' cett.; δὲ ὑπ' Groskurd **33** κλείοιτο Korais: -οιντο codd. **34** μήτε Korais: μὴ δὲ codd.; μηδὲ ed. pr.

Kanäle angelegt worden; doch erfordert ihre Pflege viel Arbeit, denn das Erdreich ist tief und weich und gibt leicht nach, so dass es von den Wasserströmen leicht weggeschwemmt wird und die Ebenen entblößt, während der Schlick die Kanäle anfüllt und leicht ihre Mündungen verstopfen kann. So kommt es dass das Wasser in den am Meer gelegenen Ebenen wieder überfließt und dort Seen, Sümpfe und mit Schilf bestandene Flächen schafft (aus dem alle möglichen Behälter geflochten werden; manche können Flüssigkeit aufnehmen, da man sie mit Erdpech bestreicht; die anderen werden unbestrichen gebraucht; auch Segel stellen sie aus Schilf her – sie ähneln Matten oder Flechtwerk).

10 Eine solche Überflutung ganz und gar zu verhüten, ist vielleicht nicht möglich; aber die Hilfe zu bieten, die geleistet werden kann, ist die Aufgabe guter Herrscher. Die Hilfe besteht darin dass man das starke Überfließen durch Zusperren und die von dem Schlick bewirkte Auffüllung umgekehrt durch Reinigen der Kanäle und Öffnen ihrer Mündungen verhindert. Das Reinigen freilich ist leicht, das Zusperren dagegen verlangt viele Hände, denn da der Boden leicht nachgibt und weich ist, hält er sich nicht unter der auf ihn geworfenen Erde sondern gibt nach und zieht auch diese mit, und macht so die Mündung schwer zu dichten. Es ist ja auch Schnelligkeit gefordert, damit die Kanäle schnell abgeschlossen werden und nicht alles Wasser aus ihnen herausfließt. Denn wenn sie im Sommer austrocknen, trocknen sie auch den Fluss aus, und wenn sein Wasserspiegel niedrig geworden ist, kann er nicht zur rechten Zeit die Bewässerung leisten, die das Land, das mit Feuer durchsetzt ist und von der Sonne gedörrt wird, im Sommer am meisten braucht (und es macht keinen Unterschied ob die Frucht von den Wassermassen überschwemmt wird oder infolge des Wassermangels durch Durst zugrunde geht). Außerdem ist es nicht möglich, die – großen Nutzen bietende – Stromaufwärtsfahrt, die ständig von den beiden besagten Erscheinungen betroffen wird, wiederherzustellen wenn die Mündungen der Kanäle nicht schnell geöffnet und schnell wieder geschlossen werden und die Kanäle immer die richtige Mitte halten, so dass sie weder zuviel noch zu wenig Wasser führen.

741 11 Aristobulos sagt (FGrHist 139 F 56), Alexander sei selber stromaufwärts geschifft und habe eigenhändig das Boot gesteuert als er die Kanäle inspi-

ρυγας μετὰ τοῦ πλήθους τῶν συνακολουθησάντων, ὧς δ' αὔτως καὶ τὰ στόμια ἐμφράττειν, τὰ δ' ἀνοίγειν· κατανοήσαντα δὲ μίαν τὴν μάλιστα τείνουσαν ἐπὶ τὰ ἕλη καὶ τὰς λίμνας τὰς πρὸ τῆς Ἀραβίας δυσμεταχείριστον ἔχουσαν τὸ στόμα καὶ μὴ ῥᾳδίως ἐμφράττεσθαι δυναμένην διὰ τὸ εὐένδοτον καὶ μαλακόγειον ἄλλο ἀνοῖξαι καινὸν στόμα ἀπὸ σταδίων τριάκοντα ὑπόπετρον λαβόντα χωρίον κἀκεῖ μεταγαγεῖν τὸ ῥεῖθρον. ταῦτα δὲ ποιεῖν προνοοῦντα ἅμα καὶ τοῦ μὴ τὴν Ἀραβίαν δυσείσβολον τελέως ὑπὸ τῶν λιμνῶν ἢ καὶ τῶν ἑλῶν ἀποτελεσθῆναι νησίζουσαν ἤδη διὰ τὸ πλῆθος τοῦ ὕδατος. διανοεῖσθαι γὰρ δὴ κατακτᾶσθαι τὴν χώραν ταύτην καὶ στόλους καὶ ὁρμητήρια ἤδη κατεσκευάσθαι, τὰ πλοῖα τὰ μὲν ἐν Φοινίκῃ τε καὶ Κύπρῳ ναυπηγησάμενον — διάλυτά τε καὶ γομφωτά, ἃ κομισθέντα εἰς Θάψακον σταθμοῖς ἑπτὰ εἶτα τῷ ποταμῷ κατακομισθῆναι μέχρι Βαβυλῶνος —, τὰ δ' ἐν τῇ Βαβυλωνίᾳ συμπηξάμενον τῶν ἐν τοῖς ἄλσεσι καὶ τοῖς παραδείσοις κυπαρίττων (σπάνις γὰρ ὕλης ἐνταῦθα· ἐν δὲ Κοσσαίοις καὶ ἄλλοις τισὶ μετρία τίς ἐστιν εὐπορία). σκήψασθαι μὲν οὖν αἰτίαν τοῦ πολέμου φησὶν ἐπειδὴ μόνοι τῶν ἁπάντων οὐ πρεσβεύσαιντο οἱ Ἄραβες ὡς αὐτόν, τὸ δ' ἀληθὲς ὀρεγόμενον πάντων εἶναι κύριον· καὶ ἐπεὶ δύο θεοὺς ἐπυνθάνετο τιμᾶσθαι μόνους ὑπ' αὐτῶν, τόν τε Δία καὶ τὸν Διόνυσον, τοὺς τὰ κυριώτατα πρὸς τὸ ζῆν παρέχοντας, τρίτον ὑπολαβεῖν ἑαυτὸν τιμήσεσθαι κρατήσαντα καὶ ἐπιτρέψαντα τὴν πάτριον αὐτονομίαν ἔχειν ἣν εἶχον πρότερον. ταῦτά τε δὴ πραγματεύεσθαι περὶ τὰς διώρυγας τὸν Ἀλέξανδρον καὶ τοὺς τάφους σκευωρεῖσθαι τοὺς τῶν βασιλέων καὶ δυναστῶν· τοὺς γὰρ πλείστους ἐν ταῖς λίμναις εἶναι.

12 Ἐρατοσθένης δὲ (fr. III B 36 Berger) τῶν λιμνῶν μνησθεὶς τῶν πρὸς τῇ Ἀραβίᾳ φησὶ τὸ ὕδωρ ἀπορούμενον διεξόδων ἀνοῖξαι πόρους ὑπὸ γῆς καὶ δι' ἐκείνων ὑποφέρεσθαι μέχρι Κοιλοσύρων, ἀναθλίβεσθαι δὲ εἰς τοὺς περὶ Ῥινοκόρουρα καὶ τὸ Κάσιον ὄρος τόπους καὶ ποιεῖν τὰς ἐκεῖ λίμνας καὶ τὰ βάραθρα. οὐκ οἶδα δ' εἰ πιθανῶς εἴρηκεν· αἱ γὰρ τοῦ Εὐφράτου παρεκχύσεις αἱ ποιοῦσαι τὰς πρὸς τῇ Ἀραβίᾳ λίμνας καὶ τὰ ἕλη πλησίον εἰσὶ τῆς κατὰ Πέρσας θαλάττης, ὁ δὲ διείργων ἰσθμὸς οὔτε πολύς ἐστιν οὔτε

741 **3** ὧς δ' αὔτως scripsi (cf. Schwyzer 2, 577): ὡς δ' αὔτως (sic) F, ὡς δ' αὔτως cett. **4** ⟨τὰ μὲν⟩ ἐμφράττειν? Jacoby **9** {ἢ}? **10** τῶν ὑδάτων D **12** καὶ pro priore τὰ x; ⟨καὶ⟩ τὰ? Jacoby **13** σταθμοῖς F[t] (coniecit J. R. Forster ap. E. Spelman, The Expedition of Cyrus into Persia ...[3] 2, Cambridge 1776, XIX[s]): σταδίοις cett. (unde σταδίοις ⟨χιλίοις ἑπτακοσίοις⟩ Gossellin, Rech. 2, 97[1]) **16** κοσαῖοις (sic) D **28** ῥινοκόρουραν q, Ῥινοκόλουραν Xylander, Ῥινοκόλουρα Tzschucke Κάσιον D: κάσσιον cett. τόπους Korais: ποταμοὺς codd.

zierte und mit Hilfe der Menge der ihn Begleitenden reinigte; ebenso habe er die Mündungen teils zugesperrt, teils geöffnet; und als er bemerkte dass *ein* Kanal, der besonders in die Richtung der vor Arabien liegenden Sümpfe und Seen lief, eine schwer zu meisternde Mündung hatte und sich infolge der Nachgiebigkeit und Weichheit des Bodens nicht leicht zusperren ließ, habe er an einer Stelle mit felsigem Untergrund, auf die er dreißig Stadien weiter stieß, eine andere, neue Mündung geöffnet und das Bett dorthin verlegt. Er habe das gleichzeitig aus Vorsorge getan, damit Arabien von den Seen oder auch von den Sümpfen nicht völlig unzugänglich gemacht werden würde (es war ja durch die Menge des Wassers bereits zur Insel geworden). Er habe nämlich die Absicht gehabt, sich in den Besitz dieses Landes zu setzen, und bereits Flotten und Stützpunkte vorbereitet; die Schiffe habe er teils in Phönizien und Zypern bauen lassen – sie seien auseinandernehmbar und mit Pflöcken zusammengesetzt gewesen; in sieben Tagen seien sie nach Thapsakos transportiert worden und dann über den Fluss bis nach Babylon hinabgelangt –, teils habe er sie in Babylonien aus den Zypressen in den Hainen und Wildparks zimmern lassen (an Holz ist dort nämlich Mangel; bei den Kossäern und einigen Anderen gibt es mäßige Mengen). Als Grund für den Krieg habe er angegeben, die Araber hätten als einzige von Allen keine Gesandtschaft zu ihm geschickt; in Wirklichkeit aber sei er darauf aus gewesen, Herr aller Menschen zu sein; und als er hörte dass sie nur zwei Götter, Zeus und Dionysos, die Spender des zum Leben Entscheidendsten, verehrten, habe er gemeint, sie würden ihn als dritten verehren, wenn er die Herrschaft über sie erlangt und ihnen erlaubt haben würde, die altererbte Selbständigkeit, die sie früher hatten, zu behalten. Neben diesen Arbeiten an den Kanälen habe Alexander auch die Gräber der Könige und Fürsten inspiziert; die meisten lägen nämlich in dem Gebiet der Seen.

12 Eratosthenes sagt, wo er die Seen bei Arabien erwähnt (fr. III B 36 Berger), das Wasser habe, da es keine Durchgänge fand, unter der Erde Gänge geöffnet, laufe durch diese bis zu den Koilosyrern, werde in der Gegend von Rhinokorura und dem Kasion-Berg emporgepresst und bilde die dortigen Seen und Abgründe. Ich zweifle aber ob seine Erklärung plausibel ist, denn die Überläufe des Euphrats die die Seen bei Arabien und die Sümpfe bilden, befinden sich in der Nähe des Meeres bei den Persern, und die

32 πετρώδης· ὥστε ταύτῃ μᾶλλον εἰκὸς ἦν βιάσασθαι τὸ ὕδωρ εἰς τὴν θάλατ-
742C. ταν — | εἴθ' ὑπὸ γῆς εἴτ' ἐπιπολῆς — ἢ πλείους τῶν ἑξακισχιλίων σταδίων
διανύειν ἄνυδρον καὶ ξηρὰν οὕτω, καὶ ταῦτα ὀρῶν ἐν μέσῳ κειμένων, τοῦ
τε Λιβάνου καὶ τοῦ 'Αντιλιβάνου καὶ τοῦ Κασίου.

4 Οἱ μὲν δὴ τοιαῦτα λέγουσι. Πολύκλειτος δέ φησι (FGrHist 128 F 5) **13**
μὴ πλημμυρεῖν τὸν Εὐφράτην· διὰ γὰρ πεδίων φέρεσθαι μεγάλων, τὰ δ' ὄρη
τὰ μὲν δισχιλίους ἀφεστάναι σταδίους, τὰ δὲ Κοσσαῖα μόλις χιλίους οὐ
πάνυ ὑψηλὰ οὐδὲ νιφόμενα σφοδρῶς οὐδ' ἀθρόαν ἐπιφέροντα τῇ χιόνι τὴν
8 τῆξιν· εἶναι γὰρ τὰ ὕψη τῶν ὀρῶν ἐν τοῖς ὑπὲρ 'Εκβατάνων μέρεσι τοῖς
προσβορείοις, ἐν δὲ τοῖς πρὸς νότον σχιζόμενα καὶ πλατυνόμενα πολὺ τα-
πεινοῦσθαι· ἅμα δὲ καὶ τὸ πολὺ τοῦ ὕδατος ἐκδέχεσθαι τὸν Τίγριν. τὸ
μὲν οὖν ὕστατον ῥηθὲν φανερῶς ἄτοπον· εἰς γὰρ τὰ αὐτὰ κατέρχεται πεδία
12 καὶ οὗτος. τὰ δὲ λεχθέντα ὕψη τῶν ὀρῶν ἀνωμαλίαν ⟨μὲν⟩ ἔχει, πῇ μὲν
ἐξηρμένα μᾶλλον (τὰ βόρεια), πῇ δὲ πλατυνόμενα (τὰ μεσημβρινά), ἡ δὲ
χιὼν οὐ τοῖς ὕψεσι κρίνεται μόνον ἀλλὰ καὶ τοῖς κλίμασι, τό τε αὐτὸ
ὄρος τὰ βόρεια μέρη νίφεται μᾶλλον ἢ τὰ νότια καὶ τὴν χιόνα συμμένου-
16 σαν ἔχει μᾶλλον ἐκεῖνα ἢ ταῦτα. ὁ μὲν οὖν Τίγρις ἐκ τῶν νοτιωτάτων
μερῶν τῆς 'Αρμενίας, ἃ πλησίον ἐστὶ τῆς Βαβυλωνίας, δεχόμενος τὸ ἐκ τῶν
χιόνων ὕδωρ — οὐ πολὺ ὄν, ἅτε ἐκ τῆς νοτίου πλευρᾶς — ἧττον ἂν πλημ-
μυροῖ, ὁ δ' Εὐφράτης τὸ ἐξ ἀμφοτέρων δέχεται τῶν μερῶν, καὶ οὐκ ἐξ ἑνὸς
20 ὄρους, ἀλλ' ἀπὸ πολλῶν, ὡς ἐδηλοῦμεν ἐν τῇ περιηγήσει τῆς 'Αρμενίας
(527, 9 sqq.; cf. etiam 521, 13 sqq.)· προστίθει δὲ τὸ μῆκος τοῦ ποταμοῦ,
ὅσον μὲν τὸ ἐν τῇ μεγάλῃ 'Αρμενίᾳ διέξεισι καὶ τῇ μικρᾷ, ὅσον δὲ τὸ ἐκ
τῆς μικρᾶς 'Αρμενίας καὶ τῆς Καππαδοκίας διὰ τοῦ Ταύρου διεκβαλὼν ἕως
24 Θαψάκου φέρεται τὴν κάτω Συρίαν καὶ τὴν Μεσοποταμίαν ἀφορίζων, ὅσον

742 1 εἴθ' q^i: εἰθ' B, εἶθ' CDFq^s, ed. pr.; εἴτ' xyz, Casaubonus   εἴτ' ἐπιπ. qxyz: εἴτε πιπ. B, εἶτ' ἐπιπ. cett., ed. pr.   **3** Κασίου Falconer, Tzschucke: μασσύου codd.   **6** δισχιλίους post σταδίους collocat D   ⟨ἀλλ'⟩ οὐ?   **8** καὶ ante τὰ add. codd.: delevi   **9** ἐν Korais (duce Tifernate): ἀεὶ codd.   **10** Τίγριν ⟨καὶ οὕτως πλημμυρεῖν⟩ Meineke (cf. ad 12)   **12** οὗτος Madvig (Adv. 1, 562): οὕτως codd.   δὲ Meineke: πλημμυρεῖν codd. (quod una cum καὶ οὕτως post 10 Τίγριν transposuit Meineke); πληροῦν (pot. qu. {πλημμυρεῖν}) Müller (1036 ad 632, 7)   ⟨τὰ δὲ⟩ ὕψη Madvig (verba tradita πλημμυρεῖν λεχθέντα cum praecedentibus coniungens)   addidi   **14 sq.** τοῦ τε αὐτοῦ ὄρους?   **18 sq.** πλημμυροῖ BD^{pc}: πλημμύροι CD^{ac}, πλημύροι F   **19** δὲ pro δ' q   **20** ἀλλ' ἀπὸ C: ἀλλὰ cett.   ἐδήλουν Korais (cf. ad 21)   **21** προστίθει δὲ scripsi: προστιθεὶς codd. (unde 20 ἐδήλουν scripsit Korais)   **23** τῆς posterius om. D^i

32 Landenge die sie davon trennt ist weder breit noch felsig: es wäre also wahr-
742 scheinlicher dass das Wasser sich dort einen Weg zum Meer bahnt – sei's
unter der Erde, sei's an ihrer Oberfläche – statt eine Strecke von mehr als
sechstausend Stadien durch ein so wasserloses und trockenes Gebiet zurück-
zulegen, zumal auch Berge, der Libanos, der Antilibanos und das Kasion-
Gebirge, dazwischen liegen.

4 Jene also berichten dergleichen. Polykleitos aber sagt (FGrHist 128 F 5), **13**
der Euphrat schwelle gar nicht an: fließe er doch durch große Ebenen, und
die Gebirge seien zum größten Teil zweitausend Stadien entfernt; das Kos-
säische kaum tausend, sei aber gar nicht hoch, werde nicht stark beschneit
8 und bringe den Schnee nicht plötzlich zum Schmelzen; die großen Höhen
der Berge befänden sich ja in den nördlichen Regionen oberhalb von Ekba-
tana, in den südlichen dagegen, wo sie sich teilten und in die Breite gingen,
würden sie viel niedriger; außerdem werde der größte Teil des Wassers vom
Tigris aufgenommen. Nun ist die letzte Behauptung sichtlich ungereimt,
12 denn auch dieser Fluss kommt ja in dieselben Ebenen herab. Und was die
Höhen der Berge betrifft, von denen er spricht: die sind allerdings ungleich
verteilt, indem sie hier höher emporragen (im Norden), dort in die Breite
gehen (im Süden); aber das Kriterium für den Schnee ist nicht nur die Höhe,
sondern auch die Lage: dasselbe Gebirge wird an der Nordseite mehr be-
16 schneit als an der Südseite, und der Schnee bleibt auf jener länger liegen als
auf dieser. Der Tigris nun, der das Schmelzwasser aus den südlichsten Tei-
len Armeniens aufnimmt, die dicht bei Babylonien liegen – keine große
Menge, da es von der Südseite kommt –, wird weniger anschwellen, der
Euphrat aber nimmt das Wasser von beiden Seiten auf, und nicht aus *einem*
20 Gebirge sondern aus vielen, wie wir bei der Durchwanderung Armeniens
dargelegt haben (527, 9 ff.; vgl. auch 521, 13 ff.); hinzu kommt noch die
Länge des Flusses: wie lang ist nicht die Strecke die er in Groß- und Kleinar-
menien durchläuft, wie lang die die er, nachdem er aus Kleinarmenien und
24 Kappadokien durch den Tauros gedrungen ist, bis Thapsakos nimmt, wobei

δὲ τὸ λοιπὸν μέχρι Βαβυλῶνος καὶ τῆς ἐκβολῆς, ὁμοῦ τρισμυρίων καὶ ἑξα-
κισχιλίων σταδίων.

Τὰ μὲν οὖν περὶ τὰς διώρυγας τοιαῦτα. ἡ δὲ χώρα φέρει κριθὰς μὲν 14
28 ὅσας οὐκ ἄλλη (καὶ γὰρ τριακοσιοντάχοα λέγουσι), τὰ δὲ ἄλλα ἐκ τοῦ φοί-
νικος παρέχεται· καὶ γὰρ ἄρτον καὶ οἶνον καὶ ὄξος καὶ μέλι καὶ ἄλφιτα·
τά τε πλεκτὰ παντοῖα ἐκ τούτου· τοῖς δὲ πυρῆσιν ἀντ' ἀνθράκων οἱ χαλ-
κεῖς χρῶνται, βρεχόμενοι δὲ τοῖς σιτιζομένοις εἰσὶ τροφὴ βουσὶ καὶ προ-
32 βάτοις (φασὶ δ' εἶναι καὶ Περσικὴν ᾠδὴν ἐν ᾗ τὰς ὠφελείας τριακοσίας
καὶ ἑξήκοντα διαριθμοῦνται). ἐλαίῳ δὲ χρῶνται τῷ σησαμίνῳ τὸ πλέον.
743C. θ̣άλλει δ' ἐν 'Αρτεμίτ̣ᾳ γ̣[..(.)]. καλ̣ο̣υ̣μένη πόᾳ̣ ...δ.ς̣· | οἱ δ' ἄλλοι τόποι
σπανίζονται τούτου τοῦ φύτου.

Γίνεται δ' ἐν τῇ Βαβυλωνίᾳ καὶ ἄσφαλτος πολλή. περὶ ἧς 'Ερατοσθένης 15
4 μὲν (fr. III B 37 Berger) οὕτως εἴρηκεν ὅτι ἡ μὲν ὑγρά, ἣν καλοῦσι νάφθαν,
γίνεται ἐν τῇ Σουσίδι, ἡ δὲ ξηρά — δυναμένη πήττεσθαι — ἐν τῇ Βαβυλω-
νίᾳ· ταύτης δ' ἐστὶν ἡ πηγὴ τοῦ Εὐφράτου πλησίον, πλημμύροντος δὲ τούτου
κατὰ τὰς τῶν χιόνων τήξεις καὶ αὐτὴ πληροῦται καὶ ὑπέρχυσιν εἰς τὸν
8 ποταμὸν λαμβάνει· ἐνταῦθα δὲ συνίστανται βῶλοι μεγάλαι πρὸς τὰς οἰκο-
δομὰς ἐπιτήδειαι τὰς διὰ τῆς ὀπτῆς πλίνθου. ἄλλοι δὲ καὶ τὴν ὑγρὰν ἐν
τῇ Βαβυλωνίᾳ γίνεσθαί φασι. περὶ μὲν οὖν τῆς ξηρᾶς εἴρηται (728, 9 sqq.
738, 13 sq.) πόσον τὸ χρήσιμον τὸ εἰς τὰς οἰκοδομίας μάλιστα· φασὶ δὲ
12 καὶ πλοῖα πλέκεσθαι, ἐμπλασθέντα δ' ἀσφάλτῳ πυκνοῦσθαι. τὴν δ' ὑγράν, ἣν
νάφθαν καλοῦσι, παράδοξον ἔχειν συμβαίνει τὴν φύσιν· προσαχθεὶς γὰρ ὁ
νάφθας πυρὶ πλησίον ἀναρπάζει τὸ πῦρ, κἂν ἐπιχρίσας αὐτῷ σῶμα προσαγά-

32 sq. *Eust. D. P. 395, 21 sq. 743 **13 sq.** Anon. Scor. 298^{v} 17

28 τριακοσιοντάχοα scripsi: τριακοσάχοα codd. (etiam P, ut vid.); τριακοσιάχοα Tyrwhitt (42), τριακοσιόχοα Lobeck (Phryn. 765), τριακοσιοντάχουν Wesseling (Herodoti Halicarnassei Historiarum libri IX ..., Amstelodami 1763, 91^{18}) **29** ἐκ pro καὶ primo E (cf. infra) ἄρτον Casaubonus (*ex ea enim..panis* Tifernate): αὐτοῦ E (cf. supra), αὐτόθι X, αὐτὸν cett.; αὐτοῖς (tum οἶνος) x {καὶ ἄλφιτα}? **31** εἰσὶ τροφὴ E: εἰς τροφὴν cett. **32** φησὶ (sc. Polycletus)? Korais **34** verba θ̣άλλει — ... δ.ς̣ praebet P: om. cett. 'Αρτεμίτ̣ᾳ scripsi: -μειτα P γ̣[όγγ]η Aly (1956, 224) coll. FGrHist 680 F 1 (2) πόᾳ̣ scripsi: πο[ ]ᾳ̣ P ἑλῶδες mire Aly; ἑλώδης, εὐώδης? 743 **4** καλοῦσι νάφθαν BCE: καλοῦσιν ἄφθαν D^{ac}F (cf. X), καλοῦσιν νάφθαν D^{pc}; cf. 12 sq. 747, 20 **6** πλησίον εὐφράτου X δ' αὐτοῦ pro δὲ τούτου E **7** αὕτη F πλημμυρεῖται D^{pc} (-εῖνται D^{ac}?) **8 sq.** οἰκοδομίας E **9** τὰς om. C **11** εἰς τὰς οἰκοδομίας scripsi: ἐκ τῶν οἰκοδομιῶν codd.; ἐπὶ τῶν οἰκοδομιῶν v. Herwerden (454) φησὶ (sc. Eratosthenes)? Korais **12** δὲ pro δ' post. Kramer **12 sq.** ἣν ἄφθαν F (cf. X); cf. 4 **13** προσαχθεὶς D^{pc} EX: -αφθεὶς cett. **14** πυρ (sic) post σῶμα add. E **14 sq.** προσάγῃς F

er das untere Syrien von Mesopotamien trennt, wie lang der Rest bis Babylon und zur Mündung – alles zusammen sechsunddreißigtausend Stadien.

28 So ist es mit den Kanälen. Das Land bringt soviel Gerste hervor wie kein 14
anderes (spricht man doch sogar von dreihundertfachem Ertrag), und alles Übrige bietet es durch die Dattelpalme; denn diese liefert Brot, Wein, Essig, Honig und Grütze; ferner wird alles mögliche Geflochtene aus ihr gemacht; ihre Kerne gebrauchen die Schmiede statt Kohlen, und eingeweicht bilden
32 sie das Futter für die gemästeten Rinder und Schafe (es soll auch ein persisches Lied geben in dem dreihundertundsechzig nützliche Verwendungen aufgezählt werden). Als Öl gebrauchen sie hauptsächlich Sesamöl. In Arte-
743 mita gedeiht üppig ein * * Kraut, * * genannt; in den übrigen Gegenden fehlt diese Pflanze.

In Babylonien gibt es auch viel Erdpech. Darüber berichtet Eratosthenes 15
4 (fr. III B 37 Berger) folgendermaßen: das flüssige, das man Naphtha nennt, komme in Susis vor, das trockene – das fest werden kann – in Babylonien; die Quelle des letzteren befinde sich dicht am Euphrat, und wenn dieser bei der Schneeschmelze anschwelle, fülle auch sie sich und fließe über in den
8 Fluss; dort bildeten sich große, für den Häuserbau mit Backsteinen geeignete Klumpen. Andere sagen, auch das flüssige gebe es in Babylonien. Von dem trockenen wurde bereits gesagt (728, 9 ff. 738, 13 f.) wie groß sein Nut-
12 zen besonders für den Häuserbau ist; auch sollen Boote geflochten und durch Beschmieren mit Erdpech gedichtet werden. Das flüssige, das man Naphtha nennt, hat eine wundersame Natur: bringt man das Naphtha nämlich in die Nähe von Feuer, dann reißt es das Feuer an sich, und wenn man eine Person mit ihm einreibt und sie an das Feuer heranbringt, entflammt

γης, φλέγεται· σβέσαι δ' ὕδατι οὐχ οἷόν τε — ἐκκαίεται γὰρ μᾶλλον —
16 πλὴν πάνυ πολλῷ· ἀλλὰ πηλῷ καὶ ὄξει καὶ στυπτηρίᾳ καὶ ἰξῷ πνιγεὶς σβέννυται. πεῖρας δὲ χάριν φασὶν Ἀλέξανδρον ἐν λουτρῷ προσχέαι παιδὶ τοῦ νάφθα καὶ προσαγαγεῖν λύχνον, φλεγόμενον δὲ τὸν παῖδα ἐγγὺς ἐλθεῖν τοῦ ἀπολέσθαι· πλὴν πολλῷ σφόδρα καταντλοῦντες τῷ ὕδατι ἐξίσχυσαν καὶ δι-
20 έσωσαν τὸν παῖδα οἱ περιεστῶτες. Ποσειδώνιος δέ φησι (F 236 Ed.-Kidd) τοῦ ἐν τῇ Βαβυλωνίᾳ νάφθα τὰς πηγὰς τὰς μὲν εἶναι λευκοῦ, τὰς δὲ μέλανος· τούτων δὲ τὰς μὲν εἶναι θείου ὑγροῦ (λέγω δὲ τὰς τοῦ λευκοῦ), ταύτας δ' εἶναι τὰς ἐπισπώσας τὰς φλόγας, τὰς δὲ τοῦ μέλανος ἀσφάλτου
24 ὑγρᾶς, ᾗ ἀντ' ἐλαίου τοὺς λύχνους κάουσι.

16 Πάλαι μὲν οὖν ἡ Βαβυλὼν ἦν μητρόπολις τῆς Ἀσσυρίας, νῦν δὲ Σελεύκεια ἡ ἐπὶ τῷ Τίγρει λεγομένη. πλησίον δ' ἐστὶ κώμη Κτησιφῶν λεγομένη, μεγάλη, ταύτην δ' ἐποιοῦντο χειμάδιον οἱ τῶν Παρθυαίων βασιλεῖς φειδό-
28 μενοι τῶν Σελευκέων, ἵνα μὴ κατασταθμεύοιντο ὑπὸ τοῦ Σκυθικοῦ φύλου καὶ στρατιωτικοῦ. δυνάμει οὖν Παρθικὴ πόλις ἀντὶ κώμης ἐστί, καὶ τῷ μεγέθει, τοσοῦτόν γε πλῆθος δεχομένη καὶ τὴν κατασκευὴν ὑπ' ἐκείνων αὐτῶν κατεσκευασμένη καὶ τὰ ὤνια καὶ τὰς τέχνας προσφόρους ἐκείνοις
32 πεπορισμένη· εἰώθασι γὰρ ἐνταῦθα τοῦ χειμῶνος διάγειν οἱ βασιλεῖς διὰ τὸ εὐάερον (θέρους δὲ ἐν Ἐκβατάνοις καὶ τῇ Ὑρκανίᾳ διὰ τὴν ἐπικράτειαν τῆς παλαιᾶς δόξης). ὥσπερ δὲ Βαβυλωνίαν τὴν χώραν καλοῦμεν, οὕτω καὶ τοὺς ἄνδρας τοὺς ἐκεῖθεν Βαβυλωνίους, οὐκ ἀπὸ τῆς πόλεως ἀλλ' ἀπὸ τῆς
744C. χώρας· | ἀπὸ δὲ τῆς Σελευκείας ἧττον, κἂν ἐκεῖθεν ὦσι, καθάπερ Διογένη τὸν Στωϊκὸν φιλόσοφον.

17 Ἔστι δὲ καὶ Ἀρτεμίτα πόλις ἀξιόλογος, διέχουσα πεντακοσίους τῆς
4 Σελευκείας σταδίους, πρὸς ἕω τὸ πλέον, καθάπερ καὶ ἡ Σιτακηνή. καὶ γὰρ αὕτη — πολλή τε καὶ ἀγαθή — μέση Βαβυλῶνος τέτακται καὶ τῆς Σου-

21 Anon. Scor. 298v 17 35 sq. Eust. Il. 281, 20 sq. 744 3 St. B. 128, 9

16 εἰ post πλὴν add. E {καὶ ἰξῷ} Korais πνιγεὶς E: πνιγέντα cett.; πνιγὲν ('πρὸς τὸ Σῶμα') κατα- Korais 17 φησὶν x (prob. Korais, ad Eratosthenem referens) περιχέαι w 18 προσάγειν C[i] 20 τὸν παῖδα B: om. cett. 21 βαβυλῶνι F 22 δὴ pro δὲ post. hi 24 ᾗ Groskurd: ᾧ codd. κάουσι CDE: καίουσι B, καίουσιν F 26 τίγρι E Κτησιφῶν D[pc]E: -φὼν cett. 27 χειμάδιον E: -μαδεῖον D, -μαδίον BCF 29 παρθικῇ B[ac] (coniecit Kramer) 29 sq. τῷ μεγέθει Groskurd: τὸ μέγεθος codd. 33 ἐν post καὶ add. E[ac] {καὶ τῇ Ὑρκανίᾳ}? 35 καλοῦμεν post Βαβυλωνίους add. codd.: delevi 744 1 διογένην BD[pc], διογέν( ) E 3 Ἀρτέμιτα Tzschucke τῆς om. E 4 σιττακηνή E 5 τῆς om. E

sie; und es ist nicht möglich, es mit Wasser zu löschen – dann entbrennt es
16 nämlich mehr – außer mit sehr vielem; doch wenn es mit Schlamm, Essig, Alaun oder Vogelleim erstickt wird, erlischt es. Um es auszuprobieren soll Alexander im Bad einen Knaben mit dem Naphtha bespritzt und eine Lampe herbeigebracht haben: der Knabe sei entflammt und dem Tode nahe gewesen, doch dadurch dass sie ihn mit sehr viel Wasser übergossen, hätten
20 die Umstehenden das Feuer bezwungen und dem Knaben das Leben gerettet. Poseidonios sagt (F 236 Ed.-Kidd), aus den Naphthaquellen in Babylonien fließe es teils weiß, teils schwarz; aus den einen (ich meine: den weißen) komme flüssiger Schwefel, und das seien die die die Flammen anziehen, aus
24 den schwarzen flüssiges Erdpech, mit dem die Leute anstelle des Öls ihre Lampen brennen.

16 Vor alters war Babylon die Hauptstadt Assyriens, heute ist es das sogenannte Seleukeia am Tigris. In seiner Nähe liegt ein großes Dorf, Ktesiphon genannt: das haben die Könige der Parther zu ihrem Winterquartier ge-
28 macht, aus Schonung für die Seleukeer, um ihnen die Einquartierung von Skythen und Soldaten zu ersparen. Seiner Bedeutung nach ist es also eine parthische Stadt und kein Dorf, ebenso wie seiner Größe nach, da es eine solche Menge Menschen fassen kann und von jenen selber mit den notwendigen Einrichtungen ausgestattet und mit den Marktwaren und den Gewer-
32 ben versehen ist die ihnen von Nutzen sind; denn die Könige pflegen hier wegen des guten Klimas den Winter zu verbringen (den Sommer wegen der Macht seines alten Ruhmes in Ekbatana und Hyrkanien). Ebenso wie wir das Land 'Babylonien' nennen, nennen wir die Leute von dort 'Babylonier',
744 nicht nach der Stadt sondern nach dem Land; nach Seleukeia werden sie nicht genannt, auch nicht wenn sie von dort stammen, wie z. B. Diogenes, der stoische Philosoph.

17
4 Es gibt auch die bedeutende Stadt Artemita, fünfhundert Stadien von Seleukeia in hauptsächlich östlicher Richtung, ebenso wie die Sitakene. Denn auch diese Landschaft, die ausgedehnt und fruchtbar ist, liegt zwischen Ba-

σίδος, ὥστε τοῖς ἐκ Βαβυλῶνος εἰς Σοῦσα βαδίζουσι διὰ τῆς Σιτακηνῆς
ἡ ὁδὸς ἅπασα πρὸς ἕω.

8 Πρὸς ἕω δ' ἐστὶ καὶ τοῖς ἐκ Σούσων εἰς τὴν μεσόγαιαν τῆς Περσίδος
διὰ τῆς Οὐξίας καὶ τοῖς ἐκ τῆς Περσίδος εἰς τὰ μέσα τῆς Καρμανίας.
τὴν μὲν οὖν Καρμανίαν ἐγκυκλοῦται ἡ Περσὶς πολλὴ οὖσα· ταύτῃ δὲ πρὸς
ἄρκτον συνάπτει ἡ Παραιτακηνὴ καὶ ἡ Κοσσαία μέχρι Κασπίων πυλῶν, ὀρεινὰ
12 καὶ λῃστρικὰ ἔθνη, τῇ δὲ Σουσίδι ἡ Ἐλυμαΐς, καὶ αὐτὴ τραχεῖα ἡ πολλὴ
καὶ λῃστρική, τῇ δ' Ἐλυμαΐδι τὰ περὶ τὸν Ζάγρον καὶ ἡ Μηδία.

Κοσσαῖοι μὲν οὖν εἰσι τοξόται τὸ πλέον (καθάπερ καὶ οἱ συνεχεῖς **18**
ὀρεινοί), προνομεύοντες ἀεί· χώραν γὰρ ἔχουσιν ὀλίγην τε καὶ λυπράν,
16 ὥστ' ἐκ τῶν ἀλλοτρίων ἀνάγκη ζῆν, ἀνάγκη δὲ καὶ ἰσχύειν· ἅπαντες γάρ
εἰσι μάχιμοι· τοῖς γοῦν Ἐλυμαίοις συνεμάχουν μύριοι καὶ τρισχίλιοι πο-
λεμοῦσι πρός τε Βαβυλωνίους καὶ Σουσίους. οἱ δὲ Παραιτακηνοὶ μᾶλλον
μὲν τῶν Κοσσαίων ἐπιμελοῦνται γῆς, ὅμως δὲ καὶ αὐτοὶ λῃστηρίων οὐκ
20 ἀπέχονται. Ἐλυμαῖοι δὲ καὶ μείζω τούτων κέκτηνται χώραν καὶ ποικιλω-
τέραν· ὅση μὲν οὖν ἀγαθὴ γεωργοὺς ἔχει τοὺς ἐνοικοῦντας, ἡ δ' ὀρεινὴ
στρατιώτας τρέφει, τοξότας τοὺς πλείστους· πολλὴ δ' οὖσα πολὺ καὶ τὸ
στρατιωτικὸν παρέχεται· ὥστε καὶ ὁ βασιλεὺς αὐτῶν δύναμιν κεκτημένος
24 μεγάλην οὐκ ἀξιοῖ τῷ τῶν Παρθυαίων βασιλεῖ παραπλησίως τοῖς ἄλλοις
ὑπήκοος εἶναι, ὁμοίως δὲ καὶ πρὸς τοὺς Μακεδόνας πρότερον τοὺς τῆς
Συρίας ἄρχοντας διέκειτο (Ἀντίοχον μὲν οὖν τὸν Μέγαν τὸ τοῦ Βήλου
συλᾶν ἱερὸν ἐπιχειρήσαντα ἀνεῖλον ἐπιθέμενοι καθ' αὑτοὺς οἱ πλησίον βάρ-
28 βαροι· ἐκ δὲ τῶν ἐκείνῳ συμβάντων παιδευθεὶς ὁ Παρθυαῖος χρόνοις ὕσ-
τερον ἀκούων τὰ ἱερὰ πλούσια παρ' αὐτοῖς, ὁρῶν δ' ἀπειθοῦντας, ἐμβάλλει

11 St. B. 378, 11

6 Σιτακηνῆς CD: σιττα- BEF **7** πρὸς ἕω F: om. cett. **8** μεσόγαιαν q: μεσογαῖαν E, μεσογαίαν cett. **9** τοῖς C^s DE: τῆς BC^i F τῆς secundum om. E **10 sq.** πρὸς ἄρκτον post ἐγκυκλοῦται add. codd.: post ταύτῃ δὲ transposui; πρὸς ⟨ἑσπέραν καὶ πρὸς⟩ ἄρκτον Groskurd, πρὸς ⟨ἑσπέραν καὶ⟩ ἄρκτον Meineke **12** Ἐλυμαΐς Tzschucke duce Cellario (^{1}2, 686 = ^{2}2, 489): ἐλυμάντις F, ἐλυμάτις cett.; Ἐλυμαΐτις Korais **13** Ἐλυμαΐδι Tzschucke duce Cellario (vide ad 12): ἐλυμάτιδι codd.; Ἐλυμαΐτιδι Korais τὸν om. E **22** δὲ pro δ' Xylander **25** πρότερον Letronne: ὕστερον codd.; {ὕστερον}? Letronne; fort. ⟨καὶ πρὸς τοὺς Πέρσας⟩ post ὁμοίως δὲ excidisse coniecit Kramer **29** ἀπειλοῦντας? v. Herwerden (454)

bylon und Susis, so dass für die von Babylon nach Susa Reisenden der ganze
Weg durch die Sitakene ostwärts führt.

8 Ostwärts führt der Weg auch für die die aus Susa durch Uxien in das Bin-
nenland Persiens und für die die aus Persien zur Mitte Karmaniens reisen.
Karmanien wird umfasst von Persien, das eine große Ausdehnung hat; an
Persien stoßen im Norden Paraitakene und das Kossäische bis zum Kaspi-
12 schen Tor, räuberische Gebirgsvölker, an Susis die Elymaïs, ebenfalls gröss-
tenteils rauh und räuberisch, an die Elymaïs das Gebiet um den Zagros und
Medien.

Die Kossäer sind hauptsächlich Bogenschützen (ebenso wie die benach- **18**
barten Gebirgsvölker) und gehen ständig auf Raub aus, da sie ein kleines
16 und karges Land bewohnen; dadurch sind sie gezwungen von fremdem Gut
zu leben und auch gezwungen stark zu sein: sind sie doch sämtlich gute
Krieger – jedenfalls haben dreizehntausend von ihnen an der Seite der Ely-
mäer gekämpft in deren Krieg gegen die Babylonier und die Susier. Die Pa-
raitakener bearbeiten das Land zwar mehr als die Kossäer, enthalten sich
20 aber trotzdem nicht der Räuberei. Die Elymäer haben nicht nur ein größeres
sondern auch ein mannigfaltigeres Land als jene: sein fruchtbarer Teil wird
von Bauern bewohnt, das Bergland nährt Soldaten, hauptsächlich Bogen-
schützen; da es eine große Ausdehnung hat, liefert es auch eine große Men-
24 ge Soldaten; daher weigert sich auch ihr König, da er eine große Streitmacht
besitzt, sich ebenso wie die Anderen dem König der Parther zu unterwerfen,
und die gleiche Haltung hatte er früher auch gegenüber den Makedonen die
über Syrien herrschten (Antiochos den Großen haben, als er versuchte das
Heiligtum des Belos auszurauben, die benachbarten Barbaren allein ange-
28 griffen und getötet; durch das was jenem begegnet war gewitzigt ist Jahre
später der Parther, als er hörte dass die Heiligtümer bei ihnen reich seien,

μετὰ δυνάμεως μεγάλης καὶ τό τε τῆς Ἀθηνᾶς ἱερὸν εἷλε καὶ τὸ τῆς Ἀρ-
τέμιδος, τὰ Ἄζαρα, καὶ ἦρε ταλάντων μυρίων γάζαν· ᾑρέθη δὲ καὶ πρὸς
32 τῷ Ἡδυφῶντι ποταμῷ Σελεύκεια, μεγάλη πόλις· Σολόκη δ' ἐκαλεῖτο πρότε-
ρον)· τρεῖς δ' εἰσὶν εἰς τὴν χώραν εὐφυεῖς εἰσβολαί· ἐκ μὲν τῆς Μηδίας
καὶ τῶν περὶ τὸν Ζάγρον τόπων διὰ τῆς Μασσαβατικῆς, ἐκ δὲ τῆς Σουσίδος
745C. διὰ τῆς Γαβιανῆς | (ἐπαρχίαι δ' εἰσὶν αὗται τῆς Ἐλυμαίας, ἥ τε Γαβιανὴ
καὶ ἡ Μασσαβατική), τρίτη δ' ἐστὶν ἡ ἐκ τῆς Περσίδος· ἔστι δὲ καὶ Κορ-
βιανὴ ἐπαρχία τῆς Ἐλυμαΐδος. ὅμοροι δ' εἰσὶ τούτοις Σαγαπηνοί τε καὶ
4 Σιλακηνοί, δυναστεῖαι μικραί.

Τοσαῦτα μὲν καὶ τοιαῦτα ἔθνη πρὸς ἕω τὰ ὑπερκείμενα τῆς Βαβυλω-
νίας. πρὸς ἄρκτον δὲ τὴν Μηδίαν ἔφαμεν καὶ τὴν Ἀρμενίαν (739, 27 sq.),
ἀπὸ δὲ δύσεώς ἐστιν ἡ Ἀδιαβηνὴ καὶ ἡ Μεσοποταμία.

8 Τῆς μὲν οὖν Ἀδιαβηνῆς ἡ πλείστη πεδιάς ἐστι, καὶ αὐτὴ τῆς Βαβυλω- 19
νίας μέρος οὖσα (ἔχουσα δ' ὅμως ἄρχοντα ἴδιον), ἔστι δ' ὅπῃ καὶ τῇ Ἀρ-
μενίᾳ προσχωροῦσα· οἱ γὰρ Μῆδοι καὶ οἱ Ἀρμένιοι, τρίτοι δὲ Βαβυλώνιοι,
τὰ μέγιστα τῶν ἐθνῶν τῶν ταύτῃ, διετέλουν οὕτως ἐξ ἀρχῆς συνεστῶτες
12 ὥστ' ἀλλήλοις ἐπιτίθεσθαι κατὰ καιροὺς τοὺς οἰκείους ἑκάστοι⟨ς⟩ καὶ πά-
λιν διαλύεσθαι, καὶ τοῦτο καὶ μέχρι τῆς τῶν Παρθυαίων ἐπικρατείας δι-
έμεινε. τῶν μὲν οὖν Μήδων καὶ τῶν Βαβυλωνίων ἐπάρχουσι Παρθυαῖοι, τῶν
δ' Ἀρμενίων οὐδ' ἅπαξ· ἀλλ' ἔφοδοι μὲν γεγόνασι πολλάκις, ἀνὰ κράτος δ'
16 οὐχ ἑάλωσαν, ἀλλ' ὅ γε Τιγράνης καὶ ἐρρωμένως ἀντεπεκράτησεν, ὡς ἐν
τοῖς Ἀρμενιακοῖς εἴρηται (532, 9 sqq.). ἡ μὲν οὖν Ἀδιαβηνὴ τοιαύτη· κα-
λοῦνται δ' οἱ Ἀδιαβηνοὶ καὶ Σακκόποδες.

Περὶ δὲ τῆς Μεσοποταμίας ἐροῦμεν ἐφεξῆς (746, 14 sqq.) καὶ τῶν πρὸς
20 μεσημβρίαν ἐθνῶν ἐπιόντες ἐπὶ μικρὸν πρότερον τὰ λεγόμενα περὶ τῶν
ἐθῶν τῶν παρὰ τοῖς Ἀσσυρίοις. τἆλλα μὲν οὖν ἔοικε τοῖς Περσικοῖς, ἴδιον 20
δὲ τὸ καθεστάναι τρεῖς ἄνδρας σώφρονας ἑκάστης ἄρχοντας φυλῆς, οἳ τὰς

31 τὰ ἄξαρα F; τὰ Ζάρα Casaubonus, τῆς Ἀζάρας J. J. M. M. (Miscell. Observ. in auct. vet. et recentiores 3, 1733, 36[a]) ἑάλω pro ᾑρέθη Cobet ms. ⟨ἡ⟩ πρὸς? 32 σολικὴ F 34 τῶν Xylander: τῆς codd. μασαβατικῆς F[i] 745 2 μασαβατική F[i] 2 sq. Κορβιανὴ Kramer: κορβιανὰ BCD, κορβίανα F, κυρβιανὴ E 3 δὲ pro δ' εἰσὶ E 4 σαλακηνοί E 7 ἡ bis om. E 9 ἔστι δ' scripsi: ἔστιν codd. 10 οἱ posterius om. E 12 addidi 13 sq. διέμενεν F, ἔμεινε D[i] 17 sq. {καλοῦνται — Σακκόποδες}? Kramer 18 σακόποδες F 21 οὖν om. C 22 καθιστάναι? Korais

und ihre Unbotmäßigkeit sah, mit einer großen Streitmacht einmarschiert
und hat das Heiligtum der Athena und das der Artemis, Azara, erobert und
einen Schatz von zehntausend Talenten mitgenommen; erobert wurde auch
32 an dem Fluss Hedyphon Seleukeia, eine große Stadt; sie hieß früher Solo-
ke); es gibt drei natürliche Einfallstore in das Land: aus Medien und der Ge-
gend um den Zagros durch das Massabatische, aus Susis durch Gabiane
745 (das Massabatische und Gabiane sind Provinzen des Elymäischen), und
drittens das aus Persien; eine Provinz der Elymaïs ist auch Korbiane. Be-
4 nachbart sind diesen die Sagapener und die Silakener, kleine Fürstentümer.

Dies ist die Zahl und die Beschaffenheit der Völker die im Osten ober-
halb von Babylonien leben. Im Norden, sagten wir (739, 27 f.), ist Medien
und Armenien, im Westen liegen Adiabene und Mesopotamien.

8 Der größte Teil der Adiabene ist Flachland; er ist ebenfalls ein Teil Baby- 19
loniens (hat jedoch trotzdem ein eigenes Oberhaupt), gehört aber gewisser-
maßen auch zu Armenien: die Meder, die Armenier und drittens die Babylo-
nier, die größten der dortigen Völker, haben von Anfang an stets so zuein-
12 ander gestanden dass sie sich bei den für jeden günstigen Gelegenheiten an-
griffen und dann den Streit wieder beilegten, und das ist bis zu der Ober-
herrschaft der Parther so geblieben. Über die Meder und die Babylonier be-
sitzen die Parther die Herrschaft, über die Armenier dagegen keineswegs;
16 es hat zwar wiederholt Angriffe gegeben, aber mit Gewalt unterworfen wur-
den sie nicht, sondern Tigranes hat sogar eine kräftige Gegenherrschaft be-
gründet, wie in dem Abschnitt über Armenien gesagt wurde (532, 9 ff.). So
beschaffen ist Adiabene; die Adiabener werden auch Sakkopoden genannt.

Über Mesopotamien werden wir im Folgenden (746, 14 ff.) sprechen, so-
20 wie über die Völker im Süden. Vorher aber wollen wir erst kurz durchneh-
men was über die bei den Assyriern herrschenden Gebräuche erzählt wird.
Sie sind im übrigen den persischen ähnlich, doch eigen ist ihnen dass jeder 20
Stamm als Oberhäupter drei verständige Männer hat, die die heiratsfähigen

16 διότι ὁ μὲν Τίγρις τὸ ἑωθινὸν αὐτῆς μόνον κλύζει πλευρόν, τὸ δ' ἑσπέριον καὶ νότιον ὁ Εὐφράτης· πρὸς ἄρκτον δὲ ὁ Ταῦρος ὁ τοὺς Ἀρμενίους διορίζων ἀπὸ τῆς Μεσοποταμίας. τὸ μὲν οὖν μέγιστον ὃ ἀφίστανται διάστημα ἀπ' ἀλλήλων τὸ πρὸς τοῖς ὄρεσίν ἐστι — τοῦτο δ' ἂν εἴη τὸ αὐτὸ ὅπερ εἴ-
20 ρηκεν Ἐρατοσθένης (fr. III B 25 Berger) τὸ ἀπὸ Θαψάκου, καθ' ὃ ἦν τὸ ζεῦγμα τοῦ Εὐφράτου τὸ παλαιόν, ἐπὶ τὴν τοῦ Τίγριος διάβασιν καθ' ἣν διέβη Ἀλέξανδρος αὐτόν, δισχιλίων τετρακοσίων —, τὸ δ' ἐλάχιστον μικρῷ πλέον τῶν διακοσίων, κατὰ Σελεύκειάν που καὶ Βαβυλῶνα. διαρρεῖ δ' ὁ Τί-
24 γρις τὴν Θωπῖτιν καλουμένην λίμνην κατὰ πλάτος μέσην, περαιωθεὶς δ' ἐπὶ θάτερον χεῖλος κατὰ γῆς δύεται μετὰ πολλοῦ ψόφου καὶ ἀναφυσημάτων, ἐπὶ πολὺ δ' ἐνεχθεὶς ἀφανὴς ἀνίσχει πάλιν οὐ πολὺ ἄπωθεν τῆς Γορδυαίας· οὕτως δὲ σφοδρῶς διεκβάλλει τὴν λίμνην, ὥς φησιν Ἐρατοσθένης (fr. III B
28 38 Berger), ὥστε ἁλμυρὰν αὐτὴν οὖσαν καὶ ἄνιχθυν γλυκεῖαν κατὰ τοῦτ' εἶναι τὸ μέρος καὶ ῥοώδη καὶ ἰχθύων πλήρη.

Ἐπὶ μῆκος δὲ συχνὸν προπέπτωκεν ἡ συναγωγὴ τῆς Μεσοποταμίας καὶ **22** πλοίῳ πως ἔοικε· ποιεῖ δὲ τὸ πλεῖστον τῆς περιφερείας ὁ Εὐφράτης· καὶ
32 ἔστι τὸ μὲν ἀπὸ τῆς Θαψάκου μέχρι Βαβυλῶνος, ὡς εἴρηκεν Ἐρατοσθένης (fr. III B 31 Berger), τετρακισχίλιοι καὶ ὀκτακόσιοι στάδιοι· τὸ δ' ἀπὸ τοῦ
747C. κατὰ Κομμαγηνὴν ζεύγματος | — ἥπερ ἐστὶν ἀρχὴ τῆς Μεσοποταμίας — οὐκ ἔλαττον τῶν δισχιλίων σταδίων ἕως ἐπὶ Θάψακον.

Ἔστι δ' ἡ μὲν παρώρειος εὐδαίμων ἱκανῶς. ἔχουσι δ' αὐτῆς τὰ μὲν πρὸς **23**
4 τῷ Εὐφράτῃ καὶ τῷ ζεύγματι — τῷ τε νῦν τῷ κατὰ τὴν Κομμαγηνὴν καὶ τῷ πάλαι τῷ κατὰ Θάψακον — οἱ Μυγδόνες κατονομασθέντες ὑπὸ τῶν Μακεδόνων· ἐν οἷς ἐστιν ἡ Νίσιβις, ἣν καὶ αὐτὴν Ἀντιόχειαν (τὴν ἐν τῇ Μυγδονίᾳ) προσηγόρευσαν, ὑπὸ τῷ Μασίῳ ὄρει κειμένην, καὶ Τιγρανόκερτα καὶ
8 τὰ περὶ Κάρρας καὶ Νικηφόριον χωρία καὶ Χορδίραζα καὶ Σίνινακα, ἐν ᾗ

27–9 Eust. D. P. 388, 10–3 **30 sq.** *Eust. D. P. 386, 31–3 747 **6** St. B. 477, 2 sq.

22 ὁ ante Ἀλέξανδρος add. E **24** Θωπῖτιν F: θωπίτιν X, θωπῖτην (sic) BD, θωπίτην C, θωνίτην E καὶ διεκπεράσας pro περαιωθεὶς δ' X **26** τ' pro δ' X ἄποθεν C **27** οὕτω qxyz, Eust. διαβάλλει F^{t} (cf. Eust.), ἐκβάλλει F^{mg} **28** αὐτὴν om. Eust. **31** ἔοικε Korais: ἐῴκει codd. **34** κατὰ ⟨τὴν⟩? 747 **2** ἔλασσον E {δισ}χιλίων? diffidenter Syme (Anat. 103) **3** παρώρειος Cobet ms.: -ώριος BCF, -όρειος E, -όριος D **5** τὴν post κατὰ add. q τε post οἱ add. codd.: del. Groskurd **6** ᾗ ⟨τε⟩? Kramer, fort. recte ἀντιοχείαν B τῇ om. D^{i}E **7** κειμένη{ν}? **8** πεδία pro χωρία E^{i} καὶ Χορδίραζα om. E; {καὶ} Χορδίραζα? γορδίραζα D; Χορδάριζα? Honigmann (RE s. v. Syria 1569, 27–9)

16 Euphrat und dem Tigris liegt und dass der Tigris nur seine Ostseite bespült, der Euphrat die West- und Südseite; im Norden ist der Tauros, der die Armenier von Mesopotamien trennt. Die größte Entfernung der Flüsse voneinander ist bei den Gebirgen – sie dürfte dieselbe sein wie die die Eratosthe-
20 nes (fr. III B 25 Berger) für die Strecke von Thapsakos, wo in alter Zeit die Uferverbindung des Euphrats war, bis zu dem von Alexander benutzten Übergang über den Tigris angibt: zweitausendvierhundert Stadien –, die kleinste beträgt etwas mehr als zweihundert, etwa bei Seleukeia und Baby-
24 lon. Der Tigris durchfließt den sogenannten Thopitis-See in der Mitte seiner Breite, und wenn er das andere Ufer erreicht hat, verschwindet er mit großem Getöse und emporstäubendem Wasser unter der Erde; nachdem er eine große Strecke unsichtbar weitergelaufen ist, tritt er nicht sehr weit vom Gordyäischen wieder hervor; durch den See fließt er, wie Eratosthenes sagt
28 (fr. III B 38 Berger), mit solcher Kraft, dass der See, der salziges Wasser und keine Fische hat, in diesem Teil süß, strömend und voller Fische ist.

In der Länge springt die Verengerung Mesopotamiens weit vor und ähnelt **22**
32 einigermaßen einem Schiff; den größten Teil des Umkreises bildet der Euphrat; die Entfernung von Thapsakos bis Babylon beträgt, wie Eratosthenes sagt (fr. III B 31 Berger), viertausendundachthundert Stadien; und
747 von der Uferverbindung in Kommagene – die ja den Anfang Mesopotamiens bildet – sind es nicht weniger als zweitausend Stadien bis nach Thapsakos.

Das Land an den Berghängen ist recht gesegnet. Den beim Euphrat und **23**
4 der Uferverbindung – sowohl der heutigen in Kommagene als der ehemaligen bei Thapsakos – gelegenen Teil bewohnen die von den Makedonen so genannten Mygdonen; in ihrem Gebiet liegt Nisibis, das sie ebenfalls Antiocheia (das in Mygdonien) genannt haben und das am Fuß des Masion-Ge-
8 birges liegt, sowie Tigranokerta, die Ortschaften um Karrhai und Nikepho-

μὲν ἐφρόντιζον τῆς πρὸς Ῥωμαίους φιλίας· τὸν δὲ ἄρξαντα πολέμου Κράσσον ἠμύναντο, καὶ αὐτοὶ ἄρξαντες τῆς μάχης τῶν ἴσων ἔτυχον, ἡνίκα ἔπεμψαν ἐπὶ τὴν Ἀσίαν Πάκορον (Ἀντώνιος δὲ συμβούλῳ τῷ Ἀρμενίῳ χρώ-
28 μενος προυδόθη καὶ κακῶς ἐπολέμησεν). ὁ δ' ἐκεῖνον διαδεξάμενος Φραάτης τοσοῦτον ἐσπούδασε περὶ τὴν φιλίαν τὴν πρὸς Καίσαρα τὸν Σεβαστὸν ὥστε καὶ τὰ τρόπαια ἔπεμψεν, ἃ κατὰ Ῥωμαίων ἀνέστησαν Παρθυαῖοι, καὶ καλέσας εἰς σύλλογον Τίτιον, τὸν ἐπιστατοῦντα τότε τῆς Συρίας, τέτταρας
32 παῖδας γνησίους ἐνεχείρισεν ὅμηρα αὐτῷ, Σερασπαδάνην καὶ Ῥωδάσπην καὶ Φραάτην καὶ Οὐονώνην, καὶ γυναῖκας τούτων δύο καὶ υἱεῖς τέτταρας, δε-
749C. διὼς τὰς στάσεις καὶ τοὺς ἐπιτιθεμένους αὐτῷ· | ᾔδει γὰρ μηδένα ἰσχύσοντα καθ' ἑαυτοῦ, ἂν μή τινα ὑπολάβῃ τοῦ Ἀρσακίου γένους διὰ τὸ εἶναι σφόδρα φιλαρσάκας τοὺς Παρθυαίους· ἐκποδὼν οὖν ἐποίησε τοὺς παῖ-
4 δας, ἀφελέσθαι ζητῶν τὴν ἐλπίδα ταύτην τοὺς κακουργοῦντας. τῶν μὲν οὖν παίδων ὅσοι περίεισιν ἐν Ῥώμῃ δημοσίᾳ βασιλικῶς τημελοῦνται· καὶ οἱ λοιποὶ δὲ βασιλεῖς πρεσβευόμενοι καὶ εἰς συλλόγους ἀφικνούμενοι διατετελέκασιν.

8 Ἡ δὲ Συρία πρὸς ἄρκτον μὲν ἀφώρισται τῇ Κιλικίᾳ καὶ τῷ Ἀμανῷ (ἀπὸ θαλάττης δ' ἐπὶ τὸ ζεῦγμα τοῦ Εὐφράτου στάδιοί εἰσιν οἱ τὸ λεχθὲν πλευρὸν ἀφορίζοντες οὐκ ἐλάττους τῶν ⟨χιλίων⟩ τετρακοσίων), πρὸς ἕω δὲ τῷ Εὐφράτῃ καὶ τοῖς ἐντὸς τοῦ Εὐφράτου Σκηνίταις Ἄραψι, πρὸς δὲ
12 νότον τῇ Εὐδαίμονι Ἀραβίᾳ καὶ τῇ Αἰγύπτῳ, πρὸς δύσιν δὲ τῷ Αἰγυπτίῳ τε καὶ Συριακῷ πελάγει μέχρι Ἰσσοῦ. 1 2

25 sq. Κράσσον D^{pc}: κρᾶσσον BCF, κρᾶσον D^{ac} 26 τῆς om. x 27 Πάκορον ⟨, τὸν τοῦ Παρθυαίου παῖδα⟩ Letronne, Πάκορον ⟨, τὸν τοῦ Ὀρώδου βασιλέως παῖδα⟩ Groskurd, Πάκορον * * * Meineke 32 Σερασπαδάνην Tzschucke: σαρασπάδην codd. καὶ Ῥωδάσπην Tzschucke: om. C^{t}, καὶ κεροσπάδην C^{mg}, καὶ κεροπάσδην cett. 33 Φραάτην x, Casaubonus: φραάνην BCDF Οὐονώνην scripsi (vide 26, 19 comm.): βοώνην codd.; Βονώνην Casaubonus 749 2 ἑαυτοῦ Madvig (Adv. 1, 562): ἑαυτόν codd. προσλάβῃ z, ὑποβάλῃ Casaubonus, ἐπιλάβῃ Kramer 'Malim Ἀρσακείου' Meineke (3, VI ad 1044, 5) 3 φιλαρσάκας D^{pc}F: φιλοσάρκας CD^{ac}, φιλοσἄρσάκας (sic) B ἐκποδὼν D: ἐκ ποδῶν cett. ἐποιήσατο Cobet ms. 5 τῇ post ἐν add. D^{ac} 8 Ἀμανῷ E: ἀμάνῳ cett. (ἄμανον in paraphrasi X^{pc}, ἀμανὸν X^{ac}) 9 ἀπὸ τοῦ ἰσσικοῦ κόλπου μέχρι τοῦ ζεύγματος τοῦ κατὰ κομμαγηνὴν (μέχρι τοῦ κατὰ κ. ζ. X) post εἰσιν add. codd.: del. Kramer 10 addidi; ⟨χιλίων καὶ⟩ Casaubonus 11 Σκηνίταις CD^{pc}X: σκηνίταῖς (sic) B, σκηνήταις D^{ac}E 11 sq. πρὸς νότον δὲ E 12 sq. τῷ Αἰγυπτίῳ τε καὶ Συριακῷ X: τῷ αἰγυπτιακῷ (αἰγιπ- C) cett.

schon auf Freundschaft mit den Römern bedacht; doch haben sie sich gegen Crassus, der mit Krieg begonnen hatte, verteidigt und selber das gleiche zu spüren bekommen als sie mit Feindseligkeiten begannen indem sie Pakoros mit feindlicher Absicht nach Asien schickten (wobei Antonius, der den Ar-
28 menier als Berater hatte, verraten wurde und den Krieg unglücklich führte). Und dessen Nachfolger Phraates war so sehr um die Freundschaft mit Caesar Augustus bemüht dass er nicht nur die Trophäen zurückschickte die die Parther zum Zeichen ihres Sieges über die Römer aufgestellt hatten, sondern auch Titius, den damaligen Statthalter Syriens, zu einer Unterredung
32 einlud und ihm seine vier echten Söhne, Seraspadanes, Rhodaspes, Phraates und Vonones, sowie deren zwei Frauen und vier Söhne als Geiseln übergab,
749 aus Furcht vor den Angriffen seiner politischen Gegner: wusste er doch dass keiner etwas gegen ihn vermögen würde wenn er nicht jemanden vom Arsakischen Geschlecht für sich gewönne, da die Parther sehr große Arsaker-
4 freunde sind, und so entfernte er seine Söhne um den Übelwollenden diese Hoffnung zu nehmen. Alle Söhne die noch am Leben sind bekommen in Rom auf Staatskosten eine königliche Verpflegung; und auch die übrigen Könige haben immer weiter Gesandtschaften geschickt und sich zu Unterredungen eingefunden.

8 Syrien ist im Norden begrenzt von Kilikien und dem Amanos (vom Meer zu der Uferverbindung des Euphrats sind es nicht weniger als eintausendvierhundert Stadien die die besagte Seite begrenzen), im Osten vom Euphrat
12 und den Zeltbewohnenden Arabern diesseits des Euphrats, im Süden vom Gesegneten Arabien und Ägypten, im Westen vom Ägyptischen und Syrischen Meer bis Issos. 1 2

Μέρη δ' αὐτῆς τίθεμεν ἀπὸ τῆς Κιλικίας ἀρξάμενοι καὶ τοῦ Ἀμανοῦ τήν 2
τε Κομμαγηνὴν καὶ τὴν Σελευκίδα καλουμένην τῆς Συρίας, ἔπειτα τὴν Κοί-
16 λην Συρίαν, τελευταίαν δ' ἐν μὲν τῇ παραλίᾳ τὴν Φοινίκην, ἐν δὲ τῇ μεσο-
γαίᾳ τὴν Ἰουδαίαν· ἔνιοι δὲ τὴν Συρίαν ὅλην εἴς τε Κοιλοσύρους καὶ Σύ-
ρους καὶ Φοίνικας διελόντες τούτοις ἀναμεμίχθαι φασὶ τέτταρα ἔθνη,
Ἰουδαίους, Ἰδουμαίους, Γαζαίους, Ἀζωτίους, γεωργικοὺς μέν, ὡς τοὺς Σύ-
20 ρους καὶ Κοιλοσύρους, ἐμπορικοὺς δέ, ὡς τοὺς Φοίνικας.

Καθόλου μὲν οὕτως. καθ' ἕκαστα δὲ ἡ Κομμαγηνὴ μικρά τίς ἐστιν. 3
ἔχει δ' ἐρυμνὴν πόλιν Σαμόσατα, ἐν ᾗ τὸ βασίλειον ὑπῆρχε (νῦν δ' ἐπαρ-
χία γέγονε)· χώρα δὲ περίκειται σφόδρα εὐδαίμων ὀλίγη. ἐνταῦθα δὲ νῦν
24 ἐστι τὸ ζεῦγμα τοῦ Εὐφράτου, κατὰ τοῦτο δὲ Σελεύκεια ἵδρυται φρούριον
τῆς Μεσοποταμίας, προσωρισμένον ὑπὸ Πομπηΐου τῷ Κομμαγηνῷ· ἐν ᾧ τὴν
Σελήνην ἐπικληθεῖσαν Κλεοπάτραν Τιγράνης ἀνεῖλε καθείρξας χρόνον τινά,
ἡνίκα τῆς Συρίας ἐξέπεσεν.

28 Ἡ δὲ Σελευκὶς ἀρίστη μέν ἐστι τῶν λεχθεισῶν μερίδων, καλεῖται δὲ 4
τετράπολις καὶ ἔστι κατὰ τὰς ἐξεχούσας ἐν αὐτῇ πόλεις· ἐπεὶ πλείους γέ
εἰσι, μέγισται δὲ τέτταρες, Ἀντιόχεια ἡ ἐπὶ Δάφνῃ καὶ Σελεύκεια ἡ ἐν
Πιερίᾳ καὶ Ἀπάμεια καὶ Λαοδίκεια — αἵπερ καὶ ἐλέγοντο ἀλλήλων ἀδελφαὶ
32 διὰ τὴν ὁμόνοιαν —, Σελεύκου τοῦ Νικάτορος κτίσματα· ἡ μὲν οὖν μεγίστη
τοῦ πατρὸς αὐτοῦ ἐπώνυμος, ἡ δ' ἐρυμνοτάτη αὐτοῦ, αἱ δ' ἄλλαι ἡ μὲν Ἀπά-
750C. μεια τῆς γυναικὸς αὐτοῦ Ἀπάμας, | ἡ δὲ Λαοδίκεια τῆς μητρός. οἰκείως
δὲ τῇ τετραπόλει καὶ εἰς σατραπείας διῄρητο τέτταρας ἡ Σελευκίς, ὥς
φησι Ποσειδώνιος (F 251 Ed.-Kidd), εἰς ὅσας καὶ ἡ Κοίλη Συρία (εἰς
4 μίαν δ' ἡ Μεσοποταμία).

749 14–7 *Eust. D. P. 372, 23–7. *Mich. Ital. Epist. 2, 35–7 Criscuolo **17 sq.** *Eust. D. P. 385, 43 sq. **28–31** *Eust. D. P. 380, 42–381, 3 **30–750, 1** *Eust. D. P. 379, 29–38

14 Ἀμανοῦ E: ἀμάνου cett. **15** {τῆς Συρίας}? **16** τελευταῖον Eust. **16 sq.** ἐν μεσογαίῳ Eust. **17 sq.** καὶ Σύρους B^{s} B^{mg} EF, Eust.: om. B^{i} CD; εἴς τε Σύρους καὶ Κοιλοσύρους Ed. Schwartz (Philologus 86, 1931, 397 = Ges. Schr. 2, Berlin 1956, 267) **18** ἀναμεμῖχθαί B **21** ⟨καὶ⟩ καθόλου vel μὲν ⟨οὖν⟩? Korais, fort. recte οὕτω ed. pr. **23** ὀλίγη ⟨δέ⟩ Casaubonus **25** τῆς om. E τῇ Κομμαγηνῇ z, Salmasius (Plin. exerc. 619 D) **28** μερῶν pro μερίδων D^{i} **29** ἔστι ⟨γε⟩? **31** δὲ post Ἀπάμεια add. codd.: del. Korais **32** ὁμογένειαν Miller (1874, 147) **750 2** διῄρητο D^{ac}: διηρεῖτο BCD^{pc}, διήρειτό τε F ἡ DF: ἡ δὲ BC **4** Κομμαγηνή pro Μεσοποταμία Bake (117), ⟨Κομμαγηνὴ καὶ ὁμοίως ἡ⟩ Παραποταμία pot. qu. ⟨Κομμαγηνή, καθάπερ καὶ ἡ⟩ Μεσοποταμία Groskurd; Μεσοποταμία ⟨συνεστάλη⟩? Honigmann (RE s. v. Syria 1620, 28 sqq.)

Als seine Teile bezeichnen wir, angefangen bei Kilikien und dem Amanos: 2
16 Kommagene und die sogenannte syrische Seleukis, dann Koilesyrien, und
schließlich an der Küste Phönizien und im Binnenland Judäa; Manche teilen
ganz Syrien in Koilosyrer, Syrer und Phönizier ein und sagen, diesen seien
vier Völker – Judäer, Idumäer, Gazäer und Azotier – beigemischt, die ei-
20 nerseits Ackerbauer seien wie die Syrer und Koilosyrer, andererseits Kauf-
leute wie die Phönizier.

So ist es im großen Ganzen. Im einzelnen ist Kommagene ein kleines Ge- 3
biet. Es hat eine naturfeste Stadt Samosata, in der sich der Königssitz be-
fand (heute ist es eine Provinz geworden); ringsum liegt sehr gesegnetes
24 Land geringen Umfangs. Dort ist jetzt die Uferverbindung des Euphrats,
und an dieser Stelle liegt in Mesopotamien die Festung Seleukeia, die von
Pompeius dem Kommagener zugeschlagen wurde; in ihr hat Tigranes Kleo-
patra, zubenannt Selene, einige Zeit gefangen gehalten und dann, als er aus
Syrien vertrieben wurde, getötet.

28 Seleukis ist der trefflichste der genannten Bezirke. Er wird 'Vierstädtebe- 4
zirk' (Tetrapolis) genannt, und das ist er auch durch die darin hervorragen-
den Städte: denn es gibt zwar mehrere, am größten aber sind vier, Antio-
cheia bei Daphne, Seleukeia in Pïerien, Apameia und Laodikeia – man
32 nannte sie auch 'Geschwister' wegen ihrer Eintracht –, Gründungen des Se-
leukos Nikator; die größte war nach seinem Vater benannt, die naturfesteste
750 nach ihm selber, von den übrigen Apameia nach seiner Frau Apama und
Laodikeia nach seiner Mutter. Passend zu dem Vierstädtebezirk war Seleu-
kis auch in vier Satrapien eingeteilt, wie Poseidonios sagt (F 251 Ed.-Kidd),
4 in ebensoviele wie Koilesyrien (Mesopotamien dagegen in eine).

Ἔστι δ' ἡ μὲν Ἀντιόχεια καὶ αὐτὴ τετράπολις, ἐκ τεττάρων συνεστῶσα
μερῶν, τετείχισται δὲ καὶ κοινῷ τείχει καὶ ἰδίῳ καθ' ἕκαστον τὸ κτίσμα.
τὸ μὲν οὖν πρῶτον αὐτῶν ὁ Νικάτωρ συνῴκισε μεταγαγὼν ἐκ τῆς Ἀντιγο-
8 νείας τοὺς οἰκήτορας (ἣν πλησίον ἐτείχισεν Ἀντίγονος ὁ Φιλίππου μικρὸν
πρότερον)· τὸ δὲ δεύτερον τοῦ πλήθους τῶν οἰκητόρων ἐστὶ κτίσμα, τὸ δὲ
τρίτον Σελεύκου τοῦ Καλλινίκου, τὸ δὲ τέταρτον Ἀντιόχου τοῦ Ἐπιφανοῦς.
καὶ δὴ καὶ μητρόπολίς ἐστιν αὕτη τῆς Συρίας, καὶ τὸ βασίλειον ἐνταῦθα 5
12 ἵδρυτο τοῖς ἄρχουσι τῆς χώρας, οὐ πολύ τε λείπεται καὶ δυνάμει καὶ
μεγέθει Σελευκείας τῆς ἐπὶ τῷ Τίγρει καὶ Ἀλεξανδρείας τῆς πρὸς Αἰγύπτῳ.
συνῴκισε δ' ὁ Νικάτωρ ἐνταῦθα καὶ τοὺς ἀπογόνους Τριπτολέμου, περὶ οὗ
μικρὸν πρόσθεν (747, 20 sq.) ἐμνήσθημεν· διόπερ Ἀντιοχεῖς ὡς ἥρωα τι-
16 μῶσι καὶ ἄγουσιν ἑορτὴν ἐν τῷ Κασίῳ ὄρει τῷ περὶ Σελεύκειαν (φασὶ δ'
αὐτὸν ὑπ' Ἀργείων πεμφθέντα ἐπὶ τὴν Ἰοῦς ζήτησιν — ἐν Τύρῳ πρῶτον
ἀφανοῦς γενηθείσης — πλανᾶσθαι κατὰ τὴν Κιλικίαν· ἐνταῦθα δὲ τῶν σὺν
αὐτῷ τινας Ἀργείων κτίσαι τὴν Ταρσὸν ἀπελθόντας παρ' αὐτοῦ· τοὺς δ'
20 ἄλλους συνακολουθήσαντας εἰς τὴν ἑξῆς παραλίαν ἀπογνόντας τῆς ζητήσεως
ἐν τῇ ποταμίᾳ τοῦ Ὀρόντου καταμεῖναι σὺν αὐτῷ· τὸν μὲν οὖν υἱὸν τοῦ
Τριπτολέμου Γόρδυν ἔχοντά τινας τῶν σὺν τῷ πατρὶ λαῶν εἰς τὴν Γορδυ-
αίαν ἀποικῆσαι, τῶν δ' ἄλλων τοὺς ἀπογόνους συνοίκους γενέσθαι τοῖς
24 Ἀντιοχεῦσιν).

Ὑπέρκειται δὲ τετταράκοντα σταδίοις ἡ Δάφνη, κατοικία μετρία, 6
μέγα δὲ καὶ συνηρεφὲς ἄλσος διαρρεόμενον πηγαίοις ὕδασιν· ἐν μέσῳ δὲ
ἄσυλον τέμενος καὶ νεὼς Ἀπόλλωνος καὶ Ἀρτέμιδος. ἐνταῦθα δὲ πανηγυ-
28 ρίζειν ἔθος τοῖς Ἀντιοχεῦσι καὶ τοῖς ἀστυγείτοσι. κύκλος δὲ τοῦ ἄλσους
ὀγδοήκοντα στάδιοι.

Ῥεῖ δὲ τῆς πόλεως πλησίον Ὀρόντης ποταμός· οὗτος δ' ἐκ τῆς Κοίλης 7
Συρίας τὰς ἀρχὰς ἔχων εἶθ' ὑπὸ γῆν ἐνεχθεὶς ἀναδίδωσι πάλιν τὸ ῥεῦμα
32 καὶ διὰ τῆς Ἀπαμέων εἰς τὴν Ἀντιόχειαν προελθὼν πλησιάσας τῇ πόλει

11 sq. *Eust. D. P. 380, 40 sq. **12 sq.** Eust. D. P. 380, 14–7 **14–24** Evagr. Hist. eccl. 1, 20 p. 29, 3 sq. Bidez-Parmentier **16 sq.** *St. B. 211, 17 sq.? **25–9** *Eust. D. P. 378, 35–9 **32–4** Eust. D. P. 380, 28–32

5 αὐτὴ Cascorbi (30), Jones: αὕτη codd. **6** τὸ κτίσμα om. E **7** συνῴκισε DE: συνῴκησε C, συνῴκησεν BF **7 sq.** Ἀντιγονείας E (coniecit Meineke): -νίας cett. **8** μικρῷ q **14** ἀπογόνους E: ἀπὸ γένους cett. **15** μικρῷ q πρότερον pro πρόσθεν D **16** Κασίῳ yz: κασσίῳ BCDF **17** Ἰοῦς DE: ἠοῦς BCF **18** γενηθείσης BD^{γρ}: γεννη- CF, γενομένης D **19** αὐτοῦ Korais: αὐτούς codd. **22** Γόρδυν C (cf. E): γόρτυν cett. **25** δ' ἐν pro δὲ Niese (1878, XIV) σταδίους Eust., ed. pr., compend. E **26** καὶ om. F διαρε- D^{ac}F **27** ναὸς D **29** στάδια D^{i} **32** γῆς post Ἀπαμέων add. Eust.

Antiocheia ist auch selber eine Viererstadt, da sie aus vier Teilen besteht
und außer der gemeinsamen Mauer auch jede Teilstadt mit einer eigenen
Mauer befestigt ist. Die erste davon hat Nikator gegründet – die Siedler
8 brachte er aus Antigoneia hierher, das Philippos' Sohn Antigonos kurz vor-
her in der Nähe befestigt hatte –, die zweite ist eine Gründung der großen
Menge der Siedler, die dritte hat Seleukos Kallinikos, die vierte Antiochos
Epiphanes gegründet. Dies ist denn auch die Hauptstadt Syriens; in ihr be- 5
12 fand sich die Residenz der Herrscher des Landes; und an Bedeutung und
Größe steht sie nicht weit zurück hinter Seleukeia am Tigris und Alexan-
drien bei Ägypten. Nikator hat hier auch die Nachkommen des Triptolemos
angesiedelt, den wir kurz zuvor (747, 20 f.) erwähnt haben; daher verehren
16 die Antiocheer ihn als Heros und halten ihm zu Ehren ein Fest ab auf dem
Kasion-Berg bei Seleukeia (man sagt, er sei von den Argivern auf die Suche
nach Io geschickt worden – die zuerst in Tyros verschwunden sei – und in
Kilikien umhergestreift; dort hätten einige der ihn begleitenden Argiver sich
20 von ihm getrennt und Tarsos gegründet; die übrigen seien weiter mit ihm zu
der anschließenden Küste gezogen und, nachdem sie die Suche aufgegeben,
zusammen mit ihm im Stromgebiet des Orontes geblieben; Triptolemos'
Sohn Gordys sei mit einigen Begleitern seines Vaters ins Gordyäische ausge-
24 wandert; die Nachkommen der Anderen seien Mitsiedler der Antiocheer ge-
worden).

Vierzig Stadien oberhalb liegt Daphne, eine mittelgroße Siedlung und ein 6
großer, dichter und von Quellwassern durchströmter Hain; in seiner Mitte
ist ein asylbietender heiliger Bezirk und ein Tempel des Apollon und der Ar-
28 temis. Dort pflegen die Antiocheer und ihre Nachbarn ein Fest zu begehen.
Der Umkreis des Hains beträgt achtzig Stadien.

In der Nähe der Stadt fließt der Fluss Orontes; er hat seinen Ursprung in 7
Koilesyrien, läuft dann unter der Erde hin, lässt seinen Strom wieder auf-
32 tauchen, fließt durch das Gebiet der Apameer weiter nach Antiocheia und

πρὸς τὴν θάλατταν καταφέρεται τὴν κατὰ Σελεύκειαν· τὸ δ' ὄνομα τοῦ γεφυ-
ρώσαντος αὐτὸν Ὀρόντου μετέλαβε, καλούμενος πρότερον Τυφών. μυθεύουσι
δ' ἐνταῦθά που τὰ περὶ τὴν κεραύνωσιν τοῦ Τυφῶνος καὶ τοὺς Ἀρίμους —
36 περὶ ὧν εἴπομεν καὶ πρότερον (579, 30 sq. 626, 25 sqq.) —, φασὶ δὲ τυπτόμε-
751C. νον | τοῖς κεραυνοῖς (εἶναι δὲ δράκοντα) φεύγειν κατάδυσιν ζητοῦντα·
τοῖς μὲν οὖν ὁλκοῖς ἐντεμεῖν τὴν γῆν καὶ ποιῆσαι τὸ ῥεῖθρον τοῦ ποτα-
μοῦ, καταδύντα δ' εἰς τὴν γῆν ἀναρρῆξαι τὴν πηγήν, ἐκ δὲ τούτου γενέσθαι
4 τοὔνομα τῷ ποταμῷ.

Πρὸς δύσιν μὲν οὖν θάλαττα ὑπόκειται τῇ Ἀντιοχείᾳ ἡ κατὰ Σελεύ-
κειαν, πρὸς ᾗ καὶ τὰς ἐκβολὰς ὁ Ὀρόντης ποιεῖται διεχούσῃ τῶν μὲν ἐκ-
βολῶν σταδίους τετταράκοντα, τῆς δ' Ἀντιοχείας ἑκατὸν εἴκοσιν· ἀνάπλους
8 δ' ἐκ θαλάττης ἐστὶν εἰς τὴν Ἀντιόχειαν αὐθημερόν.

Πρὸς ἕω δ' ὁ Εὐφράτης ἐστὶ καὶ ἡ Βαμβύκη καὶ ἡ Βέροια καὶ ἡ Ἡρά-
κλεια τῇ Ἀντιοχείᾳ, πολίχνια τυραννούμενά ποτε ὑπὸ Διονυσίου τοῦ Ἡρα-
κλέωνος (διέχει δ' ἡ Ἡράκλεια σταδίους εἴκοσι τοῦ τῆς Ἀθηνᾶς ἱεροῦ τῆς
12 Κυρρηστίδος)· εἶτα ἡ Κυρρηστικὴ μέχρι τῆς Ἀντιοχίδος. 8

Ἀπὸ δὲ τῶν ἄρκτων ἐστὶ τό τε Ἀμανὸν πλησίον καὶ ἡ Κομμαγηνή, συν-
άπτει δὲ τούτοις ἡ Κυρρηστικὴ μέχρι δεῦρο παρατείνουσα. ἐνταῦθα δ' ἐστὶ
πόλις Γίνδαρος, ἀκρόπολις τῆς Κυρρηστικῆς καὶ λῃστήριον εὐφυές, καὶ
16 Ἡράκλειόν τι καλούμενον πλησίον· περὶ οὓς τόπους ὑπὸ Οὐεντιδίου Πάκο-
ρος διεφθάρη, ὁ πρεσβύτατος τῶν τοῦ Παρθυαίου παίδων, ἐπιστρατεύσας
τῇ Συρίᾳ. τῇ δὲ Γινδάρῳ συνάπτουσιν αἱ Πάγραι τῆς Ἀντιοχίδος, χωρίον

34–751, 4 Eust. Il. 346, 42–347, 1 751 **11 sq.** St. B. 397, 12 sq.

33 τὴν prius om. Eust. θάλασσαν BX, Eust. κατὰ ⟨τὴν⟩? **35** που om. Eust. τοῦ om. Eust. καὶ E, Eust.: om. cett. 751 **1** κεραυνῷ pro τοῖς κεραυνοῖς Eust. ζητοῦντα κατάδυσιν Eust. **2 sq.** ῥεῖθρον τοῦ π., κ. δ' εἰς τὴν γῆν ἀναρρῆξαι scripsi: ῥεῖθρον τοῦ π.· κ. γὰρ εἰς τὴν γῆν ἀναρρῆξαι B^{mg}F, ῥεῖθρον τοῦ π., κ. δὲ εἰς γῆν ἀναρρῆξαι Eust., ῥῆγ sequente rasura 2–3 litt. (cui ξαι superscripsit manus secunda) D, ῥῆξαι B^{t}C **5** ⟨ἡ⟩ θάλαττα? ἡ E: om. cett. **6** διέχουσαν Korais **9** βέρροια DE ἡ tertium z: om. BCDEF **10 sq.** ἡρακλεῶνος BF **11** ἡ om. C **12** Κυρρηστίδος Tzschucke: κυριστίδος codd., κυρ(ρ)εστίδος St. B.; Κυρηστίδος Xylander Κυρρηστικὴ Tzschucke: κυριστικὴ codd., κυρ(ρ)εστικὴ St. B.; Κυρηστικὴ Xylander **13** Ἀμανὸν xyz: ἄμανον BCDEF; Ἀμανὸν ⟨ὄρος⟩? Boissevain (ad D. C. 48, 41, 1) **14** Κυρ-ρηστικὴ Tzschucke: κυριστικὴ codd., κυρ(ρ)εστικὴ St. B; Κυρηστικὴ Xylander **15** Γίνδαρος Hopper: τίνδ- codd. Κυρρηστικῆς Tzschucke: κυριστικῆς codd.; Κυ-ρηστικῆς Xylander **16** ἱερὸν post καλούμενον add. D; post πλησίον Meineke **18** Γινδάρῳ Hopper: τινδάρῳ BF, τηνδάρῳ C, τὴν δάρον D

läuft, nachdem er sich der Stadt genähert hat, zum Meer bei Seleukeia hin-
ab; seinen Namen hat er von Orontes, dem Mann der ihn überbrückt hat,
bekommen – früher hieß er Typhon. Man lässt hier irgendwo die Fabel von
36 Typhons Erschlagung durch den Blitz und von den Arimern spielen – von
der wir schon früher (579, 30 f. 626, 25 ff.) gesprochen haben – und be-
751 hauptet, von den Blitzen getroffen sei er (er sei eine Schlange gewesen) ge-
flohen und habe einen Unterschlupf gesucht; mit seinen Windungen habe er
die Erde eingeschnitten und so das Bett des Flusses geschaffen, und dadurch
dass er unter die Erde schlüpfte habe er die Quelle aufbrechen lassen: davon
4 habe der Fluss seinen Namen bekommen.

Im Westen liegt unterhalb von Antiocheia das Meer bei Seleukeia, bei
welcher Stadt der Orontes auch seine Mündung hat; sie ist von der Mün-
dung vierzig, von Antiocheia hundertzwanzig Stadien entfernt; vom Meer
8 stromaufwärts nach Antiocheia schifft man an einem Tag.

Östlich von Antiocheia ist der Euphrat, sowie Bambyke, Beroia und He-
rakleia, Kleinstädte die einst von dem Tyrannen Dionysios, dem Sohn des
Herakleon, beherrscht wurden (Herakleia ist zwanzig Stadien von dem
12 Heiligtum der Athena Kyrrhestis entfernt); dann das Kyrrhestische bis zur 8
Antiochis.

Im Norden liegen in der Nähe das Amanos-Gebirge und Kommagene; an
sie stößt das Kyrrhestische, das sich bis hierher erstreckt. Dort ist die Stadt
Gindaros, die Burg des Kyrrhestischen und ein von der Natur dazu geschaf-
16 fenes Räubernest, und in der Nähe ein sogenanntes Herakleshеiligtum; in
dieser Gegend wurde Pakoros, der älteste von den Söhnen des Parthers,
von Ventidius getötet, als er gegen Syrien gezogen war. An Gindaros stößt

ἐρυμνὸν κατὰ τὴν ὑπέρθεσιν τοῦ Ἀμανοῦ τὴν ἐκ τῶν Ἀμανίδων πυλῶν εἰς
20 τὴν Συρίαν κείμενον. ὑποπίπτει μὲν οὖν ταῖς Πάγραις τὸ τῶν Ἀντιοχέων
πεδίον, δι' οὗ ῥεῖ ὁ Ἄρκευθος ποταμὸς καὶ ὁ Ὀρόντης καὶ ὁ Λαβώτας· ἐν
δὲ τούτῳ ἐστὶ τῷ πεδίῳ καὶ ὁ Μελεάγρου χάραξ καὶ ὁ Οἰνοπάρας ποταμός,
ἐφ' ᾧ τὸν Βάλαν Ἀλέξανδρον μάχῃ νικήσας ὁ Φιλομήτωρ Πτολεμαῖος ἐτελεύ-
24 τησεν ἐκ τραύματος, ὑπέρκειται δ' αὐτῶν λόφος Τραπεζὼν ἀπὸ τῆς ὁμοιό-
τητος καλούμενος, ἐφ' ᾧ Οὐεντίδιος πρὸς Φρανικάτην τὸν Παρθυαίων στρα-
τηγὸν ἔσχε τὸν ἀγῶνα. πρὸς θαλάττῃ δὲ τούτων ἐστὶν ἡ Σελεύκεια καὶ ἡ
Πιερία — ὄρος συνεχὲς τῷ Ἀμανῷ — καὶ ἡ Ῥωσός, μεταξὺ Ἰσσοῦ καὶ Σελευ-
28 κείας ἱδρυμένη. ἐκαλεῖτο δ' ἡ Σελεύκεια πρότερον Ὕδατος ποταμοί· ἔρυμα
δέ ἐστιν ἀξιόλογον καὶ κρεῖττον βίας ἡ πόλις, διόπερ καὶ ἐλευθέραν
αὐτὴν ἔκρινε Πομπήϊος ἀποκλείσασ⟨αν⟩ Τιγράνην.

Πρὸς νότον δ' ἐστὶ τοῖς μὲν Ἀντιοχεῦσιν Ἀπάμεια ἐν μεσογαίᾳ κειμένη,
32 τοῖς δὲ Σελευκεῦσι τὸ Κάσιον ὄρος καὶ τὸ Ἀντικάσιον (ἔτι δὲ πρότερον
μετὰ τὴν Σελεύκειαν αἱ ἐκβολαὶ τοῦ Ὀρόντου, εἶτα τὸ Νυμφαῖον — σπή-
λαιόν τι ἱερόν —, εἶτα τὸ Κάσιον), ἐφεξῆς δὲ Ποσίδειον πολίχνη καὶ
Ἡράκλεια. εἶτα Λαοδίκεια ἐπὶ τῇ θαλάττῃ, κάλλιστα ἐκτισμένη καὶ εὐλί- 9
36 μενος πόλις χώραν τε ἔχουσα πολύοινον πρὸς τῇ ἄλλῃ εὐκαρπίᾳ. τοῖς μὲν
752C. οὖν | Ἀλεξανδρεῦσιν αὕτη παρέχει τὸ πλεῖστον τοῦ οἴνου, τὸ ὑπερκείμε-
νον τῆς πόλεως ὄρος πᾶν κατάμπελον ἔχουσα μέχρι σχεδόν τι τῶν κορυφῶν
(αἱ δὲ κορυφαὶ τῆς μὲν Λαοδικείας πολὺ ἄπωθέν εἰσιν, ἠρέμα ἀπ' αὐτῆς
4 καὶ κατ' ὀλίγον ἀνακλινόμεναι, τῆς Ἀπαμείας δ' ὑπερκύπτουσιν ἐπ' ὄρθιον
ὕψος ἀνατεταμέναι). ἐλύπησε δ' οὐ μετρίως Δολαβέλλας καταφυγὼν εἰς αὐ-
τὴν καὶ ἐμπολιορκηθεὶς ὑπὸ Κασσίου μέχρι θανάτου, συνδιαφθείρας ἑαυτῷ
καὶ τῆς πόλεως πολλὰ μέρη.

27 sq. *Eust. D. P. 381, 3 28 sq. *Eust. D. P. 381, 3–5 31 *Eust. D. P. 379, 30 sq.

19 Ἀμανοῦ EF: ἀμάνου BCD 21 λωβότας D 22 ἐστὶ post πεδίῳ collocat z
24 τραπεζῶν D 25 Φραναπάτην vel Φρανιπάτην A. Bürcklein (Quellen u. Chronologie der röm.-parthischen Feldzüge ... [Diss. Leipzig], Berlin 1879, 35[1]) 27 προσεχὲς Eust. Ἀμανῷ xyz: ἀμάνῳ BCDEF ῥωσσός z 29 κρεῖττον DEF (cf. Eust.): κρείττων BC ἡ πόλις om. E 30 add. A. Bouché-Leclercq (Hist. des Séleucides ..., Paris 1913, 444[1]) 34 Ποσίδειον EF: ποσείδιον cett. πολίχνιον E, πολύχνιον C
35 ⟨ἡ⟩ ἐπὶ? κάλλιστα om. E 36 χώραν Korais: χῶρον codd. 752 3 ἄποθέν F
5 δολοβέλλας xyz

Pagrai in der Antiochis, ein naturfester Ort, an dem Übergang des Amanos
20 gelegen der von dem Amanischen Tor nach Syrien führt. Unterhalb von Pagrai liegt die Ebene der Antiocheer, durch die der Arkeuthos, der Orontes und der Labotas fließen; in dieser Ebene ist auch die Meleagros-Schanze und der Fluss Oinoparas, an dessen Ufer Ptolemaios Philometor in einer
24 Schlacht Alexander Balas besiegt hat und dann an seiner Verwundung gestorben ist; darüber erhebt sich ein nach seiner Ähnlichkeit Trapezon ('Tafelberg') genannter Berg, auf dem die Schlacht zwischen Ventidius und Phranikates, dem Feldherren der Parther, stattgefunden hat. An der Mee-
28 resseite dieser Örtlichkeiten liegen Seleukeia, Pïerien – ein sich an den Amanos anschließendes Gebirge – und, zwischen Issos und Seleukeia gelegen, Rhosos. Seleukeia hieß früher Hydatos Potamoi ('Wasserflüsse'); die Stadt ist eine bedeutende natürliche Festung, die mit Gewalt nicht zu nehmen ist; daher hat Pompeius sie auch für frei erklärt als sie dem Tigranes ihre Tore verschlossen hatte.

32 Südlich von den Antiocheern liegt Apameia im Binnenland, südlich von den Seleukeern der Kasion- und der Antikasion-Berg (noch eher kommt nach Seleukeia die Orontesmündung, dann das Nymphaion – eine heilige Grotte –, dann der Kasion), anschließend die Kleinstadt Posideion und
36 Herakleia. Dann Laodikeia am Meer, eine herrlich angelegte Stadt mit gu- 9
tem Hafen und mit Land das abgesehen von seinem übrigen Fruchtsegen
752 reich an Wein ist. Den Alexandrinern jedenfalls liefert sie weitaus den meisten Wein; das Gebirge das sich über ihr erhebt, ist ja ganz und gar bis fast an die Gipfel mit Reben bedeckt (die Gipfel sind von Laodikeia weit ent-
4 fernt, da sie von der Stadt an sanft und allmählich ansteigen; über Apameia dagegen ragen sie zu steiler Höhe aufgetürmt empor). Kein geringes Elend hat ihr Dolabella gebracht als er in ihr seine Zuflucht genommen hatte und von Cassius bis zum Tode belagert wurde, wobei er auch viele Teile der Stadt mit in sein Verderben riss.

8 Ἡ δ' Ἀπάμεια καὶ πόλιν ἔχει τὸ πλέον εὐερκῆ· λόφος γάρ ἐστιν ἐν 10
πεδίῳ κοίλῳ τετειχισμένος καλῶς, ὃν ποιεῖ χερρονησίζοντα ὁ Ὀρόντης
εἰς λίμνην περικειμένην μεγάλην καὶ ἕλη πλατέα λειμῶνάς τε βουβότους
καὶ ἱπποβότους διαχεόμενος ὑπερβάλλοντας τὸ μέγεθος. ἥ τε δὴ πόλις
12 οὕτως ἀσφαλῶς κεῖται — καὶ δὴ καὶ Χερρόνησος ἐκλήθη διὰ τὸ συμβεβη-
κός — καὶ χώρας εὐπορεῖ παμπόλλης εὐδαίμονος, δι' ἧς ὁ Ὀρόντης ῥεῖ, καὶ
περιπόλια συχνὰ ἐν ταύτῃ. ἐνταῦθα δὲ καὶ ὁ Νικάτωρ Σέλευκος τοὺς πεν-
τακοσίους ἐλέφαντας ἔτρεφε καὶ τὸ πλέον τῆς στρατιᾶς καὶ οἱ ὕστερον
16 βασιλεῖς (ἐκαλεῖτο δὲ καὶ Πέλλα ποτὲ ὑπὸ τῶν πρώτων Μακεδόνων διὰ τὸ
τοὺς πλείστους τῶν Μακεδόνων ἐνταῦθα οἰκῆσαι τῶν στρατευομένων, τὴν
δὲ Πέλλαν ὥσπερ μητρόπολιν γεγονέναι τῶν Μακεδόνων, τὴν Φιλίππου καὶ
Ἀλεξάνδρου πατρίδα). ἐνταῦθα δὲ καὶ τὸ λογιστήριον τὸ στρατιωτικὸν καὶ
20 τὸ ἱπποτρόφιον — θήλειαι μὲν ἵπποι βασιλικαὶ πλείους τῶν τρισμυρίων,
ὀχεῖα δὲ τούτων τριακόσια —, ἐνταῦθα δὲ καὶ πωλοδάμναι καὶ ὁπλομάχοι
καὶ ὅσοι παιδευταὶ τῶν πολεμικῶν ἐμισθοδοτοῦντο.

Δηλοῖ δὲ τὴν δύναμιν ταύτην ἥ τε τοῦ Τρύφωνος (ἐπικληθέντος Διο-
24 δότου) παραύξησις καὶ ἐπίθεσις τῇ βασιλείᾳ τῶν Σύρων ἐντεῦθεν ὁρμη-
θέντος· ἐγεγένητο μὲν γὰρ ἐν Κασιανοῖς, φρουρίῳ τινὶ τῆς Ἀπαμέων γῆς,
τραφεὶς δ' ἐν τῇ Ἀπαμείᾳ καὶ συσταθεὶς τῷ βασιλεῖ καὶ τοῖς περὶ αὐτόν,
ἐπειδὴ νεωτερίζειν ὥρμησεν, ἐκ τῆς πόλεως ταύτης ἔσχε τὰς ἀφορμὰς καὶ
28 τῶν περιοικίδων, Λαρίσης τε καὶ τῶν Κασιανῶν καὶ Μεγάρων καὶ Ἀπολλω-
νίας καὶ ἄλλων τοιούτων, αἳ συνετέλουν εἰς τὴν Ἀπάμειαν ἅπασαι. ἐκεῖ-
νός τε δὴ βασιλεὺς ἐκ τῆσδε τῆς χώρας ἀνεδείχθη καὶ ἀντέσχε πολὺν
χρόνον Βάσσος τε Καικίλιος μετὰ δυεῖν ταγμάτων ἀποστήσας τὴν Ἀπάμειαν

8 ⟨ἀκρό⟩πολιν dubitanter Korais, confidenter Groskurd 9 εφην pro ποιεῖ P χερ-ρονησιάζοντα E 10 εἰς λίμνην περικειμένην μεγάλην Letronne: καὶ λίμνη περικειμένη μεγάλη codd.; κατὰ λίμνην περικειμένην μεγάλην Kramer, καὶ λίμνην παρακειμένην μεγάλην Niese (1878, XIV) εἰς pro καὶ Casaubonus (cf. ad 11) και λειμωνα[ς pro λειμῶνάς τε P; κατὰ λειμῶνας Biffi 11 διαχεόμενος Letronne: -ομένους BCE, -ομένοις DF -ομενα P; -ομένη Casaubonus (cf. ad 10) ϋπερβαλλοντα P 12 οὕτως om. P 14 περιπόλια Korais: -πολεῖ codd. αὐτῇ? 16 {καὶ} Korais ποτὲ om. E πρώτων om. E, πρὶν X 20 ἱπποτροφίον F, ἱπποφόρβιον X; ἱπποτροφεῖον Meineke 21 κηλώνια pro ὀχεῖα E 25 ἐγεγέννητο Korais Κασιανοῖς Groskurd (*Casianis* iam Heresbach): κοσιάνοις F, κοσιανοῖς cett. 28 λαρίσσης D^{s} Κασιανῶν B^{i}: κασσ- cett.; Κοσ- Korais (cf. 25) 30 ἐκ om. q ἀντέσχε D^{pc}: ἀνέσχεν F, ἀνέσχε cett. 31 τε Korais: δὲ codd. Καικίλιος Hopper: καὶ κίλιος BF, κεκίλιος cett.

8 Apameia hat erstens eine größtenteils wohlbefestigte Stadt: es ist ein in ei- 10
ner von Bergen umschlossenen Ebene aufragender gut ummauerter Hügel,
zu einer Halbinsel gemacht vom Orontes, der in einen großen ringsum lie-
genden See, ausgedehnte Sümpfe und Rinder- und Pferdeweiden gewaltigen
12 Umfangs austritt. Einmal also hat die Stadt diese sichere Lage – sie wurde
denn auch wegen dieses Umstands Cherronesos ('Halbinsel') genannt –,
zum anderen ist sie reich an sehr ausgedehntem gesegneten Land, durch das
der Orontes fließt und in dem zahlreiche Umwohnerorte liegen. Dort haben
denn auch Seleukos Nikator und die späteren Könige die fünfhundert Ele-
16 fanten sowie den größten Teil des Heeres unterhalten (die Stadt wurde einst
von den ersten Makedonen auch Pella genannt, weil die meisten der an dem
Feldzug teilnehmenden Makedonen dort wohnten, und Pella, Philippos'
und Alexanders Heimat, gleichsam die Hauptstadt der Makedonen war).
20 Hier befanden sich auch das militärische Verwaltungszentrum und das Ge-
stüt – mehr als dreißigtausend königliche Stuten und dreihundert Hengste
um sie zu decken –, hier auch Fohlenbändiger, Fechtmeister und alle besol-
deten Kampfausbilder.

Diese große Bedeutung zeigt sich erstens in dem Aufstieg und dem An-
24 griff auf den syrischen Thron des Tryphon (zubenannt Diodotos), der hier
seine Basis hatte; er stammte aus Kasiana, einer Festung im Land der Apa-
meer, und war in Apameia aufgewachsen und in den Kreis des Königs einge-
führt worden; als er sich zu einem Umsturz anschickte, bekam er die Mittel
28 dazu aus dieser Stadt und den Umwohnerorten Larisa, Kasiana, Megara,
Apollonia und anderen ähnlichen, die sämtlich zu Apameia gehörten: so
wurde er von diesem Lande aus zum König ausgerufen und konnte sich lan-
ge Zeit behaupten. Ferner hat Caecilius Bassus, als er mit zwei Legionen

32 διεκαρτέρησε τοσοῦτον χρόνον πολιορκούμενος ὑπὸ δυεῖν στρατοπέδων μεγάλων Ῥωμαϊκῶν ὥστ' οὐ πρότερον εἰς τὴν ἐξουσίαν ἧκε πρὶν ἑκὼν ἐνεχείρισεν ἑαυτὸν ἐφ' οἷς ἐβεβούλητο· | καὶ γὰρ τὴν στρατιὰν ἀπέτρεφεν ἡ χώρα (753C.) καὶ συμμάχων εὐπόρει τῶν πλησίον φυλάρχων ἐχόντων εὐερκῆ χωρία· ὧν ἐστι καὶ ἡ Λυσιάς, ὑπὲρ τῆς λίμνης κειμένη τῆς πρὸς Ἀπαμείᾳ, καὶ Ἀρέ-
4 θουσα ἡ Σαμψικεράμου καὶ Ἰαμβλίχου τοῦ ἐκείνου παιδός, φυλάρχων τοῦ Ἐμισηνῶν ἔθνους· οὐ πόρρω δ' οὐδ' Ἡλίου πόλις καὶ Χαλκὶς ἡ ὑπὸ Πτολεμαίῳ τῷ Μενναίου τῷ τὸν Μασσύαν κατέχοντι καὶ τὴν Ἰτουραίων ὀρεινήν. τῶν δὲ συμμαχούντων τῷ Βάσσῳ ἦν καὶ Ἀλχαίδαμνος ὁ τῶν Ῥαμβαίων
8 βασιλεὺς τῶν ἐντὸς τοῦ Εὐφράτου νομάδων· ἦν δὲ φίλος Ῥωμαίων, ἀδικεῖσθαι δὲ νομίσας ὑπὸ τῶν ἡγεμόνων ἐκπεσὼν εἰς τὴν Μεσοποταμίαν ἐμισθοφόρει τότε τῷ Βάσσῳ.

Ἐντεῦθεν δ' ἐστὶ Ποσειδώνιος ὁ Στωϊκός, ἀνὴρ τῶν καθ' ἡμᾶς φιλοσό-
12 φων πολυμαθέστατος.

11 Ὅμορος δ' ἐστὶ τῇ Ἀπαμέων πρὸς ἕω μὲν ἡ τῶν Φυλάρχων Ἀράβων, καλουμένη Παραποταμία, καὶ ἡ Χαλκιδικὴ ἀπὸ τοῦ Μασσύου καθήκουσα καὶ πᾶσα * * *. ἡ ⟨δὲ⟩ πρὸς νότον τοῖς Ἀπαμεῦσιν ἀνδρῶν σκηνιτῶν τὸ πλέον·
16 παραπλήσιοι δ' εἰσὶ τοῖς ἐν τῇ Μεσοποταμίᾳ νομάσιν, αἰεὶ δ' οἱ πλησιαίτεροι τοῖς Σύροις ἡμερώτεροι καὶ ἧττον Ἄραβες καὶ σκηνῖται, ἡγεμονίας ἔχοντες συντεταγμένας μᾶλλον, καθάπερ ἡ Σαμψικεράμου καὶ ἡ Γαμβάρου καὶ ἡ Θεμέλλα καὶ ἄλλων τοιούτων.

32 sq. ὑπὸ δυεῖν μεγάλων ταγμάτων ῥωμαϊκῶν E **33 sq.** ἐνεχείρισεν D^{pc}EF: -ρησεν BC, ἀν- D^{ac} **753 2** ηὐπόρει Tzschucke **3** πρὸς ⟨τῇ⟩? ἀπάμειαν BE **3 sq.** Ἀρέθουσα E: ἀρεθούσῃ cett. (unde καὶ ante 4 ἡ add. BC) **4** σαμψα- F **5** αἰμισηνῶν F; ἐμεσηνῶν ed. pr. οὐδ' ἡ pro οὐδ' E Ἡλίου πόλις scripsi (vide 802, 5 sq. comm.): ἡλιόπολις E, ἡλιούπολις cett. **6** μεναίου F μασύαν D τῶν pro τὴν BC; τὴν τῶν Korais **7** ἀρχαίδαμνος D^{s} Ἀράβων pro Ῥαμβαίων? Falconer **11** Ποσειδώνιος D: ποσιδώνιος F, ποσειδόνιος BC **14** Μασσύου CDE: μασσίου B^{pc}F, μασσόου B^{ac} **15** lacunam indicavi et coniunctionem addidi; παρήκουσα pro πᾶσα ἡ Madvig (Adv. 1, 562 sq.) ἡ om. et ạυτου post νότον add. P τοῖς om. Madvig (per errorem, ut vid.) σκηνητῶν D^{pc}E **16** νομάσιν F: νομᾶσιν BC, νομεῦσι D ἀεὶ q, at vide 12, 8 comm. **17** {καὶ σκηνῖται} Retsö (354. 363[166]); at vide comm. **18** Σαμψικεράμου qz: σαμσι- BCDF Ἀρέθουσα ante καὶ add. codd.: del. Kramer **19** {καὶ} ἡ Casaubonus, {καὶ ἡ} Korais (uterque 18 Ἀρέθουσα recipiens) Θεμέλλα scripsi: θέμελλα codd.

32 Apameia losgelöst hatte, einer Belagerung durch zwei große römische Armeen so lange standgehalten dass er nicht eher in ihre Gewalt kam als bis er (753) sich freiwillig unter den von ihm gewünschten Bedingungen ergab: denn das Land gab seiner Armee den Unterhalt, und Verbündete hatte er reichlich an den benachbarten Stammeshäuptern, die gut befestigte Orte besaßen; zu diesen gehören auch Lysias, das oberhalb des Sees bei Apameia liegt, und
4 Arethusa, der Sitz des Sampsikeramos und seines Sohnes Iamblichos, der Stammeshäupter der Emisener; nicht weit sind auch Heliu Polis und Chalkis, das Ptolemaios dem Sohn des Mennaios untersteht, der den Massyas und das Bergland der Ituräer in Besitz hat. Zu den Verbündeten des Bassus
8 gehörte auch Alchaidamnos, der König der Rhambäer, der Nomaden auf dieser Seite des Euphrats; er war ein Freund der Römer, aber als er sich von den Statthaltern ungerecht behandelt fühlte, hatte er sich nach Mesopotamien abgesetzt und führte damals in Bassus' Dienst ein Söldnerheer.

12 Von dort stammt der Stoiker Poseidonios, der gelehrteste der Philosophen unserer Zeit.

11 An das Land der Apameer grenzt im Osten das der arabischen Phylarcher, Parapotamien ('Stromland') genannt, und das Chalkidische, das vom Massyas herabreicht und ganz * * *. Das Land südlich der Apameer haben
16 hauptsächlich Zeltbewohner in Besitz; sie sind den Nomaden in Mesopotamien ähnlich, doch je näher sie den Syrern kommen, um so weniger wild, arabisch und zeltbewohnend sind sie; das kommt daher dass sie geordnetere Herrschaften haben, wie die des Sampsikeramos, des Gambaros, des Themellas und anderer solcher Herrscher.

20 Τοιαύτη μὲν ἡ μεσόγαια τῆς Σελευκίδος. ὁ δὲ παράπλους ὁ λοιπὸς ἀπὸ 12
τῆς Λαοδικείας ἐστὶ τοιοῦτος· τῇ γὰρ Λαοδικείᾳ πλησιάζει πολίχνια τό
τε Ποσίδειον καὶ τὸ Ἡράκλειον καὶ τὰ Γάβαλα· εἶτ' ἤδη ἡ τῶν Ἀραδίων
περαία, Πάλτος καὶ Βαλαναία καὶ Κάρανος, τὸ ἐπίνειον τῆς Ἀράδου λιμέ-
24 νιον ἔχον· εἶτ' Ἔνυδρα καὶ Μάραθος, πόλις Φοινίκων ἀρχαία κατεσπασμένη
(τὴν δὲ χώραν Ἀράδιοι κατεκληρούχησαν καὶ τὰ Ξίμυρα, τὸ ἐφεξῆς χωρίον)·
τούτοις δ' ἡ Ὀρθωσία συνεχής ἐστι καὶ ὁ Ἐλεύθερος ὁ πλησίον ποταμός,
ὅνπερ ὅριον ποιοῦνταί τινες τῆς Σελευκίδος πρὸς τὴν Φοινίκην καὶ τὴν
28 Κοίλην Συρίαν.

Πρόκειται δ' ἡ Ἄραδος ῥαχιώδους τινὸς καὶ ἀλιμένου παραλίας μεταξὺ 13
τοῦ τε ἐπινείου αὐτῆς μάλιστα καὶ τῆς Μαράθου, διέχουσα τῆς γῆς στα-
δίους εἴκοσιν. ἔστι δὲ πέτρα περίκλυστος ὅσον ἑπτὰ τὸν κύκλον σταδίων,
32 πλήρης κατοικίας· τοσαύτῃ δ' εὐανδρίᾳ κέχρηται μέχρι καὶ νῦν ὥστε πολυ-
ορόφους οἰκοῦσι τὰς οἰκίας. ἔκτισαν δ' αὐτὴν φυγάδες, ὥς φασιν, ἐκ Σι-
δῶνος. τὴν δ' ὑδρείαν τὴν μὲν ἐκ τῶν ὀμβρίων καὶ λακκαίων ὑδάτων ἔχουσι,
754C. τὴν δ' ἐκ τῆς περαίας· | ἐν δὲ τοῖς πολέμοις ἐκ τοῦ πόρου μικρὸν πρὸ τῆς
πόλεως ὑδρεύονται πηγὴν ἔχοντος ἀφθόνου ὕδατος, εἰς ἣν περικαταστρέφε-
ται κλίβανος καθεθεὶς ἀπὸ τοῦ ὑδρευομένου σκάφους μολιβοῦς, εὐρύστομος,
4 εἰς πυθμένα συνηγμένος στενὸν ἔχοντα τρῆμα μέτριον· τῷ δὲ πυθμένι πε-
ριέσφιγκται σωλὴν σκύτινος — εἴτε ἄσκωμα δεῖ λέγειν — ὁ δεχόμενος τὸ
ἀναθλιβόμενον ἐκ τῆς πηγῆς διὰ τοῦ κλιβάνου ὕδωρ· τὸ μὲν οὖν πρῶτον
ἀναθλιβὲν τὸ τῆς θαλάττης ἐστί, περιμείναντες δὲ τὴν τοῦ καθαροῦ καὶ
8 ποτίμου ὕδατος ῥύσιν ὑπολαμβάνουσιν εἰς ἀγγεῖα παρεσκευασμένα ὅσον ἂν
δέῃ καὶ πορθμεύουσιν εἰς τὴν πόλιν.

Τὸ παλαιὸν μὲν οὖν οἱ Ἀράδιοι καθ' αὑτοὺς ἐβασιλεύοντο παραπλησίως 14
ὥσπερ καὶ τῶν ἄλλων ἑκάστη πόλεων τῶν Φοινικίδων· ἔπειτα τὰ μὲν οἱ

22 St. B. 191, 20

20 μεσόγαια D: μεσογαῖα F, μεσογαία BCE 22 Ποσίδειον scripsi (cf. 632, 12 comm.): ποσίδιον F, ποσείδειον E, ποσείδιον cett. 23 περαία Letronne: παλαιά codd.; παραλία Casaubonus βαλάναια F; Βαλανέα? Κάρνος Berkelius (621[21]) 24 ἔχων F[ac] 25 καιτατα[ ]μυ.. P, unde κᾆτα τὰ Σίμυρα Aly (1956, 208) Σίμυρα Casaubonus; Ζίμυρα? 26 Ὀρθωσία E: ὀρθωσιὰς BDF, ὀρθοσιὰς C 27 τῆς q: om. BCDEF necnon, ut vid., P 30 μαραθοῦ F 32 κατοικιῶν Casaubonus 33 φυγάδες post φασιν collocat D 33 sq. Σιδόνος Korais 754 2 ἔχοντος Casaubonus: -τες codd. 5 -σφικται B

20 So beschaffen ist das Binnenland der Seleukis. Die übrige Küste von Lao- 12
dikeia an ist folgendermaßen beschaffen: Laodikeia benachbart sind die
Städtchen Posideion, Herakleion und Gabala; dann kommt bereits die Pe-
raia der Aradier: Paltos, Balanaia und Karanos, der Hafenplatz von Arados
24 mit einem kleinen Hafen; dann Enhydra und Marathos, eine alte Stadt der
Phönizier, die niedergerissen ist (das Land haben die Aradier an Siedler ver-
teilt, ebenso wie Ximyra, den nächsten Ort); an sie schließt sich Orthosia an
und der nahe Fluss Eleutheros, den Manche zur Grenze der Seleukis mit
28 Phönizien und Koilesyrien machen.

Arados liegt vor einer brandungsreichen und hafenlosen Küste genau 13
zwischen seinem Hafenplatz und Marathos, zwanzig Stadien vom Land
entfernt. Es ist ein vom Meer umspülter Felsen mit einem Umkreis von etwa
32 sieben Stadien, voll besetzt mit Wohnbauten: die Stadt erfreut sich noch bis
heute einer so großen Bevölkerung dass ihre Häuser viele Stockwerke ha-
ben. Sie wurde, wie man sagt, von Flüchtlingen aus Sidon gegründet. Ihre
Wasserversorgung haben die Leute teils durch Regen- und Grubenwasser,
754 teils von der Peraia; in Kriegszeiten holen sie sich Wasser aus dem Meer
kurz vor der Stadt, wo sich eine reiche Wasserquelle befindet: um diese wird
ein Trichter gestülpt, den man von dem Wasserversorgungsboot hinablässt;
4 er ist aus Blei, hat eine weite Öffnung und verengert sich zu einem schmalen
Boden mit einem mäßig großen Loch; um den Boden ist ein ledernes Rohr
– oder soll man sagen 'Schlauch'? – geschnürt, das das aus der Quelle
durch den Trichter emporgepresste Wasser aufnimmt; das zuerst emporge-
8 presste ist das Meerwasser, aber sie warten den Strom des reinen, trinkbaren
Wassers ab, fangen dann in bereitstehenden Gefäßen soviel auf wie sie brau-
chen und fahren es in die Stadt.

In alter Zeit hatten die Aradier ebenso wie jede einzelne der übrigen phö- 14
12 nizischen Städte ihre eigenen Könige; dann aber haben teils die Perser, teils

12 Πέρσαι, τὰ δ' οἱ Μακεδόνες, τὰ δὲ νῦν Ῥωμαῖοι μετέθηκαν εἰς τὴν παροῦσαν
τάξιν. οἱ δ' οὖν Ἀράδιοι μετὰ τῶν ἄλλων Φοινίκων ὑπήκουον τῶν Συριακῶν
βασιλέων ἅτε φίλων. ἔπειτα στασιασάντων ἀδελφῶν δυεῖν, τοῦ τε Καλλινί-
κου Σελεύκου καὶ Ἀντιόχου τοῦ Ἱέρακος προσαγορευθέντος, προσθέμενοι τῷ
16 Καλλινίκῳ ποιοῦνται συμβάσεις ὥστ' ἐξεῖναι δέχεσθαι τοὺς καταφεύγοντας
ἐκ τῆς βασιλείας παρ' αὐτοὺς καὶ μὴ ἐκδιδόναι ἄκοντας, μὴ μέντοι μηδ'
ἐκπλεῖν ἐᾶν ἄνευ τοῦ ἐπιτρέψαι βασιλέα. συνέβη δὲ ἐκ τούτου μεγάλα
αὐτοῖς πλεονεκτήματα· οἱ γὰρ καταφεύγοντες ἐπ' αὐτοὺς οὐχ οἱ τυχόντες
20 ἦσαν, ἀλλ' οἱ τὰ μέγιστα πεπιστευμένοι καὶ περὶ τῶν μεγίστων δεδιότες,
ἐπιξενούμενοι δ' αὐτοῖς εὐεργέτας ἡγοῦντο καὶ σωτῆρας τοὺς ὑποδεξαμένους
ἀπεμνημόνευόν τε τὴν χάριν, καὶ μάλιστα ἐπανελθόντες εἰς τὴν οἰκείαν·
ὥστ' ἐκ τούτου χώραν τ' ἐκτήσαντο τῆς περαίας πολλήν — ἧς τὴν πλείστην
24 ἔχουσι καὶ νῦν — καὶ τἆλλα εὐθήνουν. προσέθεσαν δὲ τῇ εὐτυχίᾳ ταύτῃ
καὶ πρόνοιαν καὶ φιλοπονίαν πρὸς τὴν θαλαττουργίαν· ὁρῶντές τε τοὺς
γειτονεύοντας Κίλικας τὰ πειρατήρια συνισταμένους οὐδ' ἅπαξ ἐκοινώνουν
αὐτοῖς τῆς τοιαύτης ἐπιτηδεύσεως.

28 Μετὰ δὲ Ὀρθωσίαν ἐστὶ καὶ τὸν Ἐλεύθερον Τρίπολις, ἀπὸ τοῦ συμβεβη- **15**
κότος τὴν ἐπίκλησιν εἰληφυῖα· τριῶν γάρ ἐστι πόλεων κτίσμα, Τύρου, Σι-
δῶνος, Ἀράδου. τῇ δὲ Τριπόλει συνεχές ἐστι τὸ Θεοῦ πρόσωπον, εἰς ὃ τε-
λευτᾷ ὁ Λίβανος τὸ ὄρος· μεταξὺ δὲ Τριήρης χωρίον τι.

32 Δύο δὲ ταῦτ' ἐστὶν ὄρη τὰ ποιοῦντα τὴν Κοίλην καλουμένην Συρίαν ὡς **16**
ἂν παράλληλα, ὅ τε Λίβανος καὶ ὁ Ἀντιλίβανος, μικρὸν ὕπερθεν τῆς θα-
755C. λάττης ἀρχόμενα ἄμφω, | ὁ μὲν Λίβανος τῆς κατὰ Τρίπολιν, κατὰ τὸ Θεοῦ
μάλιστα πρόσωπον, ὁ δ' Ἀντιλίβανος τῆς κατὰ Σιδῶνα· τελευτῶσι δ' ἐγγὺς
τῶν Ἀραβίων ὀρῶν τῶν ὑπὲρ τῆς Δαμασκηνῆς καὶ τῶν Τραχώνων ἐκεῖ λεγο-
4 μένων εἰς ἄλλα ὄρη γεώλοφα καὶ καλλίκαρπα. ἀπολείπουσι δὲ μεταξὺ πεδίον

754 **14–24** *Eust. D. P. 314, 25–32 **32–755, 4** Eust. D. P. 373, 27

17 ἐκ τοῦ βασιλέως Eust. **18** ἐκπλέειν Eust. τὸν ante βασιλέα add. Eust. **21** ἐπιξενούμενοι C^{s} (ut vid.) D^{pc}F: -νόμενοι BD^{ac}, -νώμενοι C^{i} **22** οἰκείαν xyz: οἰ-κίαν BCDF **25** τε z: γε BCDF **26** ἐκοινώνησαν Korais **29 sq.** Σιδῶνος DEF: -δόνος BC **30** τοῦ post τὸ add. codd.: delevi **32** Συρίαν B^{pc}EF: γωνίαν B^{ac} CD, γονίαν F^{mg} **33 sq.** θαλάσσης Eust. 755 **1** καὶ pro κατὰ posteriore Tzschucke (in h hoc legi falso asseverans) τοῦ post τὸ add. codd.: delevi **2** μάλιστα πρόσωπον F (μάλλιστα scribens): πρόσωπον μάλιστα cett. Σιδῶνα E^{pc}, Eust.: σινδ- E^{ac} (ut vid.), σιδῶνα (sic) D, σιδόνα cett. πως post ἐγγύς add. q **3** χώρας ante καὶ add. Eust. Τραχώνων Tzschucke: τραχανῶν codd. **4** γεώλοφα E: γεωλόφια BCD, γαιολόφια F

die Makedonen, teils jetzt die Römer die Verhältnisse zu der heutigen Ord-
nung umgestaltet. Die Aradier jedenfalls waren zusammen mit den übrigen
Phöniziern den syrischen Königen als Freunden untertan. Als dann zwei
Brüder, Seleukos Kallinikos und Antiochos, genannt Hierax, um die Herr-
16 schaft stritten, schlossen sie sich Kallinikos an und vereinbarten dass es ih-
nen erlaubt sei die sich aus dem Königreich zu ihnen Flüchtenden aufzuneh-
men und nicht gegen ihren Willen auszuliefern; doch durften sie sie auch
nicht ohne Erlaubnis des Königs ausfahren lassen. Daraus ergab sich für sie
großer Gewinn: waren doch die die bei ihnen ihre Zuflucht suchten keine
20 unbedeutenden Leute sondern die mit dem Wichtigsten Betrauten und um
das Wichtigste Bangenden, und als diese bei ihnen Gastfreiheit fanden, be-
trachteten sie die die sie aufgenommen hatten als ihre Wohltäter und Retter
und revanchierten sich dafür, besonders nach ihrer Rückkehr in ihre Hei-
mat; so haben sie dadurch viel Land auf der gegenüberliegenden Küste er-
24 worben – das sie größtenteils noch heute besitzen – und florierten sie auch
sonst. Dieses Glück ergänzten sie mit Vorsorge und Fleiß im Seegewerbe;
und obwohl sie sahen wie die benachbarten Kiliker die Seeräuberei organi-
sierten, haben sie sich niemals mit ihnen in eine solche Tätigkeit eingelassen.

28 Nach Orthosia und dem Eleutheros kommt Tripolis ('Dreierstadt'), das **15**
seinen Namen von dem Umstand bekommen hat dass es von drei Städten,
Tyros, Sidon und Arados, gegründet worden ist. An Tripolis schließt sich
das Gottesantlitz an, in das das Libanos-Gebirge ausläuft; dazwischen liegt
ein Ort Triëres.

32 Es sind dies zwei Gebirge, die dadurch dass sie parallel laufen das soge- **16**
nannte Koilesyrien bilden: der Libanos und der Antilibanos. Beide beginnen
755 etwas oberhalb des Meeres, der Libanos am Meer bei Tripolis, genau an
dem Gottesantlitz, der Antilibanos am Meer bei Sidon; sie enden in der Nä-
he der Arabischen Berge oberhalb des Damaskenischen und der dort so ge-
4 nannten Trachonen, wo sie in andere, hügelige und fruchtbare Berge über-

κοῖλον, πλάτος μὲν τὸ ἐπὶ τῇ θαλάττῃ διακοσίων σταδίων, μῆκος δὲ τὸ
ἀπὸ τῆς θαλάττης εἰς τὴν μεσόγαιαν ὁμοῦ τι διπλάσιον. διαρρεῖται δὲ
ποταμοῖς ἄρδουσι χώραν εὐδαίμονα καὶ πάμφορον, μεγίστῳ δὲ τῷ Ἰορδάνῃ.
8 ἔχει δὲ καὶ λίμνην, ἣ φέρει τὴν ἀρωματῖτιν σχοῖνον καὶ κάλαμον, ὣς δ'
αὔτως καὶ ἕλη (καλεῖται δ' ἡ λίμνη Γεννησαρῖτις)· φέρει δὲ καὶ βάλσαμον.
τῶν δὲ ποταμῶν ὁ μὲν Χρυσορρόας ἀρξάμενος ἀπὸ τῆς Δαμασκηνῶν πόλεως
καὶ χώρας εἰς τὰς ὀχετείας ἀναλίσκεται σχεδόν τι· πολλὴν γὰρ ἐπάρδει
12 καὶ βαθεῖαν σφόδρα· τὸν δὲ Λύκον καὶ τὸν Ἰορδάνην ἀναπλέουσι φορτίοις,
Ἀράδιοι δὲ μάλιστα.

Τῶν δὲ πεδίων τὸ μὲν πρῶτον, τὸ ἀπὸ τῆς θαλάττης, Μάκρας καλεῖται 17
καὶ Μάκρα πεδίον. ἐν τούτῳ δὲ Ποσειδώνιος ἱστορεῖ (F 244 Ed.-Kidd) τὸν
16 δράκοντα πεπτωκότα ὁραθῆναι νεκρόν, μῆκος μὲν σχεδόν τι καὶ πλεθριαῖον,
πάχος δ' ὥσθ' ἱππέας ἑκατέρωθεν παραστάντας ἀλλήλους μὴ καθορᾶν, χάσμα
δὲ ὥστ' ἔφιππον δέξασθαι, τῆς δὲ φολίδος λεπίδα ἑκάστην ὑπεραίρουσαν
θυρεοῦ.

20 Μετὰ δὲ τὸν Μάκραν ἐστὶν ὁ Μασσύας ἔχων τινὰ καὶ ὀρεινά, ἐν οἷς ἡ 18
Χαλκίς, ὥσπερ ἀκρόπολις τοῦ Μασσύου· ἀρχὴ δ' αὐτοῦ Λαοδίκεια ἡ πρὸς
Λιβάνῳ. τὰ μὲν οὖν ὀρεινὰ ἔχουσι πάντα Ἰτουραῖοί τε καὶ Ἄραβες, κα-
κοῦργοι πάντες (οἱ δ' ἐν τοῖς πεδίοις γεωργοί· κακούμενοι δὲ ὑπ' ἐκείνων
24 ἄλλοτε ἄλλης βοηθείας δέονται). ὁρμητηρίοις δ' ἐρυμνοῖς χρῶνται, καθάπερ
οἱ τὸν Λίβανον ἔχοντες ἄνω μὲν ἐν τῷ ὄρει Σιννᾶν καὶ Βόρραμα καὶ ἄλλα
τοιαῦτα ἔχουσι τείχη, κάτω δὲ Βότρυν καὶ Γίγαρτον καὶ τὰ ἐπὶ τῆς θα-

5 τῇ om. E θαλάσσῃ B **6** τῆς om. E ἐς q μεσόγαιαν q: μεσογαίαν BEF, μεσογαῖαν CD σχεδόν pro ὁμοῦ E **8** σχῖνον Xylander **8 sq.** ὣς δ' αὔτως ed. pr. (recte, cf. Schwyzer 2, 577): ὡς δ' αὔτως codd.; ὧς δ' αὔτως Casaubonus, ὥς δ' αὔτως Meineke **9** {καλεῖται — Γεννησαρῖτις}? Rey-Coquais (MUB 40, 1964, 308) ἡ post λίμνη add. BCF Γεννησαρῖτις DF: γεννησαρίτις BC, γενησαρίτις E {φέρει — βάλσαμον}? Rey-Coquais **10** Χρυσορρόας D^{pc}E: -ορόας cett. ὁ ante ἀρξάμενος add. B **12** τὸν δὲ Ἄξιον καὶ τὸν Εὐφράτην R. Dussaud (Topographie hist. de la Syrie antique et médiévale, Paris 1927, 432), τὸν δὲ Ἄξιον τὸν καὶ Ὀρόντην vel τὸν δὲ Ἄξιον ἢ καὶ Ὀρόντην Rey-Coquais (MUB 40, 1964, 309), τὸν δὲ Λεῦκον καὶ τὸν Ὀρόντην id. (MUB 41, 1965, 226 sqq.) φορτηγοῖς Hemsterhuis ms. **14** τῆς om. E **15** τε pro δὲ EF^{pc} **16** μὲν D: om. cett. {καὶ} Korais **18** φολίδος D^{pc}EX: φω- cett. **19** θυρεοῦ $B^{i}D^{pc}$E (cf. X): θυραι- cett. **20** καὶ om. E **22** τε om. D^{ac}E **25** βορραμὰ F

gehen. Zwischen sich lassen sie eine eingeschlossene Ebene, deren Breite am
Meer zweihundert Stadien und deren Länge vom Meer ins Binnenland etwa
das Doppelte beträgt. Sie wird von Flüssen durchströmt, die ein gesegnetes,
alles hervorbringendes Land bewässern und deren größter der Jordan ist.
8 Sie hat auch einen See, an dem die wohlriechende Binse und das wohlrie-
chende Schilf wächst, und auch Sümpfe (der See wird der Gennesaritische
genannt); auch bringt sie Balsam hervor. Von den Flüssen wird der Chrysor-
rhoas, der bei der Stadt und dem Land der Damaskener entspringt, fast
ganz für die Bewässerung verbraucht: tränkt er doch ein ausgedehntes Land
12 mit sehr tiefem Boden; der Lykos und der Jordan werden stromaufwärts mit
Fracht befahren, besonders von den Aradiern.

Von den Ebenen wird die erste, die an der Meeresseite, Makras oder 17
Ebene von Makras genannt. In ihr, so berichtet Poseidonios (F 244 Ed.-
16 Kidd), habe man die tote Riesenschlange liegen sehen, die nicht weniger als
fast ein Plethron lang war und so dick dass Reiter, die sich an ihre beiden
Seiten stellten, sich nicht sehen konnten; ihr aufgesperrtes Maul habe einen
Berittenen fassen können und jede einzelne Schuppe ihres Panzers sei grö-
ßer gewesen als ein Langschild.

20 Nach dem Makras kommt der Massyas, der auch ein paar gebirgige Teile 18
umfasst, in denen Chalkis, gleichsam die Burg des Massyas, liegt; seinen
Anfang bildet Laodikeia am Libanos. Die gebirgigen Teile werden sämtlich
von Ituräern und Arabern, Übeltätern allesamt, bewohnt (die Ebenen dage-
24 gen von Bauern, die, von jenen geplagt, bald diese, bald jene Hilfe brau-
chen). Sie haben naturfeste Stützpunkte, ebenso wie die Bewohner des Liba-
nos oben in den Bergen Sinna, Borrama und andere ähnliche Bollwerke ha-

λάττης σπήλαια καὶ τὸ ἐπὶ τῷ Θεοῦ προσώπῳ φρούριον ἐπιτεθέν, ἃ κατ-
28 έσπασε Πομπήϊος· ἀφ' ὧν τήν τε Βύβλον κατέτρεχον καὶ τὴν ἐφεξῆς ταύτῃ
Βηρυτόν, αἳ μεταξὺ κεῖνται Σιδῶνος καὶ τοῦ Θεοῦ προσώπου.

Ἡ μὲν οὖν Βύβλος, τὸ τοῦ Κινύρου βασίλειον, ἱερά ἐστι τοῦ Ἀδώνιδος
(ἣν τυραννουμένην ἠλευθέρωσε Πομπήϊος πελεκίσας ἐκεῖνον), κεῖται δ' ἐφ'
32 ὕψους τινὸς μικρὸν ἄπωθεν τῆς θαλάττης. εἶτα μετὰ ταύτην Ἄδωνις ποτα- 19
μὸς καὶ ὄρος Κλίμαξ καὶ Παλαίβυβλος. εἶθ' ὁ Λύκος ποταμὸς καὶ Βηρυτός·
756C. αὕτη δὲ κατεσπάσθη μὲν ὑπὸ | Τρύφωνος, ἀνελήφθη δὲ νῦν ὑπὸ Ῥωμαίων
δεξαμένη δύο τάγματα, ἃ ἵδρυσεν Ἀγρίππας ἐνταῦθα προσθεὶς καὶ τοῦ Μασ-
σύου πολλὴν μέχρι καὶ τῶν τοῦ Ὀρόντου πηγῶν, αἳ πλησίον τοῦ τε Λιβάνου
4 καὶ τοῦ Παραδείσου καὶ τοῦ Αἰγυπτίου τείχους περὶ τὴν Ἀπαμέων γῆν εἰσι.

Ταῦτα μὲν οὖν τὰ ἐπὶ θαλάττῃ. ὑπὲρ δὲ τοῦ Μασσύου ἐστὶν ὁ καλούμε- 20
νος Αὐλὼν βασιλικὸς καὶ ἡ Δαμασκηνὴ χώρα διαφερόντως ἐπαινουμένη·
ἔστι δὲ καὶ ἡ Δαμασκὸς πόλις ἀξιόλογος, σχεδόν τι καὶ ἐπιφανεστάτη τῶν
8 ταύτῃ κατὰ τὰ Περσικά· ὑπέρκεινται δ' αὐτῆς δύο λόφοι λεγόμενοι Τράχω-
νες. ἔπειτα πρὸς τὰ Ἀράβων μέρη (καὶ τῶν Ἰτουραίων ἀναμίξ) ὄρη δύσβατα,
ἐν οἷς καὶ σπήλαια βαθύστομα, ὧν ἓν καὶ τετρακισχιλίους ἀνθρώπους δέ-
ξασθαι δυνάμενον ἐν καταδρομαῖς, αἳ τοῖς Δαμασκηνοῖς γίνονται πολλα-
12 χόθεν. τὸ μέντοι πλέον τοὺς ἀπὸ τῆς Εὐδαίμονος Ἀραβίας ἐμπόρους λεη-
λατοῦσιν οἱ βάρβαροι (ἧττον δὲ συμβαίνει καταλυθέντων νυνὶ τῶν περὶ
Ζηνόδωρον λῃστῶν διὰ τὴν ἐκ τῶν Ῥωμαίων εὐνομίαν καὶ διὰ τὴν ἐκ τῶν
στρατιωτῶν ἀσφάλειαν τῶν ἐν τῇ Συρίᾳ τρεφομένων).

16 Ἅπασα μὲν οὖν ἡ ὑπὲρ τῆς Σελευκίδος ὡς ἐπὶ τὴν Αἴγυπτον καὶ τὴν 21
Ἀραβίαν ἀνίσχουσα χώρα Κοίλη Συρία καλεῖται, ἰδίως δ' ἡ τῷ Λιβάνῳ καὶ
τῷ Ἀντιλιβάνῳ ἀφωρισμένη· τῆς δὲ λοιπῆς ἡ μὲν ἀπὸ Ὀρθωσίας μέχρι Πη-
λουσίου παραλία Φοινίκη καλεῖται (στενή τις καὶ ἁλιτενής), ἡ δ' ὑπὲρ ταύ-

34–756, 1 *Eust. D. P. 376, 37–9 756 **17–9** Eust. D. P. 373, 38–41 **19 sq.** *Eust. D. P. 374, 12–4

28 βίβλον E κατέτρεχον F (coniecit Korais): -χε cett. **29** σιδõνος (sic) D; σιδόνος q **30** βίβλος E **33** Κλῖμαξ Meineke Παλαίβυβλος E: πάλαι βύβλος cett. 756 **3** τε om. D[ac] **5 sq.** μασσύου ὁ καλ. αὐλών ἐστι βασ. E **8** λόφοι E[mg] (inserui hoc loco, ubi spatium vacuum habet E: post λεγόμενοι Meineke): om. cett.; ⟨οἱ⟩ δύο λεγόμενοι Τρ. Kallenberg (1912, 187 sq.) coll. 755, 3 sq. **8 sq.** Τράχωνες F (coniecit Tzschucke): τραχῶνες cett. **9** ἐπὶ τὰ πρὸς Ἀράβων Korais {τῶν} Casaubonus ἦν post δύσβατα add. codd.: del. Xylander **12** τοὺς Korais: τὸ codd. **16** πᾶσα Eust. ἀπὸ pro ὑπὲρ X Σελευκίδος EFX: λευκίδος BCD **17** λέγεται Eust. ἐν post ἡ add. E **18** τῷ om. Eust.

ben, und unten Botrys, Gigartos, die Grotten am Meer und die auf das Got-
28 tesantlitz gesetzte Festung, die Pompeius alle niedergerissen hat: von diesen
Orten aus pflegten sie Byblos und das daran anschließende Berytos heimzu-
suchen, zwei Städte die zwischen Sidon und dem Gottesantlitz liegen.

Byblos, die Residenz des Kinyras, ist dem Adonis heilig (Pompeius hat
die Stadt von der Tyrannenherrschaft befreit indem er diesen enthauptete)
32 und liegt auf einer Höhe etwas abseits vom Meer. Dann kommt danach der 19
Fluss Adonis, der Berg Klimax und Alt-Byblos. Dann der Fluss Lykos und
756 Berytos; diese Stadt wurde von Tryphon niedergerissen, ist aber jetzt von
den Römern wiederaufgebaut worden: sie hat zwei Legionen aufgenommen,
die Agrippa dort stationiert hat; er hat ihr auch ein großes Stück des Mas-
syas zugeschlagen bis ganz zu den Quellen des Orontes, die sich in der Nä-
4 he vom Libanos, von Paradeisos und der Ägyptischen Mauer im Gebiet der
Apameer befinden.

Dies sind die Gegenden am Meer. Oberhalb des Massyas ist das soge- 20
nannte Königstal und das ganz besonders gepriesene Damaskenische Land;
auch Damaskos ist eine bedeutende Stadt, man kann sogar sagen die her-
8 vorragendste der dortigen Städte zur Zeit der Perser; über ihr erheben sich
zwei Spitzen, Trachonen genannt. Dann folgen in Richtung der Araber
(und der ihnen untermischten Ituräer) schwer zugängliche Gebirge, in de-
nen es auch Grotten mit tiefen Öffnungen gibt, deren eine nicht weniger als
viertausend Menschen fassen kann bei den Überfällen, denen die Damaske-
12 ner von vielen Seiten ausgesetzt sind. Meistens jedoch berauben die Barba-
ren die Kaufleute die aus dem Gesegneten Arabien kommen (was jetzt weni-
ger geschieht, nachdem Zenodoros und seinen Räubern das Handwerk ge-
legt worden ist dank der von den Römern hergestellten Ordnung und dank
der Sicherheit die die in Syrien stationierten Truppen gewähren).

16 An sich wird das ganze Land das sich oberhalb der Seleukis in Richtung 21
Ägypten und Arabien erstreckt, Koilesyrien genannt, in engerem Sinne je-
doch das Land das vom Libanos und Antilibanos begrenzt wird; von dem
übrigen wird die Küste von Orthosia bis Pelusion Phönizien genannt (sie ist

20 της μεσόγαια μέχρι τῶν Ἀράβων ἡ μεταξὺ Γάζης καὶ ⟨τοῦ⟩ Ἀντιλιβάνου
Ἰουδαία λέγεται.

Ἐπεὶ οὖν τὴν ἰδίως λεγομένην Κοίλην Συρίαν ἐπεληλύθαμεν, ἐπὶ τὴν **22**
Φοινίκην μέτιμεν. ταύτης δὲ τὰ μὲν ἀπ' Ὀρθωσίας μέχρι Βηρυτοῦ λόγου
24 τετύχηκε (754, 28–756, 4). μετὰ δὲ Βηρυτόν ἐστι Σιδὼν ὅσον ἐν τετρακοσί-
οις σταδίοις· μεταξὺ δὲ ὁ Ταμύρας ποταμὸς καὶ τὸ τοῦ Ἀσκληπιοῦ ἄλσος
καὶ Λεόντων πόλις. μετὰ δὲ Σιδῶνα ἡ μεγίστη τῶν Φοινίκων καὶ ἀρχαιο-
τάτη Τύρος ἐστίν, ἐνάμιλλος αὐτῇ κατά τε μέγεθος καὶ κατὰ τὴν ἐπιφά-
28 νειαν καὶ τὴν ἀρχαιότητα ἐκ πολλῶν μύθων παραδεδομένην. οἱ μὲν οὖν
ποιηταὶ τὴν Σιδῶνα τεθρυλήκασι μᾶλλον (Ὅμηρος δ' οὐδὲ μέμνηται τῆς
Τύρου), αἱ δ' εἰς τὴν Λιβύην καὶ τὴν Ἰβηρίαν ἀποικίαι μέχρι καὶ ἔξω
Στηλῶν τὴν Τύρον πλέον ἐξυμνοῦσιν. ἀμφότεραι δ' οὖν ἔνδοξοι καὶ λαμπραὶ
32 καὶ πάλαι καὶ νῦν· ὁπότεραν δ' ἄν τις εἴποι μητρόπολιν Φοινίκων, ἔρις
ἐν ἀμφοτέραις ἐστίν.

Ἡ μὲν οὖν Σιδὼν ἐπὶ εὐφυεῖ λιμένι τῆς ἠπείρου τὴν ἵδρυσιν ἔχει.
Τύρος δ' ἐστὶ νῆσος ὅλη σχεδόν τι συνῳκισμένη παραπλησίως ὥσπερ ἡ **23**
757C. Ἄραδος, | συνῆπται δὲ χώματι πρὸς τὴν ἤπειρον, ὃ κατεσκεύασε πολιορκῶν
Ἀλέξανδρος· δύο δ' ἔχει λιμένας, τὸν μὲν κλειστόν, τὸν δ' ἀνειμένον, ὃν
Αἰγύπτιον καλοῦσιν. ἐνταῦθα δέ φασι πολυστέγους τὰς οἰκίας, ὥστε καὶ
4 τῶν ἐν Ῥώμῃ μᾶλλον· διὸ καὶ σεισμοὺς γενομένους ἀπολιπεῖν μικρὸν τοῦ
ἄρδην ἀφανίσαι τὴν πόλιν. ἠτύχησε δὲ καὶ ὑπ' Ἀλεξάνδρου πολιορκίᾳ ληφ-
θεῖσα. ἀλλὰ τῶν τοιούτων συμφορῶν κατέστη κρείττων καὶ ἀνέλαβεν ἑαυ-
τὴν τῇ τε ναυτιλίᾳ — καθ' ἣν ἁπάντων τῶν ἀεὶ κρείττους εἰσὶ κοινῇ Φοί-

27 sq. Eust. D. P. 375, 29 sq. **31 sq.** Eust. D. P. 302, 13–5 757 **1 sq.** *Eust. D. P. 375, 21–3 **2–8** Eust. D. P. 375, 31–7

20 μεσόγαια D: μεσογαία cett. addidi **23** μέτιμεν D^{s}E: μέτειμεν B^{pc}F, μετεῖμεν B^{ac}CD^{i} **24 sq.** διακοσίοις Isambert (Bull. de la Soc. de Géographie IV 6, 1853, 210 sq.) **25** ταβύριος E **26** Σιδῶνα D^{pc}E: σιδόνα cett. ἡ in codd. ante 27 ἐνάμιλλος traditum huc transposui Φοινικ⟨ίδ⟩ών? **27** πόλις ante Τύρος add. q ἡ ante ἐνάμιλλος add. codd.: post 26 Σιδῶνα transposui; del. Korais τε om. D **28** ⟨τὴν⟩ ἐκ? μύθων πολλῶν B παραδεδομένην dubitanter Letronne, confidenter Korais: παρὰ δεδομένη F, παραδεδομένη cett. **29** Σιδῶνα D^{pc}E: -δόνα cett. τεθρυλήκασι D: -σιν F, τεθρυλλ- BCE **31** ἐξυμνοῦσιν Meineke: ἐξυμνοῦσι E, ἐξυμνοῦσι μᾶλλον cett. **32** εἴπῃ Korais **33** {ἐν}? **34** οὖν om. D **35** ἐστὶ νῆσος ὅλη scripsi: ἐστὶν ὅλη νῆσος codd. καὶ ante ἡ add. B^{s}F 757 **3** ⟨καὶ⟩ ἐνταῦθα? οἰκήσεις F {ὥστε} (vel ποιεῖσθαι?) Korais, ἔσθ' ὅτε Piccolos (730), οἰκεῖσθαι Vogel (1880, 335), γίγνεσθαι Papabasileiou (226) **3 sq.** ὥσπερ καὶ τὰς ἐν Ῥ. ἢ μᾶλλον Groskurd **6 sq.** αὐτὴν q **7** ναυτιλίᾳ DE: ναυτη- cett. καὶ νῦν pro κοινῇ? Letronne

20 schmal und liegt auf Meeresniveau); das darüber liegende Binnenland zwi-
schen Gaza und dem Antilibanos bis zu den Arabern nennt man Judäa.

Nachdem wir also Koilesyrien im engeren Sinne durchlaufen haben, ge- **22**
hen wir zu Phönizien über. Davon ist das Stück von Orthosia bis Berytos
24 bereits behandelt worden (754, 28–756, 4). Nach Berytos kommt nach etwa
vierhundert Stadien Sidon; dazwischen ist der Fluss Tamyras, der Hain des
Asklepios und Leonton Polis. Nach Sidon kommt die größte und älteste
Stadt der Phönizier Tyros, seine Rivalin sowohl was Größe als was ihre Be-
28 rühmtheit und ihr durch viele Fabeln überliefertes Alter betrifft. Die Dichter
reden zwar mehr von Sidon (Homer nennt Tyros nicht einmal), aber die
Koloniegründungen in Libyen und Iberien bis sogar über die Säulen hinaus
singen mehr das Lob von Tyros. Beide Städte sind auf jeden Fall nach wie
32 vor ruhmreich und glanzvoll; welche der beiden man als Hauptstadt der
Phönizier bezeichnen soll, darüber wird zwischen beiden gestritten.

Sidon liegt an einem natürlichen Hafen des Festlandes. Tyros dagegen ist **23**
757 eine Insel, die ähnlich wie Arados fast ganz besiedelt ist; sie ist mit dem
Festland durch einen Damm verbunden, den Alexander bei der Belagerung
angelegt hat; sie hat zwei Häfen, einen abschließbaren und einen offenen,
den man den Ägyptischen nennt. Hier, sagt man, seien die Häuser so viel-
4 stöckig dass sie sogar die in Rom überträfen; daher hätte auch wenig gefehlt
dass die Stadt von eingetretenen Erdbeben völlig zerstört worden sei. Un-
glück hat sie auch erlebt als sie von Alexander nach einer Belagerung erobert
wurde. Aber sie ist solcher Katastrophen Herr geworden und hat sich wie-
derhergestellt, teils durch ihre Schiffahrt — etwas worin die Phönizier über-

8 νικες — καὶ τοῖς πορφυρείοις· πολὺ γὰρ ἐξήτασται πασῶν ἡ Τυρία καλλίστη πορφύρα, καὶ ἡ θήρα πλησίον καὶ τἆλλα εὔπορα τὰ πρὸς βαφὴν ἐπιτήδεια· καὶ δυσδιάγωγον μὲν ποιεῖ τὴν πόλιν ἡ πολυπληθία τῶν βαφείων, πλουσίαν δὲ διὰ τὴν τοιαύτην ἀνδρείαν. οὐχ ὑπὸ τῶν βασιλέων δ' ἐκρίθησαν αὐτόνο-
12 μοι μόνον ἀλλὰ καὶ ὑπὸ τῶν Ῥωμαίων (μικρὰ ἀναλώσαντες) βεβαιωσάντων τὴν ἐκείνων γνώμην. τιμᾶται δὲ καθ' ὑπερβολὴν Ἡρακλῆς ὑπ' αὐτῶν. τῆς δὲ περὶ τὰς ναυστολίας δυνάμεως τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν ἀποικίδων ἐστὶ πόλεων τεκμήριον.

16 Οὗτοι μὲν οὖν τοιοῦτοι. Σιδώνιοι δὲ πολύτεχνοί τινες παραδέδονται **24** καὶ καλλίτεχνοι, καθάπερ καὶ ὁ ποιητὴς δηλοῖ (Z 289 sq. Ψ 743), πρὸς δὲ καὶ φιλόσοφοι περί τε ἀστρονομίαν καὶ ἀριθμητικήν, ἀπὸ τῆς λογιστικῆς ἀρξάμενοι καὶ τῆς νυκτιπλοΐας (ἐμπορικὸν γὰρ καὶ ναυκληρικὸν ἑκάτερον),
20 καθάπερ καὶ τῶν Αἰγυπτίων εὕρεμα γεωμετρίαν φασὶν ἀπὸ τῆς χωρομετρίας, ἣν ὁ Νεῖλος ἀπεργάζεται συγχέων τοὺς ὅρους κατὰ τὰς ἀναβάσεις· τοῦτο μὲν οὖν παρ' Αἰγυπτίων ἥκειν εἰς τοὺς Ἕλληνας πεπιστεύκασιν, ἀστρονομίαν δὲ καὶ ἀριθμητικὴν παρὰ Φοινίκων. νυνὶ δὲ πάσης καὶ τῆς ἄλλης φιλοσο-
24 φίας εὐπορίαν πολὺ πλείστην λαβεῖν ἐστιν ἐκ τούτων τῶν πόλεων. εἰ δὲ δεῖ Ποσειδωνίῳ (F 285 Ed.-Kidd) πιστεῦσαι, καὶ τὸ περὶ τῶν ἀτόμων δόγμα παλαιόν ἐστιν ἀνδρὸς Σιδωνίου Μώχου πρὸ τῶν Τρωϊκῶν χρόνων γεγονότος (FGrHist 784 F 6). τὰ μὲν οὖν παλαιὰ ἐάσθω· καθ' ἡμᾶς δὲ ἐκ Σι-
28 δῶνος μὲν ἔνδοξοι φιλόσοφοι γεγόνασι Βόηθός τε — ᾧ συνεφιλοσοφήσαμεν ἡμεῖς τὰ Ἀριστοτέλεια — καὶ Διόδοτος ἀδελφὸς αὐτοῦ, ἐκ Τύρου δὲ Ἀντίπατρος καὶ μικρὸν πρὸ ἡμῶν Ἀπολλώνιος ὁ τὸν πίνακα ἐκθεὶς τῶν ἀπὸ Ζήνωνος φιλοσόφων καὶ τῶν βιβλίων.

8 sq. *Eust. D. P. 375, 28 sq. **13** *Eust. D. P. 375, 26 sq. **16 sq.** Eust. Od. 1511, 37 sq. *D. P. 375, 27 sq. *376, 5–11 **18–23** Eust. D. P. 374, 35–42

8 πορφυρείοις DE: -ρίοις cett. ἐξήτασται $B^{pc}C^{s}$: ἐξίσταται C^{i}DE, ἐξήσταται B^{ac} (ut vid.) **10** βαφείων xyz, Casaubonus: -φίων BCDF; -φέων q **11** εὐανδρίαν pro ἀνδρείαν Toup, ἁλιείαν Korais (3, ι'/ια'), ἀηδίαν v. Herwerden (455), εὐμάρειαν Papabasileiou (226) **12** verba μικρὰ ἀναλώσαντες post μόνον transponenda esse coniecit Kramer, transposuit Meineke **14** ναυστολίας gq: -στολογίας BCDF **16** Σιδώνιοι B^{pc} (ut vid.) D^{pc}EF: σιδό- cett. **18** τε om. Eust. **19** ναοκλη- E **20** εὕρημα qxz ἐκ pro ἀπὸ Eust. χωρογραφίας E, Eust. **21** ἐργάζεται Eust. τῆς γῆς post τοὺς add. Eust. **26** παλαιοῦ x Σιδωνίου F: σιδο- cett. Μώσχου Hopper (*Moschi* vertit Heresbach), Μόσχου Xylander **27** εἰάσθω Cobet ms. **27 sq.** Σιδῶνος $B^{pc}D^{pc}$: σιδό- cett. **28** Βόηθός BC: βοηθός cett.

8 haupt sämtlichen jeweiligen Zeitgenossen überlegen sind –, teils durch ihre Purpurindustrie: denn der tyrische Purpur ist erweislich der weitaus allerschönste, man fängt die Schnecken in der Nähe und alles weitere zum Färben Benötigte ist leicht zu beschaffen; die große Menge der Färbereien macht den Aufenthalt in der Stadt zwar unangenehm, aber dieser Abhär-
12 tung verdankt sie ihren Reichtum. Ihr ist nicht nur von den Königen die Selbständigkeit zugebilligt worden sondern auch von den Römern, die (gegen geringe Kosten) deren Entscheidung bekräftigt haben. Über die Maßen verehrt wird von ihnen Herakles. Von ihrer Macht in der Schiffahrt zeugt die Menge und die Größe ihrer Pflanzstädte.

16 Mit ihnen also ist es so bestellt. Die Sidonier stehen zu Buch als kunstfer- **24** tige Hersteller vielerlei schöngearbeiteter Produkte, wie auch der Dichter angibt (Il. 6, 289 f. 23, 743), und außerdem als Gelehrte in der Astronomie und der Arithmetik, was sich aus der Rechenkunst und dem Nachtsegeln
20 entwickelt hat (die beide ja zu Handel und Seefahrt gehören), ebenso wie die Geometrie eine Erfindung der Ägypter sein soll, die ihren Ursprung in der Landvermessung hat, die der Nil veranlasst wenn er bei seinem Anstieg die Grenzen verwischt; dies, so glaubt man also, sei von den Ägyptern zu den Griechen gekommen, Astronomie und Arithmetik aber von den Phöni-
24 ziern. Heutzutage kann man sich auch die ganze übrige Wissenschaft bei weitem am reichsten aus diesen Städten holen. Und wenn man Poseidonios (F 285 Ed.-Kidd) glauben darf, ist auch die Lehre von den Atomen der alte Gedanke eines Sidoniers Mochos, der vor der Zeit des Trojanischen Krieges
28 gelebt hat. Doch lassen wir die alten Zeiten: in unserer Zeit waren berühmte Philosophen aus Sidon Boëthos – mit dem zusammen wir die aristotelische Philosophie studiert haben – und sein Bruder Diodotos, aus Tyros Antipatros und kurz vor unserer Zeit Apollonios, der das Verzeichnis der auf Zenon fußenden Philosophen und ihrer Bücher veröffentlicht hat.

758C. Διέχει δὲ τῆς Σιδῶνος ἡ Τύρος οὐ πλείους τῶν διακοσίων σταδίων. | ἐν
δὲ τῷ μεταξὺ πολίχνιον Ὀρνίθων πόλις λεγόμενον, εἶτα πρὸς Τύρῳ ποταμὸς
ἐξίησι. μετὰ δὲ τὴν Τύρον ἡ Παλαίτυρος ἐν τριάκοντα σταδίοις. εἶθ' ἡ **25**
4 Πτολεμαΐς ἐστι, μεγάλη πόλις, ἣν Ἄκην ὠνόμαζον πρότερον· ᾗ ἐχρῶντο
ὁρμητηρίῳ πρὸς τὴν Αἴγυπτον οἱ Πέρσαι. μεταξὺ δὲ τῆς Ἄκης καὶ Τύρου
θινώδης αἰγιαλός ἐστιν ὁ φέρων τὴν ὑαλῖτιν ἄμμον· ἐνταῦθα μὲν οὖν φασι
μὴ χεῖσθαι, κομισθεῖσαν εἰς Σιδῶνα δὲ τὴν χωνείαν δέχεσθαι· τινὲς
8 δὲ καὶ τοῖς Σιδωνίοις εἶναι τὴν ὑαλῖτιν ψάμμον ἐπιτηδείαν εἰς χύσιν,
οἱ δὲ πᾶσαν πανταχοῦ χεῖσθαί φασιν. ἤκουσα δ' ἐν Ἀλεξανδρείᾳ παρὰ
τῶν ὑαλουργῶν εἶναί τινα καὶ κατ' Αἴγυπτον ὑαλῖτιν γῆν ἧς χωρὶς οὐχ
οἷόν τε τὰς πολυχρόους καὶ πολυτελεῖς κατασκευὰς ἀποτελεσθῆναι, καθά-
12 περ καὶ ἄλλοις ἄλλων μιγμάτων δεῖν· καὶ ἐν Ῥώμῃ δὲ πολλὰ παρευρίσκεσθαί
φασι καὶ πρὸς τὰς χρόας καὶ πρὸς τὴν ῥᾳστώνην τῆς κατασκευῆς, καθάπερ
ἐπὶ τῶν κρυσταλλοφανῶν, ὅπου γε καὶ τρυβλίον χαλκοῦ πρίασθαι καὶ ἐκ-
πωμάτιόν ἐστιν.

16 Ἱστορεῖται δὲ παράδοξον πάθος τῶν πάνυ σπανίων κατὰ τὸν αἰγιαλὸν **26**
τοῦτον τὸν μεταξὺ τῆς τε Τύρου καὶ τῆς Πτολεμαΐδος. καθ' ὃν γὰρ καιρὸν
οἱ Πτολεμαεῖς μάχην συνάψαντες πρὸς Σαρπηδόνα τὸν στρατηγὸν ἐλείφθη-
σαν ἐν τῷ τόπῳ τούτῳ τροπῆς γενομένης λαμπρᾶς ἐπέκλυσεν ἐκ τοῦ πελά-
20 γους κῦμα τοὺς φεύγοντας ὅμοιον πλημμυρίδι· καὶ τοὺς μὲν εἰς τὸ πέλα-
γος ἀφήρπασε καὶ διέφθειρεν, οἱ δ' ἐν τοῖς κοίλοις τόποις ἔμειναν νεκροί,
διαδεξαμένη δὲ ἡ ἄμπωτις πάλιν ἀνεκάλυψε καὶ ἔδειξε τὰ σώματα τῶν κει-
μένων ἀναμὶξ ἐν νεκροῖς ἰχθύσι. τοιαῦτα δὲ καὶ περὶ τὸ Κάσιον συμβαίνει
24 τὸ πρὸς Αἰγύπτῳ σπασμῷ τινι ὀξεῖ καὶ ἁπλῷ περιπιπτούσης τῆς γῆς καὶ
εἰς ἑκάτερον μεταβαλλομένης ἅπαξ, ὥστε τὸ μὲν μετεωρισθὲν αὐτῆς μέρος

758 **7 sq.** *Eust. D. P. 376, 31 sq. **10** Anon. Scor. 298ᵛ 18

32 Σιδῶνος D^{pc}E: σιδό- cett. τῶν om. E 758 **2** λεγόμενον scripsi: -ομένη codd. **3** ἔξεισι D^{ac}, ut vid. τὴν om. EX Παλαίτυρος E: πάλαι τύρος cett. **5** τῆς om. E **6** ὑαλῖτιν BC: -ίτιν D^{s}F, -ίτην D^{i}E ψάμμον F^{pc} **7** Σιδῶνα D^{pc}E: σιδό- cett. δὲ post κομισθεῖσαν transposuit Xylander **8** Σιδωνίοις Eust.: σιδο- BCDF {τὴν} vel τινα Korais ὑαλῖτιν B: -ίτιν cett. ψᾰμμον (sic) F **9** χεῖσθαί Tyrwhitt (43): κεῖσθαι F, κινεῖσθαι cett.; χωνεύεσθαι Villebrune, Toup ἐν E: ἐν τῇ cett. **10** ὑαλῖτιν BC: -ίτιν cett. **14** τρύβλιον Meineke χαλκοῦ E (coniecit Casaubonus): -κοῦν cett. **18 sq.** ἐλείφθησαν B^{t} (coniecit Kramer): ἐλήφθησαν B^{mg}F, om. CD (etiam q, ed. pr., unde 18 συνῆψαν scribendum esse coniecit Casaubonus ['Vel deest aliquid'], λαμπρᾶς ⟨διώκουν (sic) τοὺς πολεμίους⟩ scripsit Groskurd); ἐνίκησαν Jacoby (ad FGrHist 87 F 29 p. 178, 34) **20** {τοὺς φεύγοντας} Theiler (2, 65) **22** ἀπεκάλυψε Cobet ms. **23** συνέβη? Korais coll. 50, 15 sqq. 55, 34 sqq. 58, 26 sqq. **24** παλμῷ pro ἁπλῷ Korais

758 Von Sidon ist Tyros nicht mehr als zweihundert Stadien entfernt. Dazwischen liegt eine Kleinstadt, Ornithon Polis genannt, und dann mündet bei Tyros ein Fluss ins Meer. Nach Tyros kommt, dreißig Stadien entfernt, Alt- **25**
4 Tyros. Dann kommt Ptolemaïs, eine große Stadt, die man früher Ake nannte; sie wurde von den Persern als Stützpunkt gegen Ägypten gebraucht. Zwischen Ake und Tyros ist ein Dünenstrand, der den Glassand liefert; dort allerdings soll er nicht flüssig werden, sondern er werde nach Sidon ge-
8 bracht und dort geschmolzen; nach Manchen aber hätten auch die Sidonier den zum Schmelzen geeigneten Glassand, und nach Anderen wird aller Sand überall flüssig. Ich habe in Alexandrien von den Glasherstellern gehört dass es auch in Ägypten eine Glaserde gibt, ohne die es unmöglich ist die
12 vielfarbigen und kostbaren Produkte zu verfertigen, wie überhaupt jedes seine eigene Mischung verlange; auch in Rom sollen viele Techniken erfunden werden, nicht nur um die Farben zu erzielen sondern auch um die Herstellung zu erleichtern, wie z. B. bei der kristallklaren Ware: kann man da doch für einen Pfennig eine Schale oder ein Trinkgerät kaufen.

16 Ein wunderbares und höchst seltenes Naturereignis wird von diesem **26**
Strand zwischen Tyros und Ptolemaïs berichtet. Zu der Zeit nämlich als in dieser Gegend die Ptolemaier in einer Schlacht, die sie dem Feldherrn Sarpedon lieferten, besiegt und en bloc in die Flucht geschlagen worden waren,
20 hat eine vom Meer kommende flutähnliche Woge die Fliehenden überspült; sie wurden von ihr teils ins offene Meer fortgerissen und fanden dort ihr Ende, teils blieben sie tot in Mulden liegen, und als die Ebbe folgte, deckte sie die Leichen wieder auf, die dort zwischen toten Fischen lagen. So etwas er-
24 eignet sich auch am Kasion bei Ägypten: die Erde wird gleichsam von einer akuten einmaligen Konvulsion ergriffen und ändert ihre Lage *ein* Mal nach beiden Seiten, so dass ihr emporgehobener Teil das Meer heranführt, der

Meer bei den Persern. Obwohl sie ein schlechtes Klima hat mit Nebel, Regengüssen und zugleich brennender Hitze, bringt sie trotzdem vorzügliche
Frucht hervor. Die Rebe wächst in Sümpfen, wo auf Schilfmatten soviel Er-

20 βαλλομένης γῆς ὅση δέξαιτ' ἂν τὸ φυτόν, ὥστε φορητὴν γίνεσθαι πολλάκις,
εἶτα κοντοῖς ἀπωθεῖσθαι πάλιν εἰς τὴν οἰκείαν ἕδραν.

'Επάνειμι δ' ἐπὶ τὰς 'Ερατοσθένους ἀποφάσεις, ἃς ἑξῆς περὶ τῆς 'Αρα- 2
βίας ἐκτίθεται (fr. III B 48 Berger).

24 Φησὶ δὲ περὶ τῆς προσαρκτίου καὶ ἐρήμης, ἥτις ἐστὶ μεταξὺ τῆς τε
Εὐδαίμονος 'Αραβίας καὶ τῆς Κοιλοσύρων καὶ τῶν 'Ιουδαίων μέχρι τοῦ μυχοῦ
τοῦ 'Αραβίου κόλπου, διότι ἀπὸ 'Ηρώων πόλεως — ἥτις ἐστὶν ὁ πρὸς τῷ Νεί-
λῳ μυχὸς τοῦ 'Αραβίου κόλπου — πρὸς μὲν τὴν Ναβαταίων Πέτραν ⟨στάδιοί
28 εἰσι * *, ἀπὸ δὲ Πέτρας⟩ εἰς Βαβυλῶνα πεντακισχίλιοι ἑξακόσιοι· πᾶσα
μὲν πρὸς ἀνατολὰς θερινάς, διὰ δὲ τῶν παρακειμένων 'Αραβίων ἐθνῶν, Να-
βαταίων τε καὶ Χαυλοταίων καὶ 'Αγραίων.

'Υπὲρ δὲ τούτων ἡ Εὐδαίμων ἐστίν, ἐπὶ μυρίους καὶ δισχιλίους ἐκκει-
32 μένη σταδίους πρὸς νότον μέχρι τοῦ 'Ατλαντικοῦ πελάγους. ἔχουσι δ' αὐτὴν
οἱ μὲν πρῶτοι μετὰ τοὺς Σύρους καὶ τοὺς 'Ιουδαίους ἄνθρωποι γεωργοί·
μετὰ δὲ τούτους δίαμμός ἐστι γῆ καὶ λυπρὰ φοίνικας ἔχουσα ὀλίγους καὶ
ἄκανθαν καὶ μυρίκην καὶ ὀρυκτὰ ὕδατα, καθάπερ καὶ ἡ Γεδρωσία, Σκηνῖται
768C. δ' ἔχουσιν αὐτὴν ῎Αραβες καμηλο|βοσκοί· τὰ δ' ἔσχατα πρὸς νότον καὶ ἀντ-
αίροντα τῇ Αἰθιοπίᾳ βρέχεταί τε θερινοῖς ὄμβροις καὶ δισπορεῖται παρα-
πλησίως τῇ 'Ινδικῇ, ποταμοὺς δ' ἔχει καταναλισκομένους εἰς πεδία καὶ
4 λίμνας· εὐκαρπία δ' ἐστὶν ἥ τε ἄλλη καὶ μελιτουργεῖα δαψιλῆ, βοσκημάτων
τε ἀφθονία πλὴν ἵππων καὶ ἡμιόνων καὶ ὑῶν, ὄρνεά τε παντοῖα πλὴν χη-
νῶν καὶ ἀλεκτορίδων.

Κατοικεῖ δὲ τὰ μέγιστα τέτταρα ἔθνη τὴν ἐσχάτην λεχθεῖσαν χώραν·
8 Μιναῖοι μὲν ἐν τῷ πρὸς τὴν 'Ερυθρὰν μέρει, πόλις δ' αὐτῶν ἡ μεγίστη

26 St. B. 304, 12 sq. **30** St. B. 20, 19 768 **7–9** *Eust. D. P. 384, 32–5

21 ἐξ ἀρχῆς post οἰκείαν add. X **24** τε om. F **25** τῶν om. ed. pr. **26** ἐστὶν ὁ Müller (1038 ad 653, 16): ἐστὶ codd.; cf. ad 26 sq. **26 sq.** ἐστὶ πρὸς τῷ μυχῷ Letronne, ἐστὶν ἐν τῷ πρὸς τὸν Νεῖλον μυχῷ Korais; cf. ad 26 **27** Ναβαταίων Kramer: ἀβαταίων F, ναβαταίαν cett. **27 sq.** add. Madvig (Adv. 1, 563) **29 sq.** Ναβαταίων qx: υβα- (sic) E, ἀβα- cett. **30** χαυλω- D^{ac} post 'Αγραίων verba 32 sqq. ἔχουσι κτλ. transponenda esse coniecit Retsö; vide ad 32 sqq. **32** Αἰθιοπικοῦ pro 'Ατλαντικοῦ Letronne **32 sqq.** verba ἔχουσι — καμηλοβοσκοί post 30 'Αγραίων transponenda esse coniecit Retsö (324[126]) **35** σκηνῆται E **36 sq.** καμηλοβοσκοί BCE: καὶ μηλοβοσκοί D, καὶ καμηλοβοσκοί F 768 **2** τε om. ed. pr. (βρέχετέται q^{pc}) **4** μελιτουργεῖα Kramer: -γεία F, -γία cett. δαψιλῆς E **7** τεσσάρων Eust. in paraphrasi **8** Μιναῖοι E: μην- D, μειν- BCF, μινναίων Eust. in paraphrasi δ' E (coniecit Korais): om. cett.

20 de geworfen wird wie die Pflanze braucht; so kommt es dass sie oft weg-
treibt und dann mit Stangen wieder an ihre richtige Stelle zurückgestoßen
wird.

Doch ich kehre zurück zu Eratosthenes' Angaben, die er anschließend 2
über Arabien macht (fr. III B 48 Berger).

24 Er sagt über den nördlichen, öden Teil, der zwischen dem Gesegneten
Arabien und dem Land der Koilesyrer und Judäer bis zum inneren Winkel
des Arabischen Golfes liegt: von Heroon Polis – dem beim Nil liegenden
inneren Winkel des Arabischen Golfes – seien es bis zum nabatäischen Pe-
28 tra ⟨* * Stadien und von Petra⟩ nach Babylon fünftausendsechshundert; das
ganze Gebiet erstrecke sich in nordöstliche Richtung und durch die angren-
zenden arabischen Völker, die Nabatäer, Chaulotäer und Agräer.

Über diese hinaus liegt das Gesegnete, das zwölftausend Stadien weit
32 nach Süden bis zum Atlantischen Meer hinausragt. Es wird nach den Syrern
und Judäern zuerst von Bauern bewohnt; nach ihnen kommt ein sandiges
und karges Gebiet, das nur wenige Dattelpalmen trägt, mit Akazien, Tama-
risken und Grubenwasser (genau wie Gedrosien), bewohnt von Zeltbewoh-
768 nenden Arabern, die Kamele halten; das Gebiet zu äußerst im Süden gegen-
über Äthiopien wird ähnlich wie Indien im Sommer von Regengüssen ge-
tränkt und zweimal besät und hat Flüsse, die sich in Ebenen und Seen verlie-
4 ren; abgesehen von dem übrigen Fruchtsegen gibt es dort reiche Imkereien,
einen Überfluss an Zuchtvieh (mit Ausnahme von Pferden, Mauleseln und
Schweinen) und alles mögliche Geflügel (außer Gänsen und Hühnern).

In dem äußersten Teil des besagten Landes wohnen die vier größten Völ-
8 ker: die Minäer in dem am Roten Meer gelegenen Teil (ihre größte Stadt ist

Κάρνα ἢ Κάρνανα· ἐχόμενοι δὲ τούτων Σαβαῖοι, μητρόπολις δ' αὐτῶν Μα-
ρίαβα· τρίτοι δὲ Κατταβανεῖς καθήκοντες πρὸς τὰ στενὰ καὶ τὴν διάβασιν
τοῦ 'Αραβίου κόλπου, τὸ δὲ βασίλειον αὐτῶν Τάμνα καλεῖται· πρὸς ἕω δὲ
12 μάλιστα Χατραμωτῖται, πόλιν δ' ἔχουσι Σάβαταν. μοναρχοῦνται δὲ πᾶσαι 3
καί εἰσιν εὐδαίμονες, κατεσκευασμέναι καλῶς ἱεροῖς τε καὶ βασιλείοις·
αἵ τε οἰκίαι ταῖς Αἰγυπτίαις ἐοίκασι κατὰ τὴν τῶν ξύλων ἔνδεσιν. χώραν
δ' ἐπέχουσιν οἱ τέτταρες νομοὶ μείζω τοῦ κατ' Αἴγυπτον Δέλτα. διαδέχεται
16 δὲ τὴν βασίλειαν οὐ παῖς παρὰ πατρός, ἀλλ' ὃς ἂν πρῶτος γεννηθῇ τινι
τῶν ἐπιφανῶν παῖς μετὰ τὴν κατάστασιν τοῦ βασιλέως· ἅμα γὰρ τῷ κατα-
σταθῆναί τινα εἰς τὴν ἀρχὴν ἀναγράφονται τὰς ἐγκύους γυναῖκας τῶν ἐπι-
φανῶν ἀνδρῶν καὶ ἐφιστᾶσι φύλακας· ἥτις ⟨δ'⟩ ἂν πρώτη τέκῃ, τὸν ταύτης
20 υἱὸν νόμος ἐστὶν ἀναληφθέντα τρέφεσθαι βασιλικῶς ὡς διαδεξόμενον.

Φέρει δὲ λιβανωτὸν μὲν ἡ Κατταβανία, σμύρναν δὲ ἡ Χατραμωτῖτις. 4
καὶ ταῦτα δὲ καὶ τὰ ἄλλα ἀρώματα μεταβάλλονται τοῖς ἐμπόροις· ἔρχονται
δὲ πρὸς αὐτοὺς ἐξ Αἰλάνων μὲν εἰς Μιναίαν ἐν ἑβδομήκοντα ἡμέραις (ἔστι
24 δ' ἡ Αἴλανα πόλις ἐν θατέρῳ μυχῷ τοῦ 'Αραβίου κόλπου, τῷ κατὰ Γάζαν, τῷ
Αἰλανίτῃ καλουμένῳ, καθάπερ εἰρήκαμεν [759, 22–4])· Γερραῖοι δ' εἰς τὴν
Χατραμωτῖτιν ἐν τετταράκοντα ἡμέραις ἀφικνοῦνται.

Τοῦ δ' 'Αραβίου κόλπου τὸ μὲν παρὰ τὴν 'Αραβίαν πλευρὸν ἀρχομένοις
28 ἀπὸ τοῦ Αἰλανίτου μυχοῦ — καθάπερ οἱ περὶ 'Αλέξανδρον ἀνέγραψαν καὶ
'Αναξικράτη — μυρίων καὶ τετρακισχιλίων σταδίων ἐστίν (εἴρηται δ' [35,
17 sq. 100, 29 sq.] ἔτι πλέον), τὸ δὲ κατὰ τὴν Τρωγοδυτικήν, ὅπερ ἐστὶν ἐν

9 sq. St. B. 433, 1 sq. **11 sq.** St. B. 689, 10 sq. **21** St. B. 368, 8–10 **25 sq.** St. B. 689, 9 sq.

9 ἢ Κάρνανα dubitanter Berkelius (561^{2}), confidenter Kramer: ἢ καρανᾶ BCD, ἢ καρα-νᾶν F, om. E **9 sq.** Μαρίαβα BEF, St. B.: μαριάβα CD **10** Κατταβανεῖς B^{s}CF: κα-τα- B^{i}DE **12** Χατραμωτῖται St. B.: χατραμίται E, χατραμωτεῖται cett. Σάβαταν Kramer: χαβάτανον BCD^{pc}, καβάτανον F, χαβάτανα E, χατάβανον D^{ac}; Σάβατα Groskurd **15** νομοὶ E: νόμοι cett. **19** add. Korais, Bernhardy (Erat. 103**) ταύτης Kramer (duce Groskurd): αὐτῆς codd. **21** Κατταβανία BCE, St. B. codd. plerique: κατα- D^{s}F, St. B. R, καβανία D^{i} Χατραμωτῖτις BCD: χατραμωτεῖτις F^{s}, χαμω-τεῖτις F^{i}, χατραμίτις E (γρ. χατραμ[E^{mg}), χατραμωνίτης St. B. **22** τε pro δὲ Meineke (Vind. 236) **23** ἐξ Αἰλάνων Kramer: ἐξ αἰλανῶν CDE, ἐξαιλανῶν BF^{pc}, ἐξαλανῶν F^{ac} (ut vid.) Μιναίαν E: μειναίαν BCD, μειναῖαν F **24** Αἴλανα EF: αἴλενα BCD **25** Γερραῖοι E^{t} F^{mg}, St. B.: σαβ[E^{γρ}, γαβαῖοι cett.; Γαζαῖοι Salmasius (Plin. exerc. 493 B), Σαβαῖοι Mannert (VI 1, 110), Λαβαῖοι? v. Wissmann (Muséon 80, 1967, 505^{0}), Γάβα-νοι? Beeston (per litteras); vide comm. **26** χατραμωτίτιν E, χατραμωτήτιν F **28** αἰλατίτου E^{s} **29** 'Αναξικράτη⟨ς⟩ Bernhardy (Erat. 104*), Kramer ἐστὶ σταδίων D **30** ἔτι Kramer: ἐπὶ codd. Τρωγοδυτικήν F: τρωγλω- E, τρωγλο- cett.

Karna oder Karnana); an sie schließen sich die Sabäer an (ihre Hauptstadt
ist Mariaba); drittens die Kattabaner, die bis zu der Meeresenge und dem
Übergang über den Arabischen Golf reichen (ihr Königssitz heißt Tamna);
12 und am weitesten im Osten die Chatramotiter (ihre Stadt ist Sabata). Alle 3
diese Städte stehen unter Monarchen, florieren und sind schön mit Heiligtü-
mern und Palästen ausgestattet; die Häuser ähneln den ägyptischen in der
Einfügung der Balken. Die vier Bezirke umfassen ein Gebiet das größer ist
16 als das Delta in Ägypten. Den Königsthron übernimmt nicht der Sohn vom
Vater, sondern derjenige der nach der Einsetzung des Königs zuerst einem
der Prominenten geboren wird: gleich nämlich wenn einer in die Herrschaft
eingesetzt worden ist, machen sie ein Verzeichnis der schwangeren Frauen
prominenter Männer und stellen Wächter an; die zuerst niederkommt, de-
20 ren Sohn — so ist es Brauch — wird angenommen und als künftiger Thron-
folger königlich auferzogen.

Weihrauch trägt Kattabanien, Myrrhe die Chatramotitis. Diese und die 4
übrigen Spezereien verhandeln sie an die fahrenden Kaufleute: die kommen
24 zu ihnen aus Ailana ins Minäische in siebzig Tagen (Ailana ist die Stadt an
dem einen der beiden Winkel des Arabischen Golfs, dem bei Gaza, dem so-
genannten Ailanitischen, wie wir sagten [759, 22–4]); die Gerrhäer kommen
in vierzig Tagen in die Chatramotitis.

28 Vom Arabischen Golf ist die Seite längs Arabien, angefangen bei dem Ai-
lanitischen Winkel — wie Alexander und Anaxikrates angeben — vierzehn-
tausend Stadien lang (meine früheren Angaben [35, 17 f. 100, 29 f.] waren
noch höher), die am Trogodytischen, die man zur Rechten hat wenn man

δεξιᾷ ἀποπλέουσιν ἀπὸ Ἡρώων πόλεως, μέχρι μὲν Πτολεμαΐδος καὶ τῆς τῶν
32 ἐλεφάντων θήρας ἐννακισχίλιοι πρὸς μεσημβρίαν στάδιοι καὶ μικρὸν ἐπὶ
τὴν ἕω, ἐντεῦθεν δὲ μέχρι τῶν στενῶν ὡς τετρακισχίλιοι καὶ πεντακόσιοι
769C. πρὸς τὴν ἕω μᾶλλον. | ποιεῖ δὲ ἄκρα τὰ στενὰ πρὸς τὴν Ἀραβίαν Δείρη
καλουμένη καὶ πολίχνιον ὁμώνυμον αὐτῇ· κατοικοῦσι δ' Ἰχθυοφάγοι. καί
φασιν ἐνταῦθα στήλην εἶναι Σεσώστριος τοῦ Αἰγυπτίου μηνύουσαν ἱεροῖς
4 γράμμασι τὴν διάβασιν αὐτοῦ· φαίνεται γὰρ τὴν Αἰθιοπίδα καὶ τὴν Τρωγο-
δυτικὴν πρῶτος καταστρεψάμενος οὗτος, εἶτα διαβὰς εἰς τὴν Ἀραβίαν κἀν-
τεῦθεν τὴν Ἀσίαν ἐπελθὼν τὴν σύμπασαν, διὸ δὴ πολλαχοῦ Σεσώστριος χά-
ρακες προσαγορεύονται καὶ ἀφιδρύματά ἐστιν Αἰγυπτίων θεῶν ἱερῶν. τὰ δὲ
8 κατὰ Δείρην στενὰ συνάγεται εἰς σταδίους ἑξήκοντα· οὐ μὴν ταῦτά γε κα-
λεῖται νυνὶ στενά, ἀλλὰ προπλεύσασιν ἀπωτέρω, καθ' ὃ τὸ μὲν δίαρμά ἐστι
τὸ μεταξὺ τῶν ἠπείρων διακοσίων που σταδίων, ἓξ δὲ νῆσοι συνεχεῖς ἀλ-
λήλαις τὸ δίαρμα ἐκπληροῦσαι στενοὺς τελέως διάπλους ἀπολείπουσι, δι'
12 ὧν σχεδίαις τὰ φορτία κομίζουσι δεῦρο κἀκεῖσε καὶ λέγουσι ταῦτα στενά.
μετὰ δὲ τὰς νήσους ὁ ἑξῆς πλοῦς ἐστιν ἐγκολπίζουσι παρὰ τὴν σμυρνο-
φόρον ἐπὶ τὴν μεσημβρίαν ἅμα καὶ τὴν ἕω μέχρι πρὸς τὴν τὸ κιννάμωμον
φέρουσαν ὅσον πεντακισχιλίων σταδίων. πέρα δὲ ταύτης οὐδένα ἀφῖχθαί
16 φασι μέχρι νῦν· πόλεις δ' ἐν μὲν τῇ παραλίᾳ μὴ πολλὰς εἶναι, κατὰ δὲ
τὴν μεσόγαιαν πολλὰς οἰκουμένας καλῶς.

Τὰ μὲν δὴ τοῦ Ἐρατοσθένους περὶ τῆς Ἀραβίας τοιαῦτα. προσθετέον
δὲ καὶ τὰ παρὰ τῶν ἄλλων.

20 Φησὶ δ' Ἀρτεμίδωρος (fr. 96 Stiehle) τὸ ἀντικείμενον ἐκ τῆς Ἀραβίας 5
ἀκρωτήριον τῇ Δείρῃ καλεῖσθαι Ἀκίλαν, τοὺς δὲ περὶ τὴν Δείρην κολο-
βοὺς εἶναι τὰς βαλάνους. ἀπὸ δὲ Ἡρώων πόλεως πλέουσι κατὰ τὴν Τρωγο-
δυτικὴν πόλιν εἶναι Φιλωτέραν ἀπὸ τῆς ἀδελφῆς τοῦ δευτέρου Πτολεμαίου

31 St. B. 304, 12 sq. 769 1 sq. St. B. 223, 20 sq. 8 St. B. 223, 20 sq. 21 St. B. 223, 20 sq. 22 St. B. 304, 12 sq. 22–4 *St. B. 666, 16 sq.

32 ἐνακισ- Meineke 33 δὲ om. E καὶ om. E 769 1 Ἀραβίαν scripsi: αἰθιοπίαν codd.; vide comm. Δείρη scripsi (cf. comm.): δηρὴ C, δειρὴ cett. 2 δὲ pro δ' q 4 Τρωγο- F: τρωγλω- E, τρωγλο- cett. 5 πρῶτον? 8 Δείρην scripsi: δειρὴν codd. 9 προπλεύσασιν Bernhardy (Erat. 105), Cascorbi (30): προσ- codd. ἀποτέρω BCD^{ac} καθ' ὃ E: καθὸ cett. 10 τὸ om. E 14 κιννάμωμον B^{s}CD: κινά- B^{i}E, κυνά- F 16 φησι Kramer τοῦ ante νῦν add. E^{ac} 17 μεσόγαιαν Korais: μεσογαίαν BCD, μεσογαῖαν F 18 τοῦ om. E 21 Δείρῃ scripsi: δειρῇ codd. ἄκιλαν F, ἀκύλαν D Δείρην scripsi: δειρὴν codd. 22 Τρωγο- scripsi: τρωγλω- E, τρωγλο- cett. 23 Ἀρσινόην pro Φιλωτέραν Falconer

32 von Heroon Polis abfährt, misst bis nach Ptolemaïs und dem Elefantenjagd-
gebiet neuntausend Stadien in südlicher und ein wenig östlicher, von dort
bis zu der Meeresenge etwa viertausendundfünfhundert in mehr östlicher
769 Richtung. Die Meeresenge wird gegen Arabien von einem Kap gebildet das
Deire genannt wird und von einem mit ihm gleichnamigen Städtchen; es
wird bewohnt von Fischessern. Es soll dort eine Steintafel des Ägypters Se-
4 sostris geben, die in heiligen Schriftzeichen seine Überfahrt meldet; er hat
nämlich offenbar zuerst das Äthiopische und das Trogodytische unterwor-
fen, ist dann nach Arabien übergesetzt und von dort über ganz Asien gezo-
gen; daher gibt es ja an vielen Stellen Orte die 'Sesostris-Schanze' genannt
8 werden und Zweigheiligtümer ägyptischer Götter. Die Meeresenge bei Dei-
re verengt sich bis zu sechzig Stadien; indessen wird nicht sie heute als Mee-
resenge bezeichnet sondern eine Stelle abseits davon, wenn man weiterfährt;
die Entfernung zwischen den Kontinenten beträgt dort zwar etwa zweihun-
dert Stadien, aber sechs Inseln in einer Reihe füllen den Zwischenraum und
12 lassen ganz schmale Durchfahrten übrig: durch sie bringen sie die Waren
mit Flößen hin- und herüber und diese sind es die sie als Meeresenge be-
zeichnen. Nach den Inseln beträgt die weitere Fahrt am Myrrhenlande ent-
lang in südöstlicher Richtung bis zu dem Land in dem der Zimt wächst,
wenn man den Einbuchtungen folgt, etwa fünftausend Stadien. Weiter als
16 dieses soll bisher niemand gekommen sein; Städte soll es an der Küste nicht
viele, im Binnenland dagegen viele wohlbevölkerte geben.

Das sind Eratosthenes' Angaben über Arabien. Ihnen sind die der Ande-
ren hinzuzufügen.

20 Artemidor sagt (fr. 96 Stiehle), das Vorgebirge das Deire auf der arabi- 5
schen Seite gegenüberliegt heiße Akila, und die um Deire Wohnenden seien
gestutzt an ihren Eicheln. Schiffe man von Heroon Polis aus, dann komme
im Trogodytischen eine Stadt Philotera, genannt nach der Schwester des

24 προσαγορευθεῖσαν (Σατύρου κτίσμα τοῦ πεμφθέντος ἐπὶ τὴν διερεύνησιν
τῆς τῶν ἐλεφάντων θήρας καὶ τῆς Τρωγοδυτικῆς)· εἶτ' ἄλλην πόλιν Ἀρσι-
νόην, εἶτα θερμῶν ὑδάτων ἐκβολὰς πικρῶν καὶ ἁλμυρῶν κατὰ πέτρας τινὸς
ὑψηλῆς ἐκδιδόντων εἰς τὴν θάλατταν (καὶ πλησίον ὄρος ἐστὶν ἐν πεδίῳ
28 μιλτῶδες)· εἶτα Μυὸς ὅρμον — ὃν καὶ Ἀφροδίτης ὅρμον καλεῖσθαι —, λιμένα
μέγαν τὸν εἴσπλουν ἔχοντα σκολιόν· προκεῖσθαι δὲ νήσους τρεῖς, δύο μὲν
ἐλαίαις κατασκίους, μίαν δ' ἧττον κατάσκιον, μελεαγρίδων μεστήν· εἶθ'
ἑξῆς τὸν Ἀκάθαρτον κόλπον, καὶ αὐτὸν κατὰ τὴν Θηβαΐδα κείμενον, καθά-
32 περ τὸν Μυὸς ὅρμον, ὄντως δὲ ἀκάθαρτον· καὶ γὰρ ὑφάλοις χοιράσι καὶ
770C. ῥαχίαις ἐκτετραχύνθαι καὶ πνοαῖς καταιγιζούσαις τὸ πλέον· | ἐνταῦθα
δὲ ἱδρῦσθαι Βερενίκην πόλιν ἐν βάθει τοῦ κόλπου.

Μετὰ δὲ τὸν κόλπον ἡ Ὀφιώδης καλουμένη νῆσος ἀπὸ τοῦ συμβεβηκότος. **6**
4 ἣν ἠλευθέρωσε τῶν ἑρπετῶν ὁ βασιλεὺς ἅμα καὶ διὰ τὰς φθορὰς τῶν προσ-
ορμιζομένων ἀνθρώπων τὰς ἐκ τῶν θηρίων καὶ διὰ τὰ τοπάζια. λίθος δέ
ἐστι διαφανὴς χρυσοειδὲς ἀποστίλβων φέγγος ὅσον μεθ' ἡμέραν μὲν οὐ ῥᾴ-
διον ἰδεῖν ἐστι (ὑπεραυγεῖται γάρ), νύκτωρ δ' ὁρῶσιν οἱ συλλέγοντες,
8 περικαθάψαντες δὲ ἀγγεῖον σημείου χάριν μεθ' ἡμέραν ἀνορύττουσι· καὶ
ἦν σύστημα ἀνθρώπων ἀποδεδειγμένων εἰς τὴν φυλακὴν τῆς λιθείας ταύτης
καὶ τὴν συναγωγὴν σιταρχούμενον ὑπὸ τῶν τῆς Αἰγύπτου βασιλέων.

Μετὰ δὲ τὴν νῆσον ταύτην πολλά ἐστι Ἰχθυοφάγων γένη καὶ νομάδων· **7**
12 εἶθ' ὁ τῆς Σωτείρας λιμήν, ὃν ἐκ κινδύνων μεγάλων τινὲς σωθέντες τῶν
ἡγεμόνων ἀπὸ τοῦ συμβεβηκότος οὕτως ἐκάλεσαν. μετὰ δὲ ταῦτα ἐξάλλαξις
πολλὴ τῆς παραλίας καὶ τοῦ κόλπου· τὸν γὰρ παράπλουν οὐκέτι συμβαίνει
τραχὺν εἶναι συνάπτειν τέ πως τῇ Ἀραβίᾳ καὶ τὸ πέλαγος ταπεινὸν εἶναι
16 σχεδόν τι καὶ ἐπὶ δύο ὀργυιὰς ποάζειν τε τὴν ἐπιφάνειαν διαφαινομένου
τοῦ μνίου καὶ τοῦ φύκους, ὅπερ πλεονάζει κατὰ τὸν πόρον (ὅπου γε καὶ

770 **5–8** *Eust. D. P. 400, 15–8

25 Τρωγο- scripsi: τρωγλω- E, τρωγλο- cett. **25 sq.** Φιλωτέραν pro Ἀρσινόην Falconer **27** ἐστὶν om. E **28** ὃν E (coniecit Casaubonus): om. cett. **30** καταφύτους? **31** τὴν om. E **32** ὄντως F (coniecit Casaubonus): οὕτως BCD, οὕτω E **33** ἐκτετραχύνθαι v. Herwerden (456): ἐτετράχυνται F, ἐκτετράχυνται cett. πνοαῖς E: πνοιαῖς cett. 770 **6** ἀποστίλβων D: ἀπολάμπων cett., Eust. ὃ pro ὅσον Eust.; ὃν Korais **7** ἐστὶν ἰδεῖν D ὑπεραυγεῖται E, Eust.: περιαυ- cett. **9** λιθείας B^{ac} C^{pc} E: λιθίας cett. (cf. 538, 28 comm.) **10** τὴν om. E σιταρκούμενον Casaubonus **11** ἰχθυοφάγα E ἔθνη pro γένη q^{i}, ed. pr. **16** ὀργυιὰς qxyz: ὀργυίας BCDEF **17** ἅπερ?

24 zweiten Ptolemäers (gegründet von Satyros, der geschickt worden war um
das Elefantenjagdgebiet und das Trogodytische auszukundschaften); dann
eine weitere Stadt Arsinoë, dann ein Ausfluss von bitteren und salzigen hei-
ßen Wassern, die sich von einem hohen Felsen herab ins Meer ergießen (in
28 der Nähe ist in der Ebene ein rötelfarbener Berg); dann Myos Hormos –
das auch Aphrodites Hormos genannt werde –, ein großer Hafen mit einer
schlängelnden Einfahrt; davor lägen drei Inseln, zwei von Oliven beschat-
tet, eine weniger beschattet und voller Perlhühner; dann anschließend die
32 Unreine Bucht, ebenso wie Myos Hormos auf der Höhe der Thebais gele-
gen und tatsächlich unrein: sie sei nämlich rauh durch unter dem Wasser be-
770 findliche Riffe, Brandungen und die meist hier niederfahrenden Böen: hier
liege tief in der Bucht die Stadt Berenike.

Nach der Bucht kommt die nach den dortigen Umständen so genannte **6**
4 Schlangeninsel. Befreit hat sie von den Schlangen der König, teils wegen der
Tötung der dort anlegenden Menschen durch die Tiere, teils wegen der To-
pase. Dies ist ein transparanter Stein, der einen goldartigen Glanz aus-
strahlt, so schwach dass man ihn bei Tage nicht leicht sieht, da er vom Ta-
8 geslicht überstrahlt wird, den nachts aber die Sammler sehen können: sie
stülpen dann zum Zeichen ein Gefäß darüber, und graben den Stein am Ta-
ge aus; es gab eine Abteilung von Leuten die zur Überwachung dieser Stein-
gewinnung und zur Einsammlung angestellt waren; sie wurde von den Köni-
gen Ägyptens unterhalten.

12 Nach dieser Insel kommen viele Fischesser- und Nomadenstämme; dann **7**
der Hafen der Retterin, den irgendwelche aus großen Gefahren gerettete
Befehlshaber nach dieser Begebenheit so genannt haben. Danach gibt es
eine große Veränderung der Küste und des Golfes: die Küste ist nämlich
nicht mehr rauh und schließt sich gewissermaßen an Arabien an, und das
16 Meer ist untief – fast nur zwei Klafter – und seine Oberfläche ist grasgrün,
da das Seegras und der Tang hindurchscheint, der in dem Fahrwasser mas-

δένδρα φύεται καθ' ὕδατος παρὰ τοῖς ἐνταῦθα)· ἔχει δὲ καὶ κυνῶν πλῆθος
τῶν θαλασσίων ὁ πόρος. εἶθ' οἱ Ταῦροι, δύο ὄρη τύπον τινὰ πόρρωθεν δεικ-
20 νύντα τοῖς ζῴοις ὅμοιον, εἶτ' ἄλλο ὄρος ἱερὸν ἔχον τῆς Ἴσιδος, Σεσώσ-
τριος ἀφίδρυμα. εἶτα νῆσος ἐλαίᾳ κατάφυτος ἐπικλυζομένη· μεθ' ἣν ἡ Πτο-
λεμαῒς πρὸς τῇ θήρᾳ τῶν ἐλεφάντων, κτίσμα Εὐμήδους τοῦ πεμφθέντος ἐπὶ
τὴν θήραν ὑπὸ τοῦ Φιλαδέλφου, λάθρᾳ περιβαλομένου χερρονήσῳ τινὶ τά-
24 φρον καὶ περίβολον, εἶτ' ἐκθεραπεύσαντος τοὺς κωλύοντας καὶ κατασκευασα-
μένου φίλους ἀντὶ δυσμενῶν· ἐν δὲ τῷ μεταξὺ ἐκδίδωσιν ἀπόσπασμα τοῦ **8**
Ἀσταβόρα καλουμένου ποταμοῦ, ὃς ἐκ λίμνης τὴν ἀρχὴν ἔχων μέρος μέν τι
ἐκδίδωσι, τὸ δὲ πλέον συμβάλλει τῷ Νείλῳ.

28 Εἶτα νῆσοι ἕξ, Λατομίαι καλούμεναι, καὶ μετὰ ταῦτα τὸ Σαβαϊτικὸν
στόμα λεγόμενον καὶ ἐν τῇ μεσογαίᾳ φρούριον, Τοσούχου ἵδρυμα· εἶτα
λιμὴν καλούμενος Ἐλαία καὶ ἡ Στράτωνος νῆσος· εἶτα λιμὴν Σαβὰ καὶ
κυνήγιον ἐλεφάντων ὁμώνυμον αὐτῷ. ἡ δ' ἐν βάθει τούτων χώρα Τηνεσσὶς
32 λέγεται· ἔχουσι δ' αὐτὴν οἱ παρὰ Ψαμμητίχου φυγάδες Αἰγυπτίων, ἐπονο-
μάζονται δὲ Σεμβρῖται — ὡς ἂν ἐπήλυδες —, βασιλεύονται δ' ὑπὸ γυναικός,
771C. ὑφ' ᾗ ἐστι καὶ ἡ Μερόη, πλησίον τῶν τόπων οὖσα τούτων ἐν τῷ Νείλῳ νῆ-
σος· ὑπὲρ ἧς ἄλλη ἐστὶ νῆσος οὐ πολὺ ἄπωθεν ἐν τῷ ποταμῷ, κατοικία
τῶν αὐτῶν τούτων φυγάδων. ἀπὸ δὲ Μερόης ἐπὶ τήνδε τὴν θάλατταν εὐζώ-
4 νῳ ὁδὸς ἡμερῶν πεντεκαίδεκα.

Περὶ δὲ τὴν Μερόην καὶ ἡ συμβολὴ τοῦ τε Ἀσταβόρα καὶ τοῦ Ἀστάπου
καὶ ἔτι τοῦ Ἀστασόβα πρὸς τὸν Νεῖλον. παροικοῦσι δὲ τούτοις οἱ Ῥιζο- **9**
φάγοι καὶ Ἕλειοι προσαγορευόμενοι διὰ τὸ ἐκ τοῦ παρακειμένου ῥιζοτο-
8 μοῦντας ἕλους κόπτειν λίθοις καὶ ἀναπλάσσειν μάζας, ἡλιάσαντας δὲ σι-

771 **3 sq.** Anon. Scor. 298v 18 sq. **6 sq.** *Eust. Op. min. 29, 51 Wirth

19 θαλαττίων X **23** τοῦ excidit ap. Kramerum περιβαλομένου Korais: περιβαλλο- codd. **24 sq.** κατασκευασαμένου Kramer: κατεσκευασμένους codd.; κατεσκευασμέ-νου Xylander **26** ἀστραβόρα E **29** Τοσούχου E (coniecit Korais): το (sic; fort. τὸ ante corr.) σούχου F, τὸ σούχου cett.; τι Σούχου Müller (1038 ad 656,7) **30** ⟨νῆσος καὶ⟩ λιμὴν {καλούμενος} Müller (1038 ad 656,7. GGM 1, LXX. 26) Ἐλαία BCE[i] F[ac] (ut vid.): ἐλέα DE[s] F[pc] σαβᾶ F **31** αὐτῷ C[s] (coniecit Korais): -τῶν cett. τιμισσός F[mg]; Νησίτης? Müller ad Ptol. 4, 7, 10 p.783, 8 **32** Ψαμμητίχου scripsi: ψαμμι- codd. **33** Σεμβρῖται Korais: σαβρίται E, σεβρῖται cett. 771 **1** ᾗ scripsi: ἧν E (scripsit ed. pr.), ἧς cett. (etiam q) τούτων ante οὖσα collocat E **2** ἐστὶ om. E **5** συμβολή ⟨ἐστι⟩? τε om. E ἀσταποῦ F, ἀστάτου B[ac] **6** Ἀστασόβα Korais ('cum codice'): ἀστοσόβα F[mg], ἀσταγάβα cett. **8** ἀναπλάζειν E[pc]; ἀναπλάττειν Meineke

senweise wächst (wachsen in dieser Gegend doch sogar Bäume unter Was-
ser); auch eine große Menge von Seehunden gibt es in dem Fahrwasser.
Dann kommen die Stiere, zwei Berge deren Form aus der Ferne eine gewisse
20 Ähnlichkeit mit den Tieren zeigt, dann ein weiterer Berg mit einem Isishei-
ligtum, einer Zweigstiftung des Sesostris. Dann eine mit Oliven bepflanzte
überspülte Insel und nach ihr Ptolemaïs bei dem Elefantenjagdgebiet, eine
Gründung des Eumedes, der von Philadelphos zu dem Revier geschickt
24 worden war, unbemerkt eine Halbinsel mit Graben und Ringmauer um-
schlossen und dann die dagegen Einschreitenden umgestimmt und aus Fein-
den zu Freunden gemacht hatte; dazwischen ergießt sich ein Abfluss des so- **8**
genannten Astaboras ins Meer, eines Flusses der seinen Ursprung in einem
See hat und zu einem Teil sich ins Meer ergießt, größtenteils aber in den Nil
strömt.

28 Dann kommen sechs Inseln, Latomiai genannt, und danach die soge-
nannte Sabaitische Mündung und im Binnenland eine Festung, gegründet
von Tosuchos; dann ein Hafen, Elaia genannt und die Insel des Straton;
dann ein Hafen Saba und ein Elefantenjagdrevier gleichen Namens. Das
32 Land tief im Binnenland hiervon wird Tenessis genannt; es wird bewohnt
von den dem Psammetichos davongelaufenen Ägyptern, die 'Sembriter' –
soviel wie 'Einwanderer' – genannt werden; sie werden regiert von einer
771 Königin, der auch Meroë untersteht, eine Insel im Nil in der Nähe dieser
Gegend; oberhalb von ihr liegt nicht weit eine weitere Insel in dem Fluss, be-
siedelt von diesen selben Davongelaufenen. Von Meroë sind es zu diesem
4 Meer bei leichter Bepackung fünfzehn Tagereisen.

Bei Meroë ist auch der Zusammenfluss des Astaboras und des Astapus so-
wie des Astasobas mit dem Nil. An diesen Flüssen wohnen die Leute die **9**
Wurzelesser und Sümpfler genannt werden, weil sie aus dem angrenzenden
8 Sumpf Wurzeln schneiden, sie mit Steinen zerstoßen und daraus Fladen

τεῖσθαι. λεοντόβοτα δ' ἐστὶ τὰ χωρία, ταῖς δὲ ὑπὸ Κυνὸς ἐπιτολὴν ἡμέραις
ὑπὸ κωνώπων μεγάλων ἐξελαύνεται τὰ θηρία ἐκ τῶν τόπων. εἰσὶ δὲ καὶ
Σπερμοφάγοι πλησίον, οἳ τῶν σπερμάτων ἐπιλιπόντων ἀπὸ τῶν ἀκροδρύων
12 τρέφονται, σκευάζοντες παραπλησίως ὥσπερ τὰς ῥίζας οἱ Ῥιζοφάγοι.

Μετὰ δὲ τὴν Ἐλαίαν αἱ Δημητρίου σκοπιαὶ καὶ βωμοὶ Κόνωνος. ἐν δὲ
τῇ μεσογαίᾳ καλάμων Ἰνδικῶν φύεται πλῆθος· καλεῖται δὲ ἡ χώρα Κορα-
κίου. ἦν δέ τις ἐν βάθει Ἐνδέρα, γυμνητῶν ἀνθρώπων κατοικία τόξοις
16 χρωμένων καλαμίνοις καὶ πεπυρακτωμένοις ὀϊστοῖς· ἀπὸ δένδρων δὲ τοξεύ-
ουσι τὰ θηρία τὸ πλέον, ἔστι δ' ὅτε καὶ ἀπὸ γῆς. πολὺ δ' ἐστὶ παρ' αὐτοῖς
πλῆθος τῶν ἀγρίων βοῶν· ἀπὸ δὲ τῆς τούτων καὶ τῶν ἄλλων θηρίων κρεο-
φαγίας ζῶσιν, ἐπὰν δὲ μηδὲν θηρεύσωσι, τὰ ξηρὰ δέρματα ἐπ' ἀνθρακιᾶς
20 ὀπτῶντες ἀρκοῦνται τῇ τοιαύτῃ τροφῇ. ἔθος δ' ἐστὶν αὐτοῖς ἀγῶνα τοξείας
προτιθέναι τοῖς ἀνήβοις παισί.

Μετὰ δὲ τοὺς Κόνωνος βωμοὺς ὁ Μήλινος λιμήν· ὑπέρκειται δ' αὐτοῦ
φρούριον Κοράου καλούμενον καὶ κυνήγιον τοῦ Κοράου καὶ ἄλλο φρούριον
24 καὶ κυνήγια πλείω. εἶτα ὁ Ἀντιφίλου λιμὴν καὶ οἱ ὑπὲρ τούτου Κρεοφά-
γοι (κολοβοὶ τὰς βαλάνους καὶ αἱ γυναῖκες Ἰουδαϊκῶς ἐκτετμημέναι). ἔτι **10**
δ' ὑπὲρ τούτων ὡς πρὸς μεσημβρίαν οἱ Κυναμολγοί, ὑπὸ δὲ τῶν ἐντοπίων
Ἄγριοι καλούμενοι, κατάκομοι, καταπώγωνες, κύνας ἐκτρέφοντες εὐμεγέ-
28 θεις, οἷς θηρεύουσι τοὺς ἐπερχομένους ἐκ τῆς πλησιοχώρου βόας Ἰνδικούς,
εἴθ' ὑπὸ θηρίων ἐξελαυνομένους εἴτε σπάνει νομῆς· ἡ δ' ἔφοδος αὐτῶν ἀπὸ
θερινῶν τροπῶν μέχρι μέσου χειμῶνος.

Τῷ δ' Ἀντιφίλου λιμένι ἑξῆς ἐστι λιμὴν καλούμενος Κολοβῶν ἄλσος
32 καὶ Βερενίκη πόλις ἡ κατὰ Σαβὰς καὶ Σαβαὶ πόλις εὐμεγέθης· εἶτα τὸ τοῦ
Εὐμένους ἄλσος. ὑπέρκειται δὲ πόλις Δάραδα καὶ κυνήγιον ἐλεφάντων τὸ

9 λεοντόβοτα D^{pc}: -βατα cett.; λεοντοβότα Kramer   δ' ὑπὸ ed. pr., θ' ὑπὸ tacite Müller
10 ἐξελαύνεται BC^{s}E: -νονται DF, -νεσθαι C^{i} 11 Σπερματοφάγοι ed. pr.   ἐπιλει-
πόντων q   ἀπὸ dubitanter Meineke (3, VI ad 1076, 8): ὑπὸ codd.   13 Ἐλαίαν BE^{i}:
ἐλέαν cett.   σκοπαὶ Casaubonus   14 sq. Κοράκιον? Korais   15 δέ τις xz, Casau-
bonus: δ' ἔτι E, δέ τι cett.   γυμνήτων E, γυμνήτῶν (sic) F   16 οἰστοῖς Meineke
18 sq. κρεοφαγίας BCF: κρεω- DE   19 ἀνθράκων E^{s} 22 δὲ om. E   23 Κοράου
καλούμενον — φρούριον EF: om. cett.   24 οἱ om. Xylander   24 sq. Κρεοφάγοι F:
κρεω- D, κρεα- BCE   27 ⟨καὶ⟩ καταπώγωνες Korais   31 καλούμενος om. E
32 σαβᾶς καὶ σαβαῖ F   33 Εὐμένους D^{pc}E: εὐμενοῦς CD^{ac} (ut vid.) F, εὐμενοὺς B
ἄλσος ⟨καὶ λιμὴν ὁμώνυμος⟩ sim.? vide comm.   Δάραδα BEF: δαραδὰ CD; δαραβὰ z,
ed. pr.

kneten, die sie in der Sonne trocknen und dann verzehren. In dem Land le-
ben Löwen, doch werden die Tiere in den Tagen vor Aufgang des Hunds-
sterns von großen Stechmücken aus der Gegend vertrieben. Es gibt in der
Nähe auch Samenesser, die sich, wenn die Samen ausgehen, von den Baum-
12 früchten ernähren, die sie ähnlich zubereiten wie die Wurzelesser die Wur-
zeln.

Nach Elaia kommen die Warte des Demetrios und die Altäre des Konon.
Im Binnenland wachsen große Mengen Indisches Rohr; das Land wird
'Land des Korakios' genannt. Es gab tief darin Endera, eine Siedlung nackt
16 lebender Menschen, die Bogen aus Rohr und Pfeile mit feuergehärteten
Spitzen gebrauchen; sie schießen die Tiere meistens von Bäumen, manchmal
aber auch vom Boden aus. Es gibt bei ihnen eine große Menge wilder Rin-
der: von ihrem Fleisch und dem der übrigen wilden Tiere leben sie, und
20 wenn sie nichts erlegen, rösten sie die trockenen Häute auf Kohlenfeuer und
begnügen sich mit dieser Nahrung. Sie haben den Brauch, für die nicht-
mannbaren Knaben einen Wettstreit im Bogenschießen zu veranstalten.

Nach den Altären des Konon kommt der Apfelhafen; über ihm liegt die
sogenannte Festung des Koraos und das Jagdrevier des Koraos sowie eine
24 weitere Festung und mehrere Jagdreviere. Dann kommt der Hafen des Anti-
philos und die oberhalb davon lebenden Fleischesser (gestutzt an ihren Ei-
cheln, und ihre Frauen nach Art der Judäer ausgeschnitten). Noch weiter **10**
oberhalb von diesen gen Süden leben die Hundemelker, von den Einheimi-
schen 'die Wilden' genannt: sie haben lang herabhängende Haare und Bärte,
28 und halten stattliche Hunde, mit denen sie die indischen Rinder jagen die
aus dem Nachbarland herüberkommen, sei's weil sie von wilden Tieren ver-
trieben werden sei's aus Mangel an Äsung; ihre Invasion dauert von der
Sommersonnenwende bis zur Mitte des Winters.

Anschließend an den Hafen des Antiphilos kommt ein Hafen der 'Hain
32 der Gestutzten' genannt wird, sowie die Stadt Berenike bei Sabai und Sabai,
eine ansehnliche Stadt. Dann der Hain des Eumenes. Darüber liegt die Stadt

πρὸς τῷ φρέατι καλούμενον· κατοικοῦσι δ' Ἐλεφαντοφάγοι, τὴν θήραν ποι-
772C. ούμενοι τοιαύτην. | ἀπὸ τῶν δένδρων ἰδόντες ἀγέλην διὰ τοῦ δρυμοῦ φε-
ρομένην τῇ μὲν οὐκ ἐπιτίθενται, τοὺς δ' ἀποπλανηθέντας ἐκ τῶν ὄπισθεν
λάθρᾳ προσιόντες νευροκοποῦσι· τινὲς δὲ καὶ τοξεύμασιν ἀναιροῦσιν αὐ-
4 τοὺς χολῇ βεβαμμένοις ὄφεων (ἡ δὲ τοξεία διὰ τριῶν ἀνδρῶν συντελεῖται,
τῶν μὲν κατεχόντων τὸ τόξον καὶ προ(σ)βεβηκότων τοῖς ποσί, τοῦ δ' ἕλ-
κοντος τὴν νευράν)· ἄλλοι δὲ σημειωσάμενοι τὰ δένδρα οἷς εἰώθασι προσ-
αναπαύεσθαι προσιόντες ἐκ θατέρου μέρους τὸ στέλεχος ὑποκόπτουσιν·
8 ἐπὰν οὖν προσιὸν τὸ θηρίον ἀποκλίνῃ πρὸς αὐτό, πεσόντος τοῦ δένδρου
πίπτει καὶ αὐτό, ἀναστῆναι δὲ μὴ δυναμένου διὰ τὸ τὰ σκέλη διηνεκὲς
ὀστοῦν ἔχειν καὶ ἀκαμπές, καταπηδήσαντες ἀπὸ τῶν δένδρων ἀνατέμνουσιν
αὐτό (τοὺς δὲ κυνηγοὺς οἱ νομάδες ἀκαθάρτους καλοῦσιν).

12 Ὑπέρκειται δὲ τούτων ἔθνος οὐ μέγα Στρουθοφάγων, παρ' οἷς ὄρνεις **11**
εἰσὶ μέγεθος ἐλάφων ἔχοντες, πέτασθαι μὲν οὐ δυνάμενοι, θέοντες δὲ
ὀξέως καθάπερ οἱ στρουθοκάμηλοι. θηρεύουσι δ' αὐτοὺς οἱ μὲν τόξοις, οἱ
δὲ ταῖς δοραῖς τῶν στρουθῶν σκεπασθέντες τὴν μὲν δεξιὰν καλύπτουσι
16 τῷ τραχηλιμαίῳ μέρει καὶ κινοῦσιν οὕτως ὥσπερ τὰ ζῷα κινεῖται τοῖς
τραχήλοις, τῇ δὲ ἀριστερᾷ σπέρμα προχέουσιν ἀπὸ πήρας παρηρτημένης
καὶ τούτῳ δελεάσαντες τὰ ζῷα εἰς φάραγγας συνωθοῦσιν· ἐνταῦθα δ' ἐφεσ-
τῶτες ξυλοκόποι κατακόπτουσι. καὶ ἀμπέχονται δὲ καὶ ὑποστόρνυνται τὰ
20 δέρματα ταῦτα. πολεμοῦσι δὲ τούτοις οἱ Σιμοὶ καλούμενοι Αἰθίοπες κέρα-
σιν ὀρύγων ὅπλοις χρώμενοι.

Πλησιόχωροι δὲ τούτοις εἰσὶν Ἀκριδοφάγοι, μελανώτεροί τε τῶν ἄλλων **12**
καὶ βραχύτεροι καὶ βραχυβιώτατοι· τὰ γὰρ τετταράκοντα ἔτη σπανίως
24 ὑπερτιθέασιν, ἀποθηριουμένης αὐτῶν τῆς σαρκός. ζῶσι δ' ἀπὸ ἀκρίδων, ἃς
οἱ ἐαρινοὶ λίβες καὶ ζέφυροι πνέοντες μεγάλοι συνελαύνουσιν εἰς τοὺς τό-

772 **22** *Eust. Op. min. 29, 50 sq. Wirth **23 sq.** Eust. D. P. 326, 22–4

772 **2** τοῦ pro τῶν? **5** add. Wesseling (Diod. 1, 178[17]) **9** διηνεκὲς DE: -νεγκὲς BCF **12** στρουθοφάγον F **13** πέτασθαι Kramer: πέτεσθαι D^{pc}, πετᾶσθαι cett. **16** οὕτως E: -τω cett. **19** ὑποστόρνυνται DEF: -στρώννυνται BC **20** Σιμοὶ E^{s} (coniecit Casaubonus [Σίμοι scribens]): σίλλοι cett. **22** τούτων E Ἀκριδοφάγοι F^{mg} (h. l. inserui [et εἰσι⟨ν⟩ scripsi]: post 23 βραχυβιώτατοι [ubi οἱ Ἀκριδοφάγοι addiderat Korais] Kramer): om. cett. **24** ἀποτεθηριουμένης (sic) E αὐτῶν post τῆς σαρκὸς collocat E

Darada und ein Elefantenjagdrevier das 'das bei der Zisterne' genannt wird;
dort wohnen die Elefantenesser, die die Jagd folgendermaßen anstellen.
772 Wenn sie aus den Bäumen eine Herde gesichtet haben die durch den Wald
zieht, greifen sie nicht diese an sondern beschleichen die von ihr Abge-
schweiften von hinten und schneiden ihnen die Sehnen durch; Manche erle-
4 gen sie auch mit in Schlangengalle getauchten Pfeilen (das Schießen ge-
schieht durch drei Männer: zwei halten den Bogen fest und stemmen die Fü-
ße dagegen, der dritte zieht die Sehne); Andere merken sich die Bäume, an
die gelehnt die Tiere sich auszuruhen pflegen, gehen hin und schlagen den
8 Stamm auf der anderen Seite an: wenn dann das Tier kommt und sich gegen
ihn lehnt, fällt es mit dem Baum auch selber um, und da es nicht aufstehen
kann, weil seine Beine einen durchgehenden Knochen ohne Gelenk haben,
springen sie von den Bäumen herab und zerschneiden es (die Jäger werden
von den Nomaden 'Unreine' genannt).

12 Oberhalb von diesen lebt das nicht sehr große Volk der Struthophagen, **11**
bei denen es Vögel so groß wie Rehe gibt, die nicht fliegen können, aber
schnell laufen wie die Straußkamele. Sie jagen sie teils mit Pfeil und Bogen,
Andere aber bedecken sich mit dem Fell der *struthoi*, hüllen den rechten
16 Arm in das Halsstück und bewegen ihn so wie die Tiere ihre Hälse bewegen,
und streuen mit der Linken Samen aus einem umgehängten Beutel, womit
sie die Tiere locken und in Schluchten zusammentreiben: dort stehen Keu-
lenträger, die sie niederknüppeln. Diese Felle gebrauchen sie nicht nur als
20 Kleidung sondern auch um darauf zu liegen. Mit ihnen führen die soge-
nannten Stupsnasen-Äthiopen Krieg, die Antilopenhörner als Waffe gebrau-
chen.

Diesen benachbart sind die Heuschreckenesser, die dunkelhäutiger und **12**
kürzer gewachsen sind als die Übrigen und sehr kurzlebig: werden sie doch
24 selten älter als vierzig Jahre, da ihr Fleisch zu Tieren wird. Sie leben von
Heuschrecken, die im Frühling von den starken West- und Südwestwinden

πους τούτους· ἐν ταῖς χαράδραις δὲ ἐμβαλόντες ὕλην καπνώδη καὶ ὑφάψαντες μικρὸν * * *· ὑπερπετάμεναι γὰρ τὸν καπνὸν σκοτοῦνται καὶ πίπτουσι·
28 συγκόψαντες δ' αὐτὰς μεθ' ἁλμυρίδος μάζας ποιοῦνται καὶ χρῶνται. τούτων δ' ἔρημος ὑπέρκειται μεγάλη νομὰς δαψιλεῖς ἔχουσα, ἐκλειφθεῖσα δ' ὑπὸ πλήθους σκορπίων καὶ φαλαγγίων τῶν τετραγνάθων καλουμένων ἐπιπολάσαντός ποτε καὶ ἀπεργασαμένου τοῖς ἀνθρώποις φυγὴν παντελῆ.

32 Μετὰ δὲ Εὐμένους λιμένα μέχρι Δείρης καὶ τῶν κατὰ τὰς ἓξ νήσους **13** στενῶν Ἰχθυοφάγοι καὶ Κρεοφάγοι κατοικοῦσι | καὶ Κολοβοὶ μέχρι τῆς μεσογαίας (εἰσὶ δὲ καὶ θῆραι πλείους ἐλεφάντων καὶ πόλεις ἄσημοι καὶ νησία πρὸ τῆς παραλίας)· νομάδες δ' οἱ πλείους, ὀλίγοι δ' οἱ γεωργοῦντες· παρά
[773C.]
4 τισι δὲ τούτων φύεται στύραξ οὐκ ὀλίγος. συνάγουσι δὲ ταῖς ἀμπώτεσιν οἱ Ἰχθυοφάγοι τοὺς ἰχθῦς, ἐπιρρίψαντες δὲ ταῖς πέτραις κατοπτῶσι πρὸς τὸν ἥλιον, εἶτ' ἐξοστεΐσαντες τὰς ἀκάνθας μὲν σωρεύουσι, τὴν δὲ σάρκα πατήσαντες μάζας ποιοῦνται, πάλιν δὲ ταύτας ἡλιάζοντες σιτοῦνται. χει-
8 μῶνος δ' ἀδυνατήσαντες συνάγειν τοὺς ἰχθῦς τὰς σεσωρευμένας ἀκάνθας κόψαντες μάζας ἀναπλάττονται καὶ χρῶνται, τὰς δὲ νεαρὰς ἐκμυζῶσιν. ἔνιοι δὲ τὰς κόγχας ἐχούσας τὴν σάρκα σιτεύουσι καταβάλλοντες εἰς χαράδρια καὶ συστάδας θαλάττης· εἶτ' ἰχθύδια παραρριπτοῦντες τροφὴν αὐταῖς
12 χρῶνται ἐν τῇ τῶν ἰχθύων σπάνει. ἔστι δ' αὐτοῖς καὶ ἰχθυοτροφεῖα παντοῖα, ἀφ' ὧν ταμιεύονται. ἔνιοι δὲ τῶν τὴν ἄνυδρον παραλίαν οἰκούντων διὰ πέντε ἡμερῶν ἐπὶ τὰ ὑδρεῖα ἀναβαίνουσι πανοικὶ μετὰ παιανισμοῦ, ῥιφέντες δὲ πρηνεῖς πίνουσι βοῶν δίκην ἕως ἐκτυμπανώσεως τῆς γαστρός, εἶτ'
16 ἀπίασιν ἐπὶ θάλατταν πάλιν. οἰκοῦσι δ' ἐν σπηλαίοις ἢ μάνδραις στεγασ-

32 St. B. 223, 20 sq. 773 **15** Anon. Scor. 298ᵛ 19 sq.

26 ἐμβαλόντες E^{pc}: -βάλλοντες cett. **27** post μικρὸν spatium vacuum c. 6 litt. (vel plurium, si compendiose scribas) est in E; quaedam excidisse vidit Groskurd, ipse ⟨ῥᾳδίως θηρεύουσι τὰς ἀκρίδας⟩ supplens; ⟨θηρεύουσι (vel λαμβάνουσι) αὐτὰς⟩ Kramer; ego ⟨ὕστερον πλῆθος αὐτῶν συλλέγουσιν⟩ sim. suppleverim, cf. comm. ὑπερπετόμεναι D^{pc}E, ὑπερπετώμεναι D^{ac} **29** μεγάλη E: om. cett. ἐκλειφθεῖσα E (coniecit Casaubonus): -θείσας cett. **32** Εὐμένους DE: εὐμενοῦς BCF^{ac}, εὐμενοὺς F^{pc} Δείρης scripsi (vide 769, 1 sq. comm.): δηρῆς E, δειρῆς cett. **33** Κρεοφάγοι BCF: κρεω- DE 773 **4** ἀμπώτεσιν ed. pr.: -τισιν codd. **6** ἐξοστεΐσαντες Madvig (Adv. 1, 563): -οπτήσαντες codd.; -οστώσαντες? (nisi vox delenda) Korais **7** πτίσαντες $D^{γρ}$ **8** ἀδυνατῶντες D^{ac} **11** παραρριπτοῦντες D: παραριπτοῦντες F^{mg}, παροπτῶντες cett. **12** ἰχθυοτροφεῖα E: -τρόφια BCD, -τροφία F παντοία F **13** ταμιεύσονται (an τω-?) F **14** πανοικὶ CDE: πανοικῖ B^{ac} (ut vid.), πανοικεῖ B^{pc}, πανοικεῖου (sic) F, πανοίκιοι Meineke (Vind. 235)

in diese Gegenden zusammengetrieben werden: sie werfen Holz das viel Rauch entwickelt in die Sturzbachrinnen, zünden es an ⟨und können⟩ wenig ⟨später eine reiche Beute von diesen Tieren einfangen⟩, denn wenn sie über
28 den Rauch fliegen, werden sie schwindlig und fallen zu Boden; sie zerstoßen sie, machen mit Salzwasser Fladen daraus und verzehren sie. Oberhalb von ihnen ist eine große Einöde, die üppige Weiden hat, aber verlassen worden ist wegen der Menge der Skorpione und der sogenannten vierkiefrigen Spinnen, die einst dort überhand genommen und eine vollständige Flucht der Menschen bewirkt hat.

32 Nach dem Hafen des Eumenes wohnen bis nach Deire und der Enge bei **13** den sechs Inseln Fischesser und Fleischesser, sowie Gestutzte bis ins Binnenland (es gibt auch mehrere Elefantenjagdgebiete und unbedeutende Städte und kleine Inseln vor der Küste); die Meisten sind Nomaden, nur Wenige
[773]
4 bearbeiten das Land; bei Manchen von ihnen wächst Styrax in nicht geringen Mengen. Die Fischesser sammeln die Fische während der Ebbe, werfen sie auf die Felsen und backen sie so an der Sonne; dann entgräten sie sie, werfen die Gräten auf einen Haufen, zertreten das Fleisch und bilden daraus Fladen, die sie wieder in die Sonne legen und dann verzehren. Im Win-
8 ter, wenn sie die Fische nicht sammeln können, zerstoßen sie die angehäuften Gräten, formen daraus Fladen und essen sie; die frischen Gräten saugen sie aus. Manche essen die fleischhaltigen Muscheln, die sie in Gräben und Meerestümpel legen; dann werfen sie ihnen kleine Fische als Nahrung vor
12 und verzehren sie in der fischarmen Zeit. Sie haben auch alle möglichen Fischteiche, aus denen sie sich Portionen nehmen. Manche die an der wasserlosen Küste wohnen, steigen alle fünf Tage mit ihrer ganzen Familie unter Heilgesängen hinauf zu den Wasserstellen, werfen sich vornüber zu Boden und trinken wie die Rinder bis zur Aufschwellung des Bauches; dann
16 gehen sie wieder zurück zum Meer. Sie wohnen in Grotten oder überdeck-

ταῖς ἀπὸ δοκῶν μὲν καὶ στρωτήρων τῶν κητείων ὀστέων καὶ ἀκανθῶν,
φυλλάδος δ' ἐλαΐνης· οἱ δὲ Χελωνοφάγοι τοῖς ὀστράκοις αὐτῶν σκεπάζονται 14
μεγάλοις οὖσιν (ὥστε καὶ πλεῖσθαι ἐν αὐτοῖς)· ἔνιοι δὲ τοῦ φύκους ἀπο-
20 βεβλημένου πολλοῦ καὶ θῖνας ὑψηλὰς καὶ λοφώδεις ποιοῦντος ὑπορύττον-
τες ταύτας ὑποικοῦσι. τοὺς δὲ νεκροὺς ῥίπτουσι τροφὴν τοῖς ἰχθύσιν,
ἀναλαμβανομένους ὑπὸ τῶν πλημμυρίδων.

Τῶν δὲ νήσων τινὲς τρεῖς ἐφεξῆς κεῖνται, ἡ μὲν Χελωνῶν, ἡ δὲ Φω-
24 κῶν, ἡ δ' Ἱεράκων λεγομένη. πᾶσα δ' ἡ παραλία φοινικάς τε ἔχει καὶ ἐλαι-
ῶνας καὶ δαφνῶνας, οὐχ ἡ ἐντὸς τῶν στενῶν μόνον, ἀλλὰ καὶ τῆς ἐκτὸς
πολλή. ἔστι δέ τις καὶ Φιλίππου νῆσος, καθ' ἣν ὑπέρκειται τὸ Πυθαγγέλου
καλούμενον τῶν ἐλεφάντων κυνήγιον· εἶτ' Ἀρσινόη πόλις καὶ λιμὴν καὶ
28 μετὰ ταῦτα ἡ Δείρη· καὶ τούτων ⟨δ'⟩ ὑπέρκειται θήρα τῶν ἐλεφάντων.

Ἀπὸ δὲ τῆς Δείρης ἡ ἐφεξῆς ἐστιν ἀρωματοφόρος. πρώτη μὲν ἡ τὴν
σμύρναν φέρουσα, καὶ αὕτη μὲν Ἰχθυοφάγων καὶ Κρεοφάγων· φύει δὲ καὶ
περσέαν καὶ συκάμινον Αἰγύπτιον. ὑπέρκειται δ' ἡ Λίχα θήρα τῶν ἐλεφάν-
32 των· πολλαχοῦ δ' εἰσὶ συστάδες τῶν ὀμβρίων ὑδάτων, ὧν ἀναξηρανθεισῶν
οἱ ἐλέφαντες ταῖς προβοσκίσι καὶ τοῖς ὀδοῦσι φρεωρυχοῦσι καὶ ἀνευρίσ-
774C. κουσιν ὕδωρ. | ἐν δὲ τῇ παραλίᾳ ταύτῃ μέχρι τοῦ Πυθολάου ἀκρωτηρίου
δύο λίμναι εἰσὶν εὐμεγέθεις, ἡ μὲν ἁλμυροῦ ὕδατος — ἣν καλοῦσι θάλατ-
ταν —, ἡ δὲ γλυκέος, ἣ τρέφει καὶ ἵππους ποταμίους καὶ κροκοδείλους,
4 περὶ τὰ χείλη δὲ πάπυρον· ὁρῶνται δὲ καὶ ἴβεις περὶ τὸν τόπον. ἤδη δὲ
καὶ οἱ πλησίον τῆς ἄκρας τῆς Πυθολάου τὰ σώματα ὁλόκληροί εἰσι.

Μετὰ δὲ τούτους ἡ λιβανωτοφόρος. ἐνταῦθα ἄκρα ἐστὶ καὶ ἱερὸν αἰ-
γειρῶνα ἔχον. ἐν δὲ τῇ μεσογαίᾳ ποταμία τις Ἴσιδος λεγομένη καὶ ἄλλη
8 τις Νεῖλος, ἄμφω καὶ σμύρναν καὶ λίβανον παραπεφυκότα ἔχουσαι. ἔστι δὲ
καὶ δεξαμενή τις τοῖς ἐκ τῶν ὀρῶν ὕδασι πληρουμένη καὶ μετὰ ταῦτα Λέ-

28 sq. St. B. 223, 20 sq. **32** Anon. Scor. 298v 20 **33** Anon. Scor. 298v 18

20 ποιοῦντος E (coniecit Korais): -τες cett. **23** οἰκοῦνται pro κεῖνται D **24** φοινικῶνας X (coniecit Korais; *palmeta* iam verterat Tifernate, *palmetis* Guarino ms.) **26** καὶ om. F **28** Δείρη scripsi (vide 769, 1 sq. comm.): δειρή codd., St. B. addidi **29** Δείρης scripsi: δειρῆς codd., St. B. ἐστιν om. C **30** αὐτὴ F {μὲν}? Κρεοφάγων BCD[pc]F: κρεω- D[ac]E **31** περσέαν E: -σαίαν cett. **32** ἀναξηρανθέντων D[ac], ut vid. **774 1** Πυθολάου E: πιθ- cett. (def. Biffi) **4** περὶ δὲ τὰ χείλη πάπυρον q **5** τοῦ pro τῆς post. E Πυθολάου E: πιθ- cett. (def. Biffi) **8** ἔχουσα E **9 sq.** Λέοντος σκοπὴ Korais: λεοντοσκοπὴ E, λεοντοσκόπη B[pc] DF, λέοντος κόπη B[ac] C

ten Pferchen; für diese gebrauchen sie als Balken und Sparren die Knochen
und Gräten riesiger Fische, als Bedeckung Olivenlaub; die Schildkrötenesser 14
gebrauchen als Obdach deren Schalen, die so groß sind dass sie auch als
20 Boot dienen; und wo der Tang in großen Mengen ausgeworfen ist und hohe
hügelartige Haufen bildet, untergraben Manche diese und wohnen darun-
ter. Die Toten werfen sie als Futter für die Fische ans Ufer, wo sie von der
Flut mitgenommen werden.

Von den Inseln liegen drei in einer Reihe; sie werden Schildkröten-, Rob-
24 ben- und Falkeninsel genannt. Die ganze Küste trägt Dattelpalmen, Oliven-
und Lorbeerhaine – nicht nur die Küste innerhalb der Meeresenge, sondern
auch ein großer Teil der außerhalb liegenden. Es gibt auch eine Insel des
Philippos, der gegenüber oberhalb das sogenannte Elefantenjagdrevier des
28 Pythangelos liegt; dann kommt die Stadt und der Hafen Arsinoë und da-
nach Deire; auch oberhalb von diesen liegt ein Elefantenjagdgebiet.

Von Deire an trägt das anschließende Land Spezereien. Erst das Land in
dem die Myrrhe wächst, und zwar gehört dies den Fischessern und den
Fleischessern; es bringt auch Persea und Ägyptische Maulbeere hervor.
32 Oberhalb liegt das Elefantenjagdgebiet des Lichas; an vielen Stellen gibt es
Ansammlungen von Regenwasser – wenn sie aufgetrocknet sind, leisten die
Elefanten mit ihren Rüsseln und ihren Zähnen Brunnengrabungsarbeit und
774 finden Wasser. An dieser Küste bis zum Vorgebirge des Pytholaos gibt es
zwei stattliche Seen: einen mit salzigem Wasser – den man 'Meer' nennt –
4 und einen mit süßem, der Flusspferde und Krokodile und an seinen Rändern
Papyrus nährt; auch kann man an dem Ort Ibisse erblicken. Auch sind die
Leute in der Nähe der Landspitze des Pytholaos nicht mehr verstümmelt an
ihren Körpern.

Nach diesen kommt das Weihrauchland. Dort gibt es eine Landspitze
und ein Heiligtum mit einem Pappelhain. Im Binnenland gibt es ein Flusstal,
8 'Isistal', und ein anderes, 'Nil' genannt: in beiden wächst am Fluss entlang
sowohl Myrrhe als Weihrauch. Es gibt auch ein Becken das sich mit den
Wassern aus den Bergen füllt, und danach die Warte des Leon und den Ha-

οντος σκοπὴ καὶ Πυθαγγέλου λιμήν. ἡ δ' ἑξῆς ἔχει καὶ ψευδοκασίαν. συν-
εχῶς δ' εἰσὶ ποταμίαι τε πλείους ἔχουσαι λίβανον παραπεφυκότα καὶ πο-
12 ταμοὶ μέχρι τῆς Κινναμωμοφόρου. ὁ δ' ὁρίζων ταύτην ποταμὸς φέρει καὶ
φλοῦν πάμπολυν. εἶτ' ἄλλος ποταμὸς καὶ Δαφνοῦς λιμὴν καὶ ποταμία Ἀπόλ-
λωνος καλουμένη, ἔχουσα πρὸς τῷ λιβάνῳ καὶ σμύρναν καὶ κιννάμωμον
(τοῦτο δὲ πλεονάζει μᾶλλον περὶ τοὺς ἐν βάθει τόπους). εἶθ' ὁ Ἐλέφας
16 τὸ ὄρος ἐκκείμενον εἰς θάλατταν καὶ διῶρυξ καὶ ἐφεξῆς Ψυγμοῦ λιμὴν
μέγας καὶ ὕδρευμα τὸ κυνοκεφάλων καλούμενον καὶ ⟨τὸ⟩ τελευταῖον ἀκρω-
τήριον τῆς παραλίας ταύτης, τὸ Νότου κέρας. κάμψαντι δὲ τοῦτο ὡς ἐπὶ
μεσημβρίαν οὐκέτι, φησίν, ἔχομεν λιμένων ἀναγραφὰς οὐδὲ τόπων διὰ τὸ
20 μηκέτ' εἶναι γνώριμον †ἐν τῇ δὲ ἑξῆς παραλίᾳ†.

Εἰσὶ ⟨δὲ⟩ καὶ στῆλαι καὶ βωμοὶ Πυθολάου καὶ Λίχα καὶ Πυθαγγέλου **15**
καὶ Λέοντος καὶ Χαριμόρτου κατὰ τὴν γνώριμον παραλίαν τὴν ἀπὸ Δείρης
μέχρι Νότου κέρως, τὸ δὲ διάστημα οὐ γνώριμον. πληθύει δ' ἐλέφασιν ἡ
24 χώρα καὶ λέουσι τοῖς καλουμένοις μύρμηξιν (ἀπεστραμμένα δ' ἔχουσι τὰ
αἰδοῖα καὶ χρυσοειδεῖς ⟨εἰσι⟩ τὴν χρόαν, ψιλότεροι δὲ τῶν κατὰ τὴν
Ἀραβίαν), φέρει δὲ καὶ παρδάλεις ἀλκίμους καὶ ῥινοκέρωτας. οὔτε δὲ μι-
κρὸν ἀπολείπονται τῶν ἐλεφάντων οἱ ῥινοκέρωτες, ὥσπερ Ἀρτεμίδωρός φη-
28 σιν ἐπισύρων (fr. 97 Stiehle), τῷ μήκει, καίπερ ἑωρακέναι φήσας ἐν Ἀλεξ-
ανδρείᾳ, ἀλλὰ σχεδόν τι ὅσον τῷ ὕψει ἀπό γε τοῦ ὑφ' ἡμῶν ὁραθέντος·

17 Tz. Chil. 7, 714 22 St. B. 223, 20 sq.

10 καὶ post. om. E ψευδοκασίαν D^{i}F: -κασσίαν cett. **10 sq.** συνεχεῖς? Korais **11** ποτάμιαι τε (sic) per errorem Kramer, Meineke (unde ποτάμιαί τε Müller) τε om. E **12** Κινναμωμοφόρου B^{s}C: κιναμωμοφόρου $D^{s}E^{s}$F, κινναμωφόρου B^{i}, κιναμωφόρου D^{i}, κιναμοφόρου E^{i} **14** κινάμωμον EF **15** πλεονάζει F^{mg} (coniecit Korais): πλέον ἀκμάζει cett. **16** τὸ om. F διῶρυξ E: διώρυξ cett. Ψυγμοῦ B^{mg} C^{mg} F^{mg}: γυμνοῦ cett. **17** λεγόμενον D addidi **20** ἐν τῇ δὲ B^{ac} CD: ἐν δὲ τῇ B^{pc} F verba ἐν — παραλίᾳ om. E γνώριμα τὰ ἐν τῇ ἑ. π. Korais, γνώριμον οὐδὲν (debebat μηδὲν) ἐν τῇ ἑ. π. Groskurd, γνώριμον τὴν ἑ. παραλίαν Kramer, γνώριμόν τι τῶν ἐν τῇ ἑ. π.? Müller (1039 ad 659, 10), γνώριμον ἑνὶ ναύτῃ τὴν ἑ. παραλίαν? Holwerda; vide etiam ad 20–2 **20–2** γνώριμον. ἐν δὲ τῇ ἑ. π. εἰσὶ καὶ στῆλαι et Χαριμόρτου ⟨, καθάπερ⟩ Madvig (Adv. 1, 563) **21** add. Korais πιθολάου D (def. Biffi) **22** Δείρης scripsi (vide 769, 1 sq. comm.): δειρῆς codd. **23** τὰ δὲ διαστήματα οὐ γνώριμα? **25** αἰδοῖα ⟨. οἱ ἄλλοι δὲ λέοντες ἐνταῦθά εἰσι ὁμαλοὶ⟩ e. g. Müller (GGM 1, 158 ad § 68) coll. Agatharch. (vide comm.) {καὶ} Groskurd χρυσοειδῆ E addidi duce Kramer ψιλότεροι D^{pc}: ψιλώ- cett. **26** οὔτε scripsi: οὗτοι codd.; οὔτοι Madvig (Adv. 1, 563) **27** ⟨οὐχ⟩ ὥσπερ Korais **28** ἐπισύρων Madvig (Adv. 1, 563): ἐπὶ σειρὰν codd. **29** ὑφ' D: ἀφ' cett.

fen des Pythangelos. Das anschließende Land bringt auch Pseudokasia her-
12 vor. Es folgen mehrere mit Weihrauch bewachsene Flusstäler und Flüsse bis
zum Zimtland. In dem Fluss der letzteres begrenzt gibt es auch sehr viel Bin-
senschilf. Dann kommt ein weiterer Fluss, der Hafen Daphnus und das so-
genannte Apollon-Flusstal, in dem es außer Weihrauch auch Myrrhe und
Zimt gibt (letzterer ist häufiger in den tiefer im Land liegenden Gegenden).
16 Dann der Berg Elefant, der ins Meer hinausragt, und ein Kanal und an-
schließend der große Trockungshafen, die sogenannte Wasserstelle der
Hundsköpfe und das letzte Vorgebirge dieser Küste, das Südhorn. Umrun-
det man dies nach Süden, dann haben wir, sagt er, keine Verzeichnisse mehr
20 von Häfen und Örtlichkeiten, da * * * nicht mehr bekannt ist.

Es gibt an der bekannten Küste von Deire bis zum Südhorn auch Tafeln **15**
und Altäre des Pytholaos, des Lichas, des Pythangelos, des Leon und des
Charimortos, doch ist die Entfernung nicht bekannt. Das Land hat eine
24 Fülle von Elefanten und von den Löwen die 'Ameisen' genannt werden (sie
haben rückgewandte Genitalien und sind goldfarbig, aber nicht so dicht be-
haart wie die arabischen), und bringt auch grimmige Leoparden und Nas-
hörner hervor. Die Nashörner bleiben in der Länge nicht, wie Artemidor
28 (fr. 97 Stiehle) schludrigerweise angibt (obwohl er behauptet, sie in Ale-
xandrien gesehen zu haben), wenig hinter den Elefanten zurück, sondern,
nach dem Exemplar zu urteilen das wir gesehen haben, etwa ebensoviel wie

οὔτε πύξῳ τὸ χρῶμα ἐμφερές, ἀλλ' ἐλέφαντι μᾶλλον. μέγεθος δ' ἐστὶ ταύ-
ρου· μορφὴ δ' ἐγγυτάτω συάγρου, καὶ μάλιστα κατὰ τὴν προτομήν, πλὴν
32 τῆς ῥινός, ὅτι ἐστὶ κέρας σιμὸν στερεώτερον ὀστέου παντός· χρῆται δ'
ὅπλῳ, καθάπερ καὶ τοῖς ὀδοῦσιν ὁ σύαγρος· ἔχει δὲ καὶ τύλους δύο ὡς
775C. ἂν σπείρας δρακόντων | ἀπὸ τῆς ῥάχεως μέχρι τῆς γαστρὸς περικειμένας,
τὴν μὲν πρὸς τῷ λόφῳ, τὴν δὲ πρὸς τῇ ὀσφύϊ. ἐκ μὲν δὴ τοῦ ὑφ' ἡμῶν
ὁραθέντος ταῦτά φαμεν ἡμεῖς· ἐκεῖνος δὲ προσδιασαφεῖ διότι καὶ ἐλεφαν-
4 τομάχον ἰδίως ἐστὶ τὸ ζῷον περὶ τῆς νομῆς, ὑποδῦνον τῇ προτομῇ καὶ
ἀνακεῖρον τὴν γαστέρα, ἐὰν μὴ προληφθῇ τῇ προβοσκίδι καὶ τοῖς ὀδοῦσι.

Γίνονται δ' ἐν τούτοις τοῖς τόποις καὶ αἱ καμηλοπαρδάλεις, οὐδὲν **16**
ὅμοιον ἔχουσαι παρδάλει. τὸ γὰρ ποικίλον τῆς χρόας νεβρίσι μᾶλλον ἔοικε
8 ῥαβδωτοῖς σπίλοις κατεστιγμέναις· τελέως δὲ τὰ ὀπίσθια ταπεινότερα τῶν
ἐμπροσθίων ἐστίν, ὥστε δοκεῖν συγκαθῆσθαι τῷ οὐραίῳ μέρει τὸ ὕψος βοὸς
ἔχοντι· τὰ δὲ ἐμπρόσθια σκέλη τῶν καμηλείων οὐ λείπεται· τράχηλος δ'
εἰς ὕψος ἐξηρμένος ὀρθός, τὴν κορυφὴν δὲ πολὺ ὑπερπετεστέραν ἔχει τῆς
12 καμήλου. διὰ δὲ τὴν ἀσυμμετρίαν ταύτην οὐδὲ τάχος οἶμαι τοσοῦτον εἶναι
περὶ τὸ ζῷον ὅσον εἴρηκεν Ἀρτεμίδωρος, ἀνυπέρβλητον φήσας (fr. 98 Stieh-
le). ἀλλ' οὐδὲ θηρίον ἐστίν, ἀλλὰ βόσκημα μᾶλλον· οὐδεμίαν γὰρ ἀγριό-
τητα ἐμφαίνει.

16 Γίνονται δέ, φησί, καὶ σφίγγες καὶ κυνοκέφαλοι καὶ κῆβοι, λέοντος
μὲν πρόσωπον ἔχοντες, τὸ δὲ λοιπὸν σῶμα πάνθηρος, μέγεθος δὲ δορκάδος.
καὶ ταῦροι δ' εἰσὶν ἄγριοι καὶ σαρκοφάγοι, μεγέθει πολὺ τοὺς παρ' ἡμῖν
ὑπερβεβλημένοι καὶ τάχει, πυρροὶ τὴν χρόαν. κροκούττας δ' ἐστὶ μίγμα
20 λύκου καὶ κυνός, ὥς φησιν οὗτος (ibid.). ἃ δ' ὁ Σκήψιος λέγει Μητρόδωρος
ἐν τῷ Περὶ συνηθείας βιβλίῳ (FGrHist 184 F 5) μύθοις ἔοικε καὶ οὐ φρον-
τιστέον αὐτῶν. καὶ δρακόντων δ' εἴρηκε μεγέθη τριάκοντα πηχῶν ὁ Ἀρτε-

775 **6–12** Anon. Scor. 298^{v} 20 sq. **16** Tz. Chil. 7, 714

30 οὐδὲ pro οὔτε Meineke **30 sq.** ταύρου EF: τοῦ ταύρου BCD **31** ἐγγυτάτω DE: ἐγγύτατος BCF (def. Crönert MGH 181) **33** τύλους EF: στύλους BCD; τύλας Tyrwhitt (44) 775 **3 sq.** ἐλεφαντομάχον EF: -τόμαχον BCD **6** γίνονται BE: γίγν- CDF **8** σπίλοις F (coniecit Salmasius, Historiae Augustae scriptores VI, Parisiis 1620, 512 D [secunda paginarum series]): πίλοις BCD, τύλοις E κατεστιγμέναις q: -μέναι BCDEF **9** συγκαθῆσθαι DE: -εῖσθαι BF, -ίσθαι C **10** μέρη pro σκέλη E καμηλείων E: -λίων cett. **11** ἐξηρμένος D: ἐξηρτημένος cett. καὶ ante τὴν add. E τοῦ post τῆς add. D, τῆς duplicat C **16** γίνονται B: γίγν- cett. κῆβοι DEF^{t}: κῆποι BC, κῆτοι F^{mg} **19** κροκόττας Cobet ms. μῖγμα BD^{ac} **21** βυβλίῳ BF **22** καὶ δρ. μεγέθη εἴρηκε D

in der Höhe. Auch ist ihre Farbe nicht wie von Buchsbaumholz, sondern
eher wie von Elfenbein. Sie haben die Größe eines Stiers und ihre Gestalt
kommt dem Wildschwein am nächsten, besonders am Kopfende, abgesehen
32 von der Nase, da diese ein aufgestülptes Horn ist, härter als jeder Knochen:
das Tier gebraucht es als Waffe, wie das Wildschwein seine Zähne. Es hat
775 auch zwei Schwielen, die wie Schlangenwindungen vom Rückgrat bis zum
Bauch um seinen Körper liegen, die eine beim Nacken, die andere bei der
Hüfte. Das ist was *wir* aufgrund des Exemplars das wir gesehen haben sa-
gen können; jener macht noch die zusätzliche Angabe dass das Tier um die
4 Äsung speziell mit dem Elefanten kämpft, wobei es mit dem Kopfende unter
ihn fährt und ihm den Bauch aufreißt, falls der Elefant ihm nicht mit dem
Rüssel und den Zähnen zuvorgekommen ist.

In diesen Gegenden gibt es auch die Kamelpardeln, die gar keine Ähn- **16**
lichkeit mit dem Leoparden haben. Erinnert ihre buntscheckige Zeichnung
8 doch eher an mit gestreiften Flecken gesprenkelte Rehkitzfelle; und der
Hinterteil fällt so vollständig gegen den Vorderteil ab dass es aussieht als
sitze das Tier mit dem Schwanzteil, der die Höhe eines Rindes hat; die Vor-
derbeine dagegen sind nicht weniger lang als die des Kamels und der Hals
12 erhebt sich gerade in die Höhe und trägt den Kopf viel höher als das Kamel.
Wegen dieser Unausgewogenheit glaube ich auch nicht dass das Tier eine
solche Schnelligkeit besitzt wie Artemidor behauptet, der sagt (fr. 98
Stiehle), sie sei nicht zu übertreffen. Aber es ist auch überhaupt kein wildes
Tier, sondern eher ein Zuchttier: zeigt es doch gar keine Wildheit.

16 Es gibt, sagt er, auch Sphingen und Hundsköpfe und Keboi, die das Ge-
sicht eines Löwen, im übrigen aber den Körper eines Panthers und die Grö-
ße einer Gazelle haben. Auch gibt es wilde, fleischfressende Stiere, die an
Größe und Schnelligkeit die bei uns weit übertreffen und eine rötliche Farbe
20 haben. Der Krokuttas ist eine Mischung von Wolf und Hund, wie jener sagt
(ebd.). Was dagegen der Skepsier Metrodoros in seinem Buch *Über Ge-
wohnheit* sagt (FGrHist 184 F 5) klingt nach Fabeln und verdient keine Be-
achtung. Artemidor spricht auch (ebd.) von riesigen, dreißig Ellen langen

μίδωρος (ibid.) ἐλέφαντας καὶ ταύρους χειρουμένων μετριάσας ταύτῃ γε·
24 οἱ γὰρ Ἰνδικοὶ μυθωδέστεροι καὶ οἱ Λιβυκοί, οἷς γε καὶ πόα ἐπιπεφυκέναι λέγεται.

Νομαδικὸς μὲν οὖν ὁ βίος τῶν Τρωγοδυτῶν, τυραννοῦνται δὲ καθ' ἕκαστα. **17** κοιναὶ δὲ καὶ γυναῖκες καὶ τέκνα πλὴν τοῖς τυράννοις· τῷ δὲ τὴν τυ-
28 ράννου φθείραντι πρόβατον ἡ ζημία ἐστί. στιβίζονται δ' ἐπιμελῶς ⟨ὡς⟩ αἱ γυναῖκες, περίκεινται δὲ τοῖς τραχήλοις κογχία ἀντὶ βασκανίων. πολεμοῦσι δὲ περὶ τῆς νομῆς, κατ' ἀρχὰς μὲν διωθούμενοι ταῖς χερσίν, εἶτα λίθοις, ὅταν δὲ τραῦμα γένηται, καὶ τοξεύμασι καὶ μαχαιρίσι· διαλύουσι
32 δ' αἱ γυναῖκες εἰς μέσους προϊοῦσαι καὶ δεήσεις προσενέγκασαι. τροφὴ δ' ἔκ τε σαρκῶν καὶ τῶν ὀστέων κοπτομένων ἀναμὶξ καὶ εἰς τὰς δορὰς ἐνειλουμένων, εἶτ' ὀπτωμένων καὶ ἄλλως πολλαχῶς σκευαζομένων ὑπὸ τῶν μα-
776C. γείρων (οὓς καλοῦσιν ἀκαθάρτους)· | ὥστε μὴ κρεοφαγεῖν μόνον, ἀλλὰ καὶ ὀστοφαγεῖν καὶ δερματοφαγεῖν· χρῶνται δὲ καὶ τῷ αἵματι καὶ τῷ γάλακτι καταμίξαντες. ποτὸν δὲ τοῖς μὲν πολλοῖς ἀπόβρεγμα παλιούρου, τοῖς δὲ
4 τυράννοις μελίκρατον, ἀπ' ἄνθους τινὸς ἐκπιεζομένου τοῦ μέλιτος. ἔστι δ' αὐτοῖς χειμὼν μὲν ἡνίκα οἱ ἐτησίαι πνέουσι — κατομβροῦνται γάρ —, θέρος δ' ὁ λοιπὸς χρόνος. γυμνῆται δὲ καὶ δερματοφόροι καὶ σκυταληφόροι διατελοῦσιν. εἰσὶ δ' οὐ κολοβοὶ μόνον, ἀλλὰ καὶ περιτετμημένοι τινές,
8 καθάπερ Αἰγύπτιοι. οἱ δὲ Μεγάβαροι Αἰθίοπες τοῖς ῥοπάλοις καὶ τύλους προστιθέασι σιδηροῦς, χρῶνται δὲ καὶ λόγχαις καὶ ἀσπίσιν ὠμοβυρσίναις, οἱ δὲ λοιποὶ Αἰθίοπες τόξοις καὶ λόγχαις. θάπτουσι δέ τινες τῶν Τρωγοδυτῶν ῥάβδοις παλιουρίναις δήσαντες τὸν αὐχένα τῶν νεκρῶν πρὸς τὰ
12 σκέλη· ἔπειτα εὐθὺς καταλεύουσιν ἱλαροί, γελῶντες ἅμα, ἕως ἂν τὴν ὄψιν

24 γε E: τε cett. πόα Tzschucke: ποία BCE, ποῖα DF **26** Τρωγοδυτῶν scripsi (vide 318, 17 sq. comm.): νομαδικῶν D[ac], τρωγλωδυτῶν E, τρωγλοδυτῶν cett. **28** στιμμίζονται E add. Korais **32** δ' αἱ Korais: δὲ codd. **33 sq.** ἐνειλουμένων Korais: ἀνει- DE, ἀνι- cett. 776 **1** κρεοφαγεῖν BD[ac]F: κρεω- CD[pc] **2** {καὶ} τῷ γάλακτι? **6** καὶ prius om. B; ⟨ἢ⟩ καὶ Groskurd **8** Μεγάβαροι Αἰθίοπες voluit Casaubonus (Μεγαβάροι acuit ed.) duce Tifernate (qui *Aethiopes .. Megabari* verterat): μεγαριαιθίοπες (οι supra primum ι scripto) D, μεγαροῖ αἰθίοπες E, μέγαροι αἰθίοπες cett. **9** ὠμοβυρσίνοις Meineke **10** Τρωγο- scripsi: τρωγλο- codd. **12** καταλεύουσιν Leopardus (1568, 219 = 1604, 163), Casaubonus: -λέγουσιν codd. **12 sq.** τοῦ σώματος τὴν ὄψιν ed. pr., τὴν τοῦ σώματος ὄψιν? Keramopoullos (7 sq.); τοῦ τὴν ὄψιν σώματος legitur ap. Kramerum (recepit Meineke)

Schlangen, die Elefanten und Stiere bezwingen; in diesem Punkt hält er
24 noch Maß: sind doch die indischen und die libyschen fabelhafter, auf deren Rücken ja sogar Gras wachsen soll.

Die Trogodyten führen ein Nomadenleben, stehen aber im einzelnen unter Gewaltherrschern. **17** Frauen und Kinder sind Gemeinschaftsbesitz außer
28 bei den Gewaltherrschern; wer die Frau eines Gewaltherrschers schändet zahlt als Strafe ein Schaf. Sie schwärzen sich sorgfältig die Lider, wie die Frauen, und um den Hals tragen sie Muscheln statt Amuletten. Sie kämpfen um den Weidegrund, anfänglich indem sie sich gegenseitig mit den Händen zurückstoßen, dann mit Steinen, und wenn es zu einer Verletzung kommt,
32 mit Pfeilen und Dolchen; den Streit schlichten die Frauen, indem sie zwischen die beiden Parteien treten und Bitten anwenden. Sie ernähren sich von Fleisch, das mit den zerstoßenen Knochen vermischt, in die Häute gewickelt
776 und dann geröstet und auf viele andere Arten von den Köchen (die sie 'Unreine' nennen) zubereitet wird: sie sind also nicht nur Fleisch- sondern auch Knochen- und Hautesser; sie verzehren auch das Blut und die Milch, die sie miteinander vermischen. Getränk ist für die große Menge ein Aufguss von
4 Paliuros, für die Gewaltherrscher ein Honigmischtrank, für den der Honig aus einer bestimmten Blume gepresst wird. Winter ist bei ihnen die Zeit wenn die Etesien wehen – denn dann fällt bei ihnen Regen –, Sommer die übrige Zeit. Sie gehen das ganze Jahr nackt und tragen Felle und Knüppel.
8 Sie sind nicht nur gestutzt, sondern Manche sind auch beschnitten wie die Ägypter. Die Megabarer-Äthiopen versehen ihre Keulen noch mit Wulsten aus Eisen und gebrauchen auch Lanzen und Schilde aus rohen Häuten, die übrigen Äthiopen Pfeil und Bogen und Lanzen. Manche Trogodyten begraben den Toten nachdem sie seinen Hals mit Paliuros-Zweigen an seine Beine
12 gebunden haben; dann bewerfen sie ihn sofort in heiterer Stimmung unter Gelächter so lange mit Steinen bis sie die Leiche dem Blick entzogen haben;

τοῦ σώματος ἀποκρύψωσιν, εἶτ' ἐπιθέντες κέρας αἴγειον ἀπίασιν. ὁδοιπο-
ροῦσι δὲ νύκτωρ, ἐκ τῶν ἀρρένων θρεμμάτων κώδωνας ἐξάψαντες, ὥστ' ἐξ-
ίστασθαι τὰ θηρία τῷ ψόφῳ· καὶ λαμπάσι δὲ καὶ τόξοις ἐπὶ τὰ θηρία
16 χρῶνται· καὶ διαγρυπνοῦσι δὲ τῶν ποιμνίων χάριν — ᾠδῇ τινι χρώμενοι —
πρὸς τῷ πυρί.

Ταῦτ' εἰπὼν (fr. 99 Stiehle) περὶ τῶν Τρωγοδυτῶν καὶ τῶν προσχώρων **18**
Αἰθιόπων ἐπάνεισιν ἐπὶ τοὺς Ἄραβας (fr. 100 Stiehle). καὶ πρώτους ἔπεισι
20 τοὺς τὸν Ἀράβιον κόλπον ἀφορίζοντας καὶ ἀντικειμένους τοῖς Τρωγοδύταις
ἀρξάμενος ἀπὸ τοῦ Ποσιδείου. φησὶ δ' ἐνδοτέρω κεῖσθαι τοῦτο τοῦ Αἰλα-
νίτου μυχοῦ, συνεχῆ δὲ τοῦ Ποσιδείου φοινικῶνα εἶναι εὔυδρον τιμᾶσθαί
τε κομιδῇ διὰ τὸ πᾶσαν τὴν κύκλῳ καυματηράν τε καὶ ἄνυδρον καὶ ἄσκιον
24 ὑπάρχειν, ἐνταῦθα δὲ καὶ τὴν εὐκαρπίαν τῶν φοινίκων εἶναι θαυμαστήν.
προεστήκασι δὲ τοῦ ἄλσους ἀνὴρ καὶ γυνὴ διὰ γένους ἀποδεδειγμένοι,
δερματοφόροι, τροφὴν ἀπὸ τῶν φοινίκων ἔχοντες· κοιτάζονται δ' ἐπὶ δέν-
δρων καλυβοποιησάμενοι διὰ τὸ πλῆθος τῶν θηρίων.

28 Εἶθ' ἑξῆς ἐστι νῆσος Φωκῶν ἀπὸ τοῦ πλήθους τῶν θηρίων τούτων ὠνο-
μασμένη. πλησίον δ' αὐτῆς ἀκρωτήριον ὃ διατείνει πρὸς τὴν Πέτραν τὴν
τῶν Ναβαταίων καλουμένων Ἀράβων καὶ τὴν Παλαιστίνην χώραν, εἰς ἣν
Μιναῖοί τε καὶ Γερραῖοι καὶ πάντες οἱ πλησιόχωροι τὰ τῶν ἀρωμάτων
32 φορτία κομίζουσιν. εἶτ' ἄλλη παραλία πρότερον μὲν Μαρανιτῶν καλουμένη
— ὧν οἱ μὲν ἦσαν γεωργοί, τινὲς δὲ σκηνῖται —, νῦν δὲ Γαρινδαίων, ἀν-
777C. ελόντων ἐκείνους δόλῳ· | ἐπέθεντο γὰρ αὐτοῖς πενταετηρικήν τινα πανή-
γυριν ἐπιτελοῦσι καὶ τούτους τε διέφθειραν καὶ τοὺς ἄλλους ἐπελθόντες
ἄρδην διελυμήναντο.

14 ἐξάψαντες κώδωνας E **15** δὲ E: τε cett. **16** δὲ om. z, fort. recte **18** τῶν prius om. E Τρωγοδυτῶν scripsi: τρωγλω- E, τρογλο- C, τρωγλο- cett. **20** Τρωγοδύταις scripsi: τρωγλω- CE, τρωγλο- cett. **21** Ποσιδείου scripsi (vide 632, 12 comm.): ποσιδίου F, ποσειδείου E[ac], ποσειδίου cett. τοῦτο ⟨ἄκρον⟩ perperam Treidler (RE XXII 422, 30 sq.); vide comm. **21 sq.** Αἰλανίτου E[s] (coniecit Korais): ἐλα- cett.; del. Groskurd ducibus Gossellin (Rech. 2, 232²/233⁰) et Letronne ad sinum Heroopolitanum haec referentibus **22** Ποσιδείου scripsi: ποσιδίου F, ποσειδίου cett. **28** ἐστι om. E οὕτως pro τούτων E, fort. recte **30** Ναβαταίων EF: ναβαττ- BD, ναυαττ- C καλουμένων om. E Παλαιστίνην D: -τήνην BCF, -τίνων E **31** Μιναῖοι CE: μειν- BF, μην- D τε om. E **32** Μαρανιτῶν C: -νειτῶν cett. **33** σκηνῆται D 777 **2** τε Meineke (Vind. 236): δὲ καὶ D, δὲ cett.

dann setzen sie ein Ziegenhorn darauf und gehen fort. Sie wandern nachts, wobei sie den männlichen Herdentieren Glocken umhängen, so dass durch den Lärm die wilden Tiere ihnen aus dem Wege gehen; auch Fackeln und
16 Pfeil und Bogen gebrauchen sie gegen die wilden Tiere; auch wachen sie die Nacht durch am Feuer um ihrer Herden willen, wobei sie ein bestimmtes Lied singen.

Nachdem er dies über die Trogodyten und die benachbarten Äthiopen **18** berichtet hat (fr. 99 Stiehle), kehrt er zu den Arabern zurück (fr. 100
20 Stiehle). Da geht er erst durch das Land derer die den Arabischen Golf begrenzen und den Trogodyten gegenüberliegen, angefangen bei dem Posideion. Er sagt, dieses liege tiefer landeinwärts als der Ailanitische Winkel, und an das Posideion stoße ein wasserreicher Dattelpalmenhain, der besonders verehrt werde, da das ganze Land ringsum brennend heiß, wasser- und
24 schattenlos ist, hier dagegen auch der reiche Ertrag der Dattelpalmen erstaunlich sei. Aufseher des Hains sind ein Mann und eine Frau, die immer je aus derselben Familie eingestellt werden; sie tragen Felle, nähren sich von den Dattelpalmen und schlafen wegen der Menge der wilden Tiere auf Bäumen in denen sie sich eine Hütte bauen.

28 Dann kommt als Nächstes die Robbeninsel, die ihren Namen von der großen Menge dieser Tiere hat. In ihrer Nähe ist ein Vorgebirge das bis nach Petra, der Stadt der Araber die Nabatäer genannt werden, und dem Palästinischen Land reicht, in das die Minäer und Gerrhäer und alle Nach-
32 barn die Spezereiwaren bringen. Dann eine weitere Küste, die früher den Namen der Maraniter trug – die teils Bauern, teils Zeltbewohner waren –,
777 jetzt aber den der Garindäer, die jene hinterlistig beseitigt haben: haben sie sie doch angegriffen als sie ein alle vier Jahre stattfindendes Fest abhielten, und nicht nur diese vernichtet sondern auch die Übrigen, das Land durchstreifend, völlig zugrunde gerichtet.

4 Εἶθ' ὁ Αἰλανίτης κόλπος καὶ ἡ Ναβαταία, πολύανδρος οὖσα χώρα καὶ
εὔβοτος. οἰκοῦσι δὲ καὶ νήσους προκειμένας πλησίον· οἳ πρότερον μὲν
καθ' ἡσυχίαν ἦσαν, ὕστερον δὲ σχεδίαις ἐλῄζοντο τοὺς ἐκ τῆς Αἰγύπτου
πλέοντας· δίκας δ' ἔτεισαν ἐπελθόντος στόλου καὶ ἐκπορθήσαντος αὐτούς.
8 ἑξῆς δ' ἐστὶ πεδίον εὔδενδρόν τε καὶ εὔυδρον καὶ βοσκημάτων παντοίων
μεστὸν ἄλλων τε καὶ ἡμιόνων· καὶ καμήλων ⟨δ'⟩ ἀγρίων καὶ ἐλάφων καὶ δορ-
κάδων πλῆθος ἐν αὐτῷ λέοντές τε καὶ παρδάλεις καὶ λύκοι συχνοί· πρό-
κειται δὲ νῆσος καλουμένη Δῖα. εἶτα κόλπος ὅσον πεντακοσίων σταδίων
12 ὄρεσι περικλειόμενος καὶ δυσεισβόλῳ στόματι· περιοικοῦσι δὲ θηρευτικοὶ
ἄνδρες τῶν χερσαίων ἀγρευμάτων. εἶτ' ἔρημοι τρεῖς νῆσοι πλήρεις ἐλαιῶν
(οὐ τῶν παρ' ἡμῖν, ἀλλὰ τῶν ἐντοπίων, ἃς καλοῦμεν Αἰθιοπικάς· ὧν τὸ
δάκρυον καὶ ἰατρικῆς δυνάμεώς ἐστιν).

16 Ἐφεξῆς δ' ἐστὶν αἰγιαλὸς λιθώδης καὶ μετὰ τοῦτον τραχεῖα καὶ δυσ-
παράπλευστος ὅσον χιλίων σταδίων παραλία σπάνει λιμένων καὶ ἀγκυροβο-
λίων· ὄρος γὰρ παρατείνει τραχὺ καὶ ὑψηλόν. εἶτ' ὑπώρειαι σπιλαδώδεις
μέχρι τῆς θαλάττης, τοῖς ἐτησίαις μάλιστα καὶ ταῖς τότε ἐπομβρίαις
20 ἀβοήθητον παρέχουσαι τὸν κίνδυνον. ἑξῆς δ' ἐστὶ κόλπος νήσους ἔχων
σποράδας καὶ συνεχῶς θῖνες ψάμμου μελαίνης τρεῖς ἄγαν ὑψηλοὶ καὶ μετὰ
τούτους Χαρμόθας λιμὴν ὅσον σταδίων τὸν κύκλον ἑκατόν, στενὸν καὶ ἐπι-
κίνδυνον ἔχων τὸν εἴσπλουν παντὶ σκάφει· ῥεῖ δὲ καὶ ποταμὸς εἰς αὐτόν,
24 ἐν μέσῳ δὲ νῆσος εὔδενδρος καὶ γεωργήσιμος. εἶτ' ἐστὶ παραλία τραχεῖα
καὶ μετὰ ταύτην κόλποι τινὲς καὶ χώρα νομάδων ἀπὸ καμήλων ἐχόντων
τὸν βίον· καὶ γὰρ πολεμοῦσιν ἀπ' αὐτῶν καὶ ὁδεύουσι καὶ τρέφονται τῷ
τε γάλακτι χρώμενοι καὶ ταῖς σαρξί. ῥεῖ δὲ ποταμὸς δι' αὐτῶν ψῆγμα
28 χρυσοῦ καταφέρων, οὐκ ἴσασι δ' αὐτὸ κατεργάζεσθαι. καλοῦνται δὲ Δέβαι,

4 sq. *Eust. D. P. 384, 35 sq. 16–20 Anon. Scor. 298v 21–52 20 sq. *Eust. D. P. 321, 22 sq. 22 sq. Anon. Scor. 298v 25

4 Αἰλανίτης E (coniecit Korais): ἐλα- F, ἐλα- cett. Ναβαταία BCE, Eust.: ναβαταῖα F, ναβατταία D; Ναβαταίων Kramer χώρα z: ἡ χώρα BCDEF 6 ἐλῄζοντο Meineke 7 ἔτεισαν scripsi: ἔτι- codd. 8 εὔυδρόν τε καὶ εὔδενδρον D ἔνυδρον E καὶ post. om. D 9 ἡμιόνων· καὶ καμήλων ⟨δ'⟩ ἀγρίων scripsi duce Kramer: ἡμ. ἀγρ. καὶ καμ. codd.; ἡμ. καὶ καμ. ἀγρ. Kramer coll. Agatharch. 10 ἐν αὐτῷ F: om. cett. (unde {πλῆθος} Groskurd) 11 Δῖα E: δία cett. 14 καλοῦσιν D[ac] 18 ὑπώρειαι C[pc]E: ὑπόροιαι BF, ὑπόρροιαι C[ac]D, Anon. Scor. 21 συνεχεῖς E τρεῖς om. C 22 Χαρμόθας BCD: -μοθᾶς F, -μόλας E 25 ταῦτα E

4 Dann kommt der Ailanitische Golf und das Nabatäische, ein volk- und
weidereiches Land. Sie wohnen auch auf Inseln die in der Nähe vor der Kü-
ste liegen, wo sie sich früher ruhig verhielten, später aber mit Flößen die aus
Ägypten Schiffenden beraubten; das haben sie jedoch gebüßt als eine Flotte
8 kam und ihr Land verheerte. Anschließend kommt eine baum- und wasser-
reiche Ebene die voll von allem möglichen Zuchtvieh, besonders Mauleseln,
ist; auch gibt es in ihr eine Menge wilder Kamele, Rehe und Gazellen, sowie
zahlreiche Löwen, Leoparden und Wölfe; vor der Küste liegt eine Insel, Dia
12 genannt. Dann kommt eine etwa fünfhundert Stadien große Bucht, die von
Bergen und einer Mündung mit schwieriger Einfahrt umschlossen ist; um sie
herum wohnen Männer die die Jagd auf Landwild betreiben. Dann kommen
drei menschenleere Inseln voller Ölbäume (nicht der unsrigen sondern der
einheimischen, die wir 'Äthiopische' nennen und deren Harz auch Heilkraft
besitzt).

16 Als nächstes kommt ein steiniger Strand und nach ihm eine rauhe, etwa
tausend Stadien lange Küste, die mangels Häfen und Ankerplätzen schwer
passierbar ist, da sich an ihr entlang ein rauhes und hohes Gebirge erstreckt.
Dann folgen bis ans Meer reichende Vorhöhen voller Klippen, die beson-
20 ders während der Etesien und der dann fallenden Regengüsse eine jeder
Hilfe spottende Gefahr bilden. Anschließend kommt eine Bucht mit ver-
streuten Inseln, unmittelbar danach drei sehr hohe Dünen aus schwarzem
Sand und nach diesen der Hafen Charmothas, etwa hundert Stadien im
24 Umkreis, der eine schmale und für jedes Schiff gefährliche Einfahrt hat; es
fließt auch ein Fluss in ihn, und in seiner Mitte liegt eine baumreiche und
ackerbare Insel. Dann kommt eine rauhe Küste und nach ihr ein paar Buch-
ten und ein Land von Nomaden, die von Kamelen leben: denn auf ihnen
kämpfen und reisen sie, und mit ihrer Milch und ihrem Fleisch ernähren sie
28 sich. Durch ihr Land fließt ein Fluss der Goldsand herabführt, aber sie ver-

οἱ μὲν νομάδες, οἱ δὲ καὶ γεωργοί (οὐ λέγω δὲ τῶν ἐθνῶν τὰ ὀνόματα
τὰ πολλὰ διὰ τὴν ἀδοξίαν καὶ ἅμα ἀτοπίαν τῆς ἐκφορᾶς αὐτῶν).

Ἐχόμενοι δ' εἰσὶν ἡμερώτεροι τούτων ἄνδρες εὐκρατοτέραν οἰκοῦντες
32 γῆν· καὶ γὰρ εὔυδρός ἐστι καὶ εὔομβρος. χρυσός τε ὀρυκτὸς γίνεται παρ'
778C. αὐτοῖς οὐ ψήγματος, | ἀλλὰ βωλαρίων χρυσοῦ καθάρσεως οὐ πολλῆς δεομέ-
νων, μέγεθος δὲ ἐχόντων ἐλάχιστον μὲν πυρῆνος, μέσον δὲ μεσπίλου, μέ-
γιστον δὲ καρύου· τρήσαντες δὲ ταῦτα ἐναλλὰξ λίθοις διαφανέσιν ὅρμους
4 ποιοῦνται διείροντες λίνον, περιτίθενται δὲ περὶ τοὺς τραχήλους καὶ
καρπούς. πωλοῦσι δὲ καὶ πρὸς τοὺς ἀστυγείτονας εὔωνον τὸν χρυσόν, τρι-
πλάσιον ἀντιδιδόντες τοῦ χαλκοῦ, διπλάσιον δὲ τοῦ ⟨σιδήρου, δεκαπλά-
σιον δὲ τοῦ⟩ ἀργύρου διά τε τὴν ἀπειρίαν τῆς ἐργασίας καὶ τὴν σπάνιν
8 τῶν ἀντιλαμβανομένων, ὧν ἡ χρεία πρὸς τοὺς βίους ἀναγκαιοτέρα.

Συνάπτει δ' ἡ τῶν Σαβαίων εὐδαιμονεστάτη, μεγίστου ἔθνους, παρ' οἷς **19**
καὶ σμύρνα καὶ λίβανος καὶ κιννάμωμον, ἐν δὲ τῇ παραλίᾳ καὶ βάλσαμον
καὶ ἄλλη τις πόα σφόδρα εὐώδης, ταχὺ δ' ἐξίτηλον τὴν ὀδμὴν ἔχουσα (εἰσὶ
12 δὲ καὶ φοίνικες εὐώδεις καὶ κάλαμος, ὄφεις δὲ σπιθαμιαῖοι φοινικοῖ τὴν
χρόαν, προσαλλόμενοι καὶ μέχρι λαγόνος, τὸ δῆγμα ἔχοντες ἀνήκεστον).
διὰ δὲ τὴν ἀφθονίαν τῶν καρπῶν ἀργοὶ καὶ ῥᾴθυμοι τοῖς βίοις εἰσὶν οἱ
ἄνθρωποι. κοιτάζονται δὲ ἐπὶ τῶν ῥιζῶν τῶν δένδρων ἐκτέμνοντες οἱ
16 πολλοὶ καὶ δημοτικοί, καρούμενοι δ' ὑπὸ τῶν εὐωδιῶν αἴρουσι τὸν κάρον
ἀσφάλτου θυμιάματι καὶ τράγου πώγωνος. ἡ δὲ πόλις τῶν Σαβαίων, ἡ Μα-
ρίαβα, κεῖται μὲν ἐπ' ὄρους εὐδένδρου, βασιλέα δ' ἔχει κύριον τῶν κρίσε-
ων καὶ τῶν ἄλλων· ἐκ δὲ τῶν βασιλείων οὐ θέμις ἐξιέναι, ἢ καταλεύουσιν

29 καὶ om. EF **30** πολλὰ Meineke (Vind. 236), Cobet (Misc. 201): παλαιὰ codd.; ἄλλα Letronne, πλείω Kramer **32** εὔδενδρος pro εὔομβρος D; πάμφορος Groskurd coll. Agatharch. 778 **1** {χρυσοῦ}? χρυσοῦ ⟨εὑρισκομένων sim.⟩? (vide comm.) **1 sq.** δεομένων E: -νου cett. **2** δ' pro δὲ priore ed. pr. **4** λίνῳ E **5** τὸ χρυσίον E **6** ἀντιδιδόντες E: ἀντιδόντες cett. **6 sq.** addidi duce Sam. Bochart (Geographia sacra …, Cadomi 1646, 158 D), qui ipse ⟨σιδήρου καὶ δεκαπλάσιον τοῦ⟩ addi iussit coll. Agatharch.; nihil excidisse, sed σιδήρου pro ἀργύρου scribendum esse censuit Groskurd **7** διά τε E: διὰ δὲ cett. **10** κινάμωμον BE **12** σπιθαμιαῖοι EF: σπιθαμαῖοι BD, σπηθαμαῖοι C **15** {τῶν ῥιζῶν} Kramer; τῶν ὄζων Müller (1039 ad 662, 16), tum καλύβας sim. τεκταίνοντες vel λέχος sive θάμνους ἐκτείνοντες pro ἐκτέμνοντες scribendum esse coniciens **16** post δημοτικοί verba 23 sq. διαδεχόμενοι — Μεσοποταμίας praebent codd.: transposuit Madvig **17 sq.** Μαρίαβα Tzschucke: μερίαβα BCF, μεριάβα E, μερία D **18** τῶν ⟨τε⟩? **19** βασιλείων Leopardus (1568, 219 = 1604, 164): ἄλλων βασιλέων codd. ἐξιέναι Leopardus: ἐξεῖναι codd. καταλεύουσιν Leopardus: καταταλύουσιν D, καταλύουσιν cett.

stehen nicht ihn zu bearbeiten. Sie heißen Deber und sind teils Nomaden, teils Bauern (die meisten Völkernamen nenne ich nicht wegen ihrer Unberühmtheit und auch wegen der Absonderlichkeit ihrer Aussprache).

Anschließend kommen zivilisiertere Männer als diese, die ein Land mit
32 besserem Klima bewohnen: ist es doch gut mit Wasser versehen und regenreich. Auch gibt es in ihrem Boden Gold, nicht in der Form von Goldsand
778 sondern von Goldklümpchen die nicht vieler Läuterung bedürfen; die kleinsten haben die Größe eines Kerns, die mittleren einer Mispel, die größten einer Walnuss; die durchbohren sie, machen daraus, indem sie sie um-
4 schichtig mit transparanten Steinen auf einen Faden ziehen, Ketten und legen sie um den Hals und die Handgelenke. Sie verkaufen das Gold auch billig an ihre Nachbarn: für Bronze geben sie das Dreifache, ⟨für Eisen⟩ das Doppelte ⟨und⟩ für Silber ⟨das Zehnfache⟩; das kommt einmal durch ihre Unerfahrenheit in der Bearbeitung, zum anderen durch den Mangel an dem
8 was sie dafür eintauschen: der Bedarf daran für das tägliche Leben ist dringender.

An sie stößt das überaus gesegnete Land der Sabäer, eines sehr großen **19** Volkes, bei dem es sowohl Myrrhe als Weihrauch als Zimt gibt, an der Küste auch Balsam und ein anderes Kraut mit einem starken Wohlgeruch,
12 der sich aber schnell verflüchtigt (es gibt auch wohlriechende Dattelpalmen und Schilf, und spannenlange Schlangen von purpurner Farbe, die einem bis über die Hüfte springen und deren Biss tödlich ist). Infolge des Überflusses der Produkte führen die Leute ein träges und sorgloses Leben. Die große
16 Menge des Volkes schläft auf den herausgehackten Wurzeln der Bäume, und wenn sie von den Wohlgerüchen betäubt werden, vertreiben sie die Betäubung durch das Räuchern von Erdpech und Bocksbart. Die Stadt der Sabäer, Mariaba, liegt auf einem baumreichen Berg; ihr König hat die Entscheidung in Rechtshändeln und dem übrigen; er darf den Palast nicht ver-

20 αὐτὸν παραχρῆμα οἱ ὄχλοι κατά τι λόγιον· ἐν χλιδῇ δ' ἐστὶ γυναικείᾳ καὶ
αὐτὸς καὶ οἱ περὶ αὐτόν. τὰ δὲ πλήθη τὰ μὲν γεωργεῖ, τὰ δ' ἐμπορεύεται
τὰ ἀρώματα τά τ' ἐπιχώρια καὶ τὰ ἀπὸ τῆς Αἰθιοπίας πλέοντες ἐπ' αὐτὰ
διὰ τῶν στενῶν δερματίνοις πλοίοις (διαδεχόμενοι δ' οἱ σύνεγγυς ἀεὶ τὰ
24 φορτία τοῖς μεθ' αὐτοὺς παραδιδόασι μέχρι Συρίας καὶ Μεσοποταμίας)· το-
σαῦτα δ' ἐστὶ τὸ πλῆθος ὥστ' ἀντὶ φρυγάνων καὶ τῆς καυσίμου ὕλης χρῆσ-
θαι κινναμώμῳ καὶ κασίᾳ καὶ τοῖς ἄλλοις (γίνεται δ' ἐν τοῖς Σαβαίοις καὶ
τὸ λάριμνον, εὐωδέστατον θυμίαμα). ἐκ δὲ τῆς ἐμπορίας οὗτοί τε καὶ
28 Γερραῖοι πλουσιώτατοι πάντων εἰσὶν ἔχουσί τε παμπληθῆ κατασκευὴν χρυ-
σωμάτων τε καὶ ἀργυρωμάτων κλινῶν τε καὶ τριπόδων καὶ κρατήρων σὺν ἐκ-
πώμασι καὶ τῇ τῶν οἴκων πολυτελείᾳ· καὶ γὰρ θυρώματα καὶ τοῖχοι καὶ
ὀροφαὶ δι' ἐλέφαντος καὶ χρυσοῦ καὶ ἀργύρου λιθοκολλήτου τυγχάνει δια-
32 πεποικιλμένα.

Ταῦτα μὲν περὶ τούτων εἴρηκε. τἆλλα δὲ τὰ μὲν παραπλησίως τῷ 'Ερα-
τοσθένει λέγει, τὰ δὲ καὶ παρὰ τῶν ἄλλων ἱστορικῶν (FGrHist 677 F 7)
779C. παρατίθησιν (fr. 102 Stiehle). | 'Ερυθρὰν γὰρ λέγειν τινὰς τὴν θάλατταν 20
ἀπὸ τῆς χροιᾶς τῆς ἐμφαινομένης κατ' ἀνάκλασιν (εἴτε ἀπὸ τοῦ ἡλίου
κατὰ κορυφὴν ὄντος εἴτε ἀπὸ τῶν ὀρῶν ἐρυθραινομένων ἐκ τῆς ἐπικαύ-
4 σεως· ἀμφοτέρως γὰρ εἰκάζειν). Κτησίαν δὲ τὸν Κνίδιον (FGrHist 688 F
66) πηγὴν ἱστορεῖν ἐκδιδοῦσαν εἰς τὴν θάλατταν ἐρευθὲς καὶ μιλτῶδες
ὕδωρ. 'Αγαθαρχίδην δὲ τὸν ἐκείνου πολίτην παρά τινος Βόξου, ⟨Πέρσου⟩
τὸ γένος, ἱστορῆσαι (5; GGM 1, 112, 28 sqq.) διότι Πέρσης τις 'Ερύθρας
8 ἱπποφορβίου τινὸς ὑπὸ λεαίνης οἴστρῳ κατασχομένης ἐξελαθέντος μέχρι
θαλάττης κἀκεῖθεν εἰς νῆσόν τινα διάραντος σχεδίαν πηξάμενος πρῶτος

779 **1–13** Eust. D. P. 225, 6–17

22 τῆς om. E **23 sq.** verba διαδεχόμενοι — Μεσοποταμίας in codd. post 16 δημοτικοί collocata huc transposuit Madvig (Adv. 1, 48) **24** μεθ' αὐτοὺς Madvig (Adv. 1, 48): μετ' αὐτοὺς codd. **26** κιναμώμῳ EF[i] κασίᾳ D: κασσίᾳ cett. **27** ἐμπορίας EF: ἐμπορείας B[s], εὐπορίας D, εὐπορείας B[i]C **29** τε prius om. DE **29 sq.** ἐκπώμασι CD[ac]E: ἐκπό- cett. **30** an post ἐκπώμασι quaedam exciderunt? vide comm. (⟨εἰσὶ δὲ ἐκπρεπεῖς⟩ e. g. Holwerda) **31** καὶ post ἀργύρου add. q **34** καὶ om. F
779 **1** τὴν om. E θάλασσ- Eust. θάλατταν ⟨καλεῖσθαι⟩? cf. comm. **2** τῆς φαινομένης E τοῦ om. Eust. **3 sq.** ἐκ τῆς ἐπικαύσεως Korais: ἐκ τῆς ἀποκαύσεως codd., ὑπὸ (ἀπὸ fort. R[ac]) τῆς καύσεως Eust.; ἀπὸ τῆς ἐκκαύσεως xy **5** τὴν om. F θάλασσ- Eust. **6** βώξου DF[mg] add. Kramer (post 7 γένος Casaubonus) coll. Agatharch. **8** κατασχομένης z: κατασχομένου BCDF (legisse vid. etiam Eust.), κατεχομένου E ἐξελαθέντος E: ἐξελαθέντος δὲ cett. **9** θαλάσσ- D

20 lassen, sonst wird er aufgrund eines Orakelspruchs sofort von der Menge gesteinigt; sowohl er selber als sein Hof lebt in weibischem Luxus. Der große Haufen bebaut teils das Land, teils verhandeln sie die Spezereien, nicht nur die einheimischen sondern auch die aus Äthiopien, für die sie mit aus Häuten gefertigten Booten durch die Meeresenge fahren (die Waren werden
24 immer von den jeweils Nächsten übernommen und an die Folgenden weitergegeben bis nach Syrien und Mesopotamien); die Menge davon ist so groß dass sie statt Reisig und Brennholz Zimt, Kasia und die anderen Gewürze gebrauchen (es gibt bei den Sabäern auch das Larimnon, ein besonders wohlriechendes Räucherwerk). Durch den Handel sind sie zusammen mit
28 den Gerrhäern die allerreichsten Menschen; sie besitzen riesige Mengen an Gold- und Silberwerk, an Bänken, Dreifüßen und Mischgefäßen samt Bechern und der Aufwendigkeit ihrer Häuser: sind doch Portale, Wände und
32 Decken mit Elfenbein, Gold und von Steinen besetztem Silber verziert.

Dies ist was er hierüber berichtet. Das Übrige erzählt er teils ähnlich wie Eratosthenes, teils übernimmt er es von den anderen Historikern (FGrHist
779 677 F 7). Er sagt nämlich (fr. 102 Stiehle), Manche nennten das Meer das 20 'Rote' wegen der Farbe die sich dem Auge durch Widerspiegelung darbietet (sei's der Sonne, wenn sie im Zenit steht, sei's der Berge, die durch die sen-
4 gende Hitze rot werden; beide Vermutungen würden nämlich aufgestellt). Ktesias der Knidier dagegen (FGrHist 688 F 66) berichte von einer Quelle aus der rotes, rötelfarbenes Wasser ins Meer fließe. Und Agatharchides, sein Landsmann, erzähle (5; GGM 1, 112, 28 ff.) nach den Angaben eines gewissen Boxos (eines gebürtigen Persers), dass ein Perser Erythras, dem
8 ein Gestüt von einer von Panik besessenen Löwin bis ans Meer getrieben und von dort zu einer Insel geschwommen war, als erster mit einem Floß,

περαιωθείη πρὸς τὴν νῆσον, ἰδὼν δὲ καλῶς οἰκήσιμον τὴν μὲν ἀγέλην εἰς
τὴν Περσίδα ἀπαγάγοι πάλιν, ἀποίκους δ' ἐκεῖ στεῖλαι τε καὶ εἰς τὰς
12 ἄλλας νήσους ἐκ τῆς παραλίας, ἐπώνυμον δὲ ποιήσειεν ἑαυτοῦ τὸ πέλα-
γος. τοὺς δὲ Περσέως υἱὸν ἀποφαίνεσθαι τὸν Ἐρύθραν ἡγήσασθαί τε τῶν
τόπων. λέγεται δ' ὑπό τινων τὸ ἀπὸ τῶν στενῶν τοῦ Ἀραβίου κόλπου μέχρι
τῆς Κινναμωμοφόρου τῆς ἐσχάτης πεντακισχιλίων σταδίων (οὐκ εὐκρινῶς
16 εἴτ' ἐπὶ νότον εἴτ' ἐπὶ τὰς ἀνατολάς). λέγεται δὲ καὶ διότι ὁ σμάραγδος
καὶ ὁ βήρυλλος ἐν τοῖς τοῦ χρυσοῦ μετάλλοις ἐγγίνεται. εἰσὶ δὲ καὶ
ἅλες εὐώδεις ἐν Ἄραψιν, ὥς φησι Ποσειδώνιος (F 238 Ed.-Kidd).

21 Πρῶτοι δ' ὑπὲρ τῆς Συρίας Ναβαταῖοι καὶ Σαβαῖοι τὴν Εὐδαίμονα Ἀρα-
20 βίαν νέμονται, καὶ πολλάκις κατέτρεχον αὐτὴν πρὶν ἢ Ῥωμαίων γενέσθαι·
νῦν δὲ κἀκεῖνοι Ῥωμαίοις εἰσὶν ὑπήκοοι καὶ Σύροι. μητρόπολις δὲ τῶν
Ναβαταίων ἐστὶν ἡ Πέτρα καλουμένη· κεῖται γὰρ ἐπὶ χωρίου τἆλλα ὁμαλοῦ
καὶ ἐπιπέδου, κύκλῳ δὲ πέτρᾳ φρουρουμένου, τὰ μὲν ἐκτὸς ἀποκρήμνου
24 καὶ ἀποτόμου, τὰ δ' ἐντὸς πηγὰς ἀφθόνους ἔχοντος εἴς τε ὑδρείαν καὶ
κηπείαν. ἔξω δὲ τοῦ περιβόλου χώρα ἔρημος ἡ πλείστη, καὶ μάλισθ' ἡ
πρὸς Ἰουδαίᾳ· ταύτῃ δὲ καὶ ἐγγυτάτω ἐστί — τριῶν ἢ τεττάρων ὁδὸς ἡμε-
ρῶν — εἰς Ἱερικοῦντα (εἰς δὲ τὸν φοινικῶνα πέντε). βασιλεύεται μὲν οὖν
28 ὑπό τινος ἀεὶ τῶν ἐκ τοῦ βασιλικοῦ γένους, ἔχει δ' ὁ βασιλεὺς ἐπίτροπον
τῶν ἑταίρων τινὰ καλούμενον ἀδελφόν. σφόδρα δ' εὐνομεῖται· γενόμενος
γοῦν παρὰ τοῖς Πετραίοις Ἀθηνόδωρος, ἀνὴρ φιλόσοφος καὶ ἡμῖν ἑταῖρος,
διηγεῖτο θαυμάζων (FGrHist 746 F 5)· εὑρεῖν γὰρ ἐπιδημοῦντας ἔφη πολ-
32 λοὺς μὲν Ῥωμαίων, πολλοὺς δὲ καὶ τῶν ἄλλων ξένων· τοὺς μὲν οὖν ξένους
ὁρᾶν κρινομένους πολλάκις καὶ πρὸς ἀλλήλους καὶ πρὸς τοὺς ἐπιχωρίους,

19 sq. *Eust. D. P. 384, 27–9 **21 sq.** *Eust. D. P. 384, 36 sq.

10 καὶ ἄλλως pro καλῶς? Korais **11** ⟨οὐκ⟩ ἀπαγάγοι Casaubonus στεῖλαι τε Korais: στέλλεται codd. (unde ἄποικος E), στεῖλαί τε x, στέλλειεν Casaubonus, στείλαιτο καὶ πολίσαι Aly (1957, 421⁰) εἰς yz: om. BCDEF **12** ἐκ τῆς παραλίας scripsi: καὶ τὴν παραλίαν codd.; κατὰ τὴν παραλίαν Aly ms. (vitiosam scripturam in libro suo [1957, 421⁰] corrigens) αὐτοῦ E **14** τὸ scripsi: τὰ codd. **15** Κινναμωμοφόρου $B^s C^s$: κιναμωμοφόρου EF, κινναμωφόρου $B^i C^i$ D **16** εἴτ' ἐπὶ ν. εἴτ' ἐπὶ E (coniecit Korais): οὔτ' ἐπὶ ν. F^i, οὔτ' ἐπὶ ν. οὔτ' ἐπὶ cett. **17** χρυσοῦ scripsi: χρυσίου codd. ἐγγίγν- C **20** αὐτὴν Cobet ms.: -τῆς codd. ἢ tacite om. Korais **23** φρουρουμένου E: -ούμενοι cett. ἀποκρήμνου CE: ἀπὸ κρημνοῦ BDF **25** μάλισθ' E^{pc}: μάλιθ' F, μάλιστα cett. **27** Ἱερικοῦντα E^i: ἱεριχοῦντα E^s, ἐρικοῦντα cett. δὲ pro μὲν οὖν E **30** Πετραίοις $i^{γρ}$: πετρίοις EF, πατρίοις BCD ἀνὴρ om. E

das er gezimmert habe, zu der Insel übergesetzt sei; als er sah dass sie gut
zu bewohnen war, habe er die Herde wieder nach Persien zurückgebracht,
12 aber Kolonisten von der Küste dorthin und zu den anderen Inseln geführt
und gemacht dass das Meer nach ihm benannt wurde. Andere behaupteten,
Erythras sei ein Sohn des Perseus gewesen und habe über die Gegend ge-
herrscht. Von Manchen wird die Entfernung von der Enge des Arabischen
Golfs bis zum äußersten Rande des Zimtlandes mit fünftausend Stadien an-
16 gegeben (wobei unklar gelassen wird ob es dabei nach Süden oder nach
Osten geht). Auch heißt es dass der Smaragd und der Beryll sich in den
Goldgruben finden. Es gibt bei den Arabern auch wohlriechendes Salz, wie
Poseidonios (F 238 Ed.-Kidd) sagt.

21 Die Ersten die oberhalb Syriens das Gesegnete Arabien bewohnen sind
20 die Nabatäer und die Sabäer; sie sind oft in Syrien eingefallen bevor es in
den Besitz der Römer kam; heute sind sie ebenso den Römern untertan wie
die Syrer. Die Hauptstadt der Nabatäer ist das sogenannte Petra ('Felsen');
es liegt nämlich auf einem Gelände das sonst flach und eben, ringsum aber
24 durch Felsen befestigt ist; außen fällt es jäh und schroff ab, innen hat es un-
erschöpfliche Quellen zur Wasserversorgung und Gärtnerei. Außerhalb der
Ringmauer ist das Land größtenteils öde, besonders das gegen Judäa; dort
ist es auch am nächsten – drei oder vier Tagereisen – nach Jericho (zu dem
28 Dattelpalmenwald fünf). Die Stadt wird immer von einem Mitglied des Kö-
nigsgeschlechts regiert; der König hat als Verweser einen seiner Gefährten,
der 'Bruder' genannt wird. Gesetz und Recht werden hervorragend einge-
halten; jedenfalls hat Athenodoros, ein uns befreundeter Philosoph, der bei
den Peträern gewesen ist, voller Bewunderung davon erzählt (FGrHist
32 746 F 5): habe er doch viele Römer und viele andere Ausländer angetroffen,
die sich dort aufhielten, und gesehen dass die Ausländer häufig Prozesse so-
wohl gegeneinander als gegen die Einheimischen führten, von den Einhei-

τῶν δ' ἐπιχωρίων οὐδένας ἀλλήλοις ἐγκαλοῦντας, ἀλλὰ τὴν πᾶσαν εἰρήνην ἄγοντας πρὸς ἑαυτούς.

780C. **22** Πολλὰ δὲ καὶ ἡ τῶν Ῥωμαίων ἐπὶ τοὺς Ἄραβας στρατεία νεωστὶ γενηθεῖσα ἐφ' ἡμῶν, ὧν ἡγεμὼν ἦν Αἴλιος Γάλλος, διδάσκει τῶν τῆς χώρας ἰδιωμάτων. τοῦτον δ' ἔπεμψεν ὁ Σεβαστὸς Καῖσαρ διαπειρασόμενον τῶν 4 ἐθνῶν καὶ τῶν τόπων τούτων τε καὶ τῶν Αἰθιοπικῶν, ὁρῶν τήν τε Τρωγοδυτικὴν τὴν προσεχῆ τῇ Αἰγύπτῳ γειτονεύουσαν τούτοις καὶ τὸν Ἀράβιον κόλπον στενὸν ὄντα τελέως τὸν διείργοντα ἀπὸ τῶν Τρωγοδυτῶν τοὺς Ἄραβας· προσοικειοῦσθαι δὴ διενοήθη τούτους ἢ καταστρέφεσθαι. ἦν δ' ἔτι 8 καὶ τὸ πολυχρημάτους ἀκούειν ἐκ παντὸς χρόνου πρὸς ἄργυρον καὶ χρυσὸν τὰ ἀρώματα διατιθεμένους καὶ τὴν πολυτελεστάτην λιθείαν ἀναλίσκοντας τῶν λαμβανομένων τοῖς ἔξω μηδέν· ἢ γὰρ φίλοις ἤλπιζε πλουσίοις χρήσεσθαι ἢ ἐχθρῶν κρατήσειν πλουσίων. ἐπῆρε δ' αὐτὸν καὶ ἡ παρὰ τῶν Να-12 βαταίων ἐλπὶς φίλων ὄντων καὶ συμπράξειν ἅπανθ' ὑπισχνουμένων.

23 Ἐπὶ τούτοις μὲν οὖν ἔστειλε τὴν στρατείαν ὁ Γάλλος. ἐξηπάτησε δ' αὐτὸν ὁ τῶν Ναβαταίων ἐπίτροπος Συλλαῖος ὑποσχόμενος μὲν ἡγήσεσθαι τὴν ὁδὸν καὶ χορηγήσειν ἅπαντα καὶ συμπράξειν, ἅπαντα δ' ἐξ ἐπιβουλῆς 16 πράξας καὶ οὔτε παράπλουν ἀσφαλῆ μηνύων οὔθ' ὁδόν, ἀλλ' ἀνοδίαις καὶ κυκλοπορίαις καὶ πάντων ἀπόροις χωρίοις ἢ ῥαχίαις ἀλιμένοις παραβάλλων ἢ χοιράδων ὑφάλων μεσταῖς ἢ τεναγώδεσι· πλεῖστον δὲ αἱ πλημμυρίδες ἐλύπουν — ἐν τοιούτοις καὶ ταῦτα χωρίοις — καὶ αἱ ἀμπώτεις.

20 Πρῶτον μὲν δὴ τοῦθ' ἁμάρτημα συνέβη, τὸ μακρὰ κατασκευάσασθαι πλοῖα μηδενὸς ὄντος μηδ' ἐσομένου κατὰ θάλατταν πολέμου· οὐδὲ γὰρ κατὰ γῆν σφόδρα πολεμισταί εἰσιν, ἀλλὰ κάπηλοι μᾶλλον οἱ Ἄραβες καὶ ἐμπορικοί, μήτι γε κατὰ θάλατταν. ὁ δ' οὐκ ἔλαττον ὀγδοήκοντα ἐναυπηγήσατο δίκροτα 24 καὶ τριήρεις καὶ φασήλους κατὰ Κλεοπατρίδα τὴν πρὸς τῇ παλαιᾷ διώρυγι

780 2 διδάσκει⟨ν ἔμελλε⟩ sim.? vide comm. **4 sq.** Τρωγοδυτικὴν scripsi (vide 318, 17 sq. comm.): τρωγλω- E, τρωγλο- cett. **6** Τρωγοδυτῶν scripsi: τρωγλω- E, τρωγλο- cett. **7** ⟨ἢ⟩ προσοικειοῦσθαι? δέ τι F **9** λιθείαν E: λιθίαν cett. (cf. 538, 28 comm.) **10 sq.** χρήσεσθαι E: -σασθαι cett. **11** ἐπῆρε Tzschucke **13** οὖν om. E **14** ἡγήσεσθαι Korais: -σασθαι codd. **16** οὔθ' Korais (duce Falconer, qui in cod. Paris. gr. 1398 hoc legi falso adnotaverat): οὐδ' codd. **17** παραβάλλων E: -λαβὼν B[ac], -βαλὼν cett. **18** πλημυρίδες BC **20** τὸ x, Xylander: τὰ BCDF **21** πολεμίου Casaubonus **23** γε om. F **24** φασήλους D: φασί- cett.

mischen dagegen niemand Anklage gegen einen anderen erhob, sondern dass sie in völligem Frieden miteinander lebten.

780 **22** Viele Eigenschaften des Landes lehrt auch der jüngst zu unserer Zeit erfolgte Feldzug der Römer gegen die Araber, der unter dem Kommando des Aelius Gallus stand. Ihn hatte Caesar Augustus geschickt um sich sowohl 4 über diese als über die äthiopischen Völker und Gegenden zu orientieren, da er sah dass das an Ägypten stoßende Trogodytische ihnen benachbart und der Arabische Golf, der die Araber von den Trogodyten trennt, ganz schmal war: daher beabsichtigte er diese als Verbündete zu gewinnen oder 8 zu unterwerfen. Ein zusätzliches Motiv war auch dass sie als sehr reich galten, da sie seit eh und je die Spezereien und die kostbarsten Edelsteine gegen Silber und Gold verkauften und von dem Erhaltenen nichts auswärts ausgaben: hoffte er doch entweder sich reiche Freunde zu erwerben oder reiche Feinde zu besiegen. Ein Antrieb war für ihn auch die Hoffnung die ihm die 12 Nabatäer gaben: sie waren ja Freunde und versprachen ihre Mithilfe bei allem.

23 Unter diesen Voraussetzungen also unternahm Gallus den Feldzug. Aber er wurde betrogen von Syllaios, dem Verweser der Nabatäer, der versprochen hatte den Weg zu weisen, alles zur Verfügung zu stellen und in allem 16 zu helfen, in Wirklichkeit aber alles mit böser Absicht tat: er gab weder zur See noch zu Land sichere Wege an, sondern setzte das Heer unwegsamem Gelände, Umwegen, Gegenden in denen es an Allem fehlte und hafenlosen Küsten mit wilder Brandung aus, die unter Wasser voller Riffe oder seicht waren; die größte Not bereiteten aber die Fluten — noch dazu in einer solchen Umgebung — und die Ebben.

20 Der erste Fehler der gemacht wurde war der dass man Kriegsschiffe baute, obwohl kein Krieg zur See geführt wurde und auch nicht bevorstand; denn die Araber sind schon zu Land keine sehr guten Krieger — sondern vielmehr Händler und Kaufleute —, geschweige denn zur See. Er aber baute 24 in Kleopatris an dem alten vom Nil abgezweigten Kanal nicht weniger als achtzig Zweiruderer, Triëren und Phaselen. Als er seinen Irrtum bemerkte,

τῇ ἀπὸ τοῦ Νείλου. γνοὺς δὲ διεψευσμένος ἐναυπηγήσατο σκευαγωγὰ ἑκατὸν
καὶ τριάκοντα, οἷς ἔπλευσεν ἔχων περὶ μυρίους πεζοὺς τῶν ἐκ τῆς Αἰγύπ-
του Ῥωμαίων καὶ τῶν συμμάχων, ὧν ἦσαν Ἰουδαῖοι μὲν πεντακόσιοι, Ναβα-
28 ταῖοι δὲ χίλιοι μετὰ τοῦ Συλλαίου.

Πολλὰ δὲ παθὼν καὶ ταλαιπωρηθεὶς πεντεκαιδεκαταῖος ἧκεν εἰς Λευκὴν
κώμην τῆς Ναβαταίων γῆς, ἐμπόριον μέγα, πολλὰ τῶν πλοίων ἀποβαλών (ὧν
ἔνια καὶ αὔτανδρα) ὑπὸ δυσπλοίας, πολεμίου δ' οὐδενός. τοῦτο δ' ἀπειργά-
32 σατο ἡ τοῦ Συλλαίου κακία τοῦ πεζῇ φήσαντος ἀνόδευτα εἶναι στρατοπέ-
781 C. δοις εἰς τὴν | Λευκὴν κώμην, εἰς ἣν καὶ ἐξ ἧς οἱ καμηλέμποροι τοσούτῳ
πλήθει ἀνδρῶν καὶ καμήλων ὁδεύουσιν ἀσφαλῶς καὶ εὐπόρως εἰς Πέτραν
⟨καὶ⟩ ἐκ Πέτρας ὥστε μὴ διαφέρειν μηδὲν στρατοπέδου.

4 Συνέβαινε δὲ τοῦτο τοῦ μὲν βασιλέως τοῦ Ὀβόδα μὴ πολὺ φροντίζοντος **24**
τῶν κοινῶν — καὶ μάλιστα τῶν κατὰ πόλεμον (κοινὸν δὲ τοῦτο πᾶσι τοῖς
Ἀράβων βασιλεῦσιν) —, ἅπαντα δ' ἐπὶ τῇ τοῦ ἐπιτρόπου ποιουμένου * *
τοῦ Συλλαίου, τούτου δ' ἅπαντα δόλῳ στρατηγοῦντος καὶ ζητοῦντος, ὡς
8 οἶμαι, κατοπτεῦσαι μὲν τὴν χώραν καὶ συνεξελεῖν τινας αὐτῶν πόλεις
καὶ ἔθνη μετὰ τῶν Ῥωμαίων, αὐτὸν δὲ καταστῆναι κύριον ἁπάντων, ἀφα-
νισθέντων ἐκείνων ὑπὸ λιμοῦ καὶ κόπου καὶ νόσων καὶ ἄλλων ὅσων δόλῳ
παρεσκεύασεν ἐκεῖνος.

12 Εἰς δ' οὖν τὴν Λευκὴν κώμην κατῆρεν ἤδη στομακάκῃ τε καὶ σκελο-
τύρβῃ πειραζομένης τῆς στρατιᾶς, ἐπιχωρίοις πάθεσι, τῶν μὲν περὶ τὸ
στόμα, τῶν δὲ περὶ τὰ σκέλη παράλυσίν τινα δηλούντων ἔκ τε τῶν
ὑδρείων καὶ βοτανῶν. ἠναγκάσθη οὖν τό τε θέρος καὶ τὸν χειμῶνα διατε-
16 λέσαι αὐτόθι τοὺς ἀσθενοῦντας ἀνακτώμενος. (ἐκ μὲν οὖν τῆς Λευκῆς κώ-
μης εἰς Πέτραν, ἐντεῦθεν δ' εἰς Ῥινοκόλουρα τῆς πρὸς Αἰγύπτῳ Φοινίκης

30 ἐμπόριον D[pc]: ἐμποριον (sic) F, ἐμπορεῖον CD[ac], ἐμπορειον (sic) B 781 3 add. Korais 5 ἥκιστα pro μάλιστα? v. Herwerden (456) 6 lacunam esse vidit Agallianus, ipse γνώμῃ (y) vel ἐξουσίᾳ (z) supplens; τῇ τοῦ ἐ. ⟨ἐπιμελείᾳ⟩ ποιουμένου? Holwerda; an ἐπὶ τῷ ἐπιτρόπῳ π. (τῷ Συλλαίῳ) scribendum? 7 {τοῦ Συλλαίου}? Jacoby (FGrHist 677 F 6 p. 347, 1 sq.) τούτου xyz, ed. pr.: -τῳ BCDFq 9 inde a καὶ ἔθνη (fol. 123[r]) alia manus incipit in F (cf. Diller 1975, 63) 10 καὶ νόσων καὶ κόπου D ὅσον B; ὅσα q 12 δ' οὖν scripsi: γοῦν codd. στομακάκ(ῃ) E: -κάκκῃ cett. 12 sq. σκελοτύρβῃ v. Almeloveen (iam voluit Xylander *scelotyrben* vertens [sed in Graecis -τίρβ- retinens]): -τρίβ- E, -τίρβ- cett. 15 οὖν scripsi: γοῦν codd. 16-21 ἐκ — Ἀλεξάνδρειαν 'am falschen platz (es gehört zu ἐμπόριον μέγα p. 346, 27 ⟨= 780, 30⟩) oder zusatz vom rande' Jacoby (ad FGrHist 677 F 6 p. 347, 10–5) 17 Ῥινοκόρουρα Kramer

baute er hundertunddreißig Frachtschiffe; auf diesen fuhr er los mit rund
zehntausend Infanteristen der Römer aus Ägypten und ihrer Verbündeten,
28 worunter fünfhundert Judäer und tausend Nabatäer unter Syllaios.

Nach vielen Unglücksfällen und Strapazen kam er am fünfzehnten Tag in
Leuke Kome im Land der Nabatäer, einem großen Handelsplatz, an; er
hatte durch schlechtes Wetter, nicht durch irgendeinen Feind, viele seiner
32 Schiffe verloren (manche mitsamt ihrer Mannschaft). Das hatte die Tücke
des Syllaios bewirkt, der behauptet hatte, über Land sei es für eine Armee
781 unmöglich nach Leuke Kome zu kommen, einem Ort zu dem und aus dem
die Karavanen sicher und bequem nach und aus Petra reisen, mit einer sol-
chen Menge von Männern und Kamelen dass es überhaupt keinen Unter-
schied mit einer Armee macht.

4 Dies konnte geschehen weil der König Obodas sich nicht sehr um die all- **24**
gemeinen Geschäfte – besonders um das Militärwesen (was allen Königen
der Araber gemein ist) – kümmerte, sondern alles dem Verweser Syllaios
überließ und dieser alles mit Hinterlist lenkte und meiner Meinung nach
8 darauf aus war das Land auszukundschaften, ein paar seiner Städte und
Völker zusammen mit den Römern zu erobern und selber Herr des Ganzen
zu werden wenn jene durch Hunger, Mühsal, Krankheiten und alles weitere
Elend für das er mit Hinterlist gesorgt hatte, ausgeschaltet wären.

12 Indessen wurde sein Heer, als er in Leuke Kome landete, bereits von
Mundübel und Beinstörung heimgesucht, einheimischen Krankheiten bei
denen durch das Wasser und die Kräuter am Mund bzw. an den Beinen eine
Art Lähmung auftritt. Er war daher gezwungen, zur Wiederherstellung der
16 Kranken den Sommer und den Winter dort zu bleiben. (Aus Leuke Kome
werden die Handelswaren nach Petra, von dort nach Rhinokolura im an

τὰ φορτία κομίζεται κἀντεῦθεν εἰς τοὺς ἄλλους· νυνὶ δὲ τὸ πλέον εἰς
τὴν Ἀλεξάνδρειαν τῷ Νείλῳ· κατάγεται δ' ἐκ τῆς Ἀραβίας καὶ τῆς Ἰνδικῆς
20 εἰς Μυὸς ὅρμον· εἶθ' ὑπέρθεσις εἰς Κοπτὸν τῆς Θηβαΐδος καμήλοις ἐν
διώρυγι τοῦ Νείλου κειμένην· * * * εἰς Ἀλεξάνδρειαν).

Πάλιν ⟨δ'⟩ ἐκ τῆς Λευκῆς κώμης ὁ Γάλλος ἀναζεύξας τὴν στρατιὰν διὰ
τοιούτων ᾔει χωρίων ὥστε καὶ ὕδωρ καμήλοις κομίζειν μοχθηρίᾳ τῶν ἡγεμό-
24 νων τῆς ὁδοῦ· διόπερ πολλαῖς ἡμέραις ἧκεν εἰς τὴν Ἀρέτα γῆν συγγενοῦς
τῷ Ὀβόδᾳ. ἐδέξατο μὲν οὖν αὐτὸν ⟨ὁ⟩ Ἀρέτας φιλικῶς καὶ δῶρα προσή-
νεγκεν, ἡ δὲ τοῦ Συλλαίου προδοσία κἀκείνην ἐποίησε τὴν χώραν δυσπό-
ρευτον· τριάκοντα γοῦν ἡμέραις διῆλθεν αὐτήν — ζειὰς καὶ φοίνικας ὀλί-
28 γους παρέχουσαν καὶ βούτυρον ἀντ' ἐλαίου — διὰ τὰς ἀνοδίας.

Ἡ δ' ἑξῆς ἣν ἐπῄει νομάδων ἦν καὶ ἔρημος τὰ πολλὰ ὡς ἀληθῶς, ἐκα-
λεῖτο δὲ Ἀραρηνή (βασιλεὺς δ' ἦν Σάβως). καὶ ταύτην ⟨δ'⟩ ἀνοδίαις δι-
ῆλθε κατατρίψας ἡμέρας πεντήκοντα μέχρι πόλεως Ἀγράνων καὶ χώρας εἰ-
32 ρηνικῆς τε καὶ ἀγαθῆς· ὁ μὲν οὖν βασιλεὺς ἔφυγεν, ἡ δὲ πόλις ἐξ ἐφόδου
κατελήφθη. ἐκεῖθεν ἡμέραις ἓξ ἧκεν ἐπὶ τὸν * * ποταμόν. συναψάντων
δ' αὐτόθι τῶν βαρβάρων εἰς μάχην περὶ μυρίους αὐτῶν ἔπεσον, τῶν δὲ Ῥω-
782C. μαίων δύο· | ἐχρῶντο γὰρ ἀπείρως τοῖς ὅπλοις ἀπόλεμοι τελέως ὄντες,
τόξοις τε καὶ λόγχαις ⟨καὶ⟩ ξίφεσι καὶ σφενδόναις, οἱ πλεῖστοι δ' αὐτῶν
ἀμφιστόμοις πελέκεσιν. εὐθὺς δὲ καὶ τὴν πόλιν εἷλε, καλουμένην Ἄσκα,
4 ἐκλειφθεῖσαν ὑπὸ τοῦ βασιλέως.

18 ἐκομίζετο? τὸ om. F **19** τὰ post κατάγεται add. codd.: del. Groskurd
20 ὑπέρθεσις Casaubonus: ὑπερθέσεις codd. **20 sq.** καμήλοις ἢ διώρυγι τοῦ Ν.· ἐκεῖ-
θεν δ' (κἀκεῖθεν maluit Korais) εἰς Ἀ. Casaubonus **21** κειμένην E (coniecit
Letronne): -νη cett. lacunam esse vidit Letronne, ipse ⟨εἶτ'⟩ suppleri iubens; at
plura excidisse videntur, e. g. ἐντεῦθεν δὲ πλοίοις (κατα)κομίζεται sim. **22** addidi
24 ἀρετὰ F **25** addidi ἀρετὰς F **27 sq.** ὀλίγους F: -γας cett. **29** {καὶ}
Casaubonus ἔρημος z: -μα BCDF **30** ἀραρινή C[1] σαβᾶς D addidi
31 Ἀγράνων F: ἀγρανῶν BCD; νεγρανῶν z, Νεγράνων Korais **33** nomen fluminis
excidisse vidit Letronne; ἐπί τινα ποταμόν? Groskurd **34** μὲν post μυρίους add. E
782 **1** ὅπλοις D: ὄχλοις cett. **2** add. Korais **3** Ἄσκα DF: ἀσκά BC; ἀσκᾶ q,
Νασκᾶ vel Νεσκᾶ Stiehle (1855, 727), Νάσκα A. Sprenger (Die alte Geographie Ara-
biens …, Bern 1875, 160) **4** ἐκλειφθεῖσαν Cobet (Misc. 201): συλληφθεῖσαν codd.;
καταλειφθεῖσαν Xylander, ἀπολειφθεῖσαν Casaubonus ⟨δ'⟩ ὑπὸ?

Ägypten stoßenden Teil Phöniziens und von dort zu den übrigen Abneh-
mern gebracht; heute gehen die meisten über den Nil nach Alexandrien: sie
20 werden aus Arabien und Indien nach Myos Hormos gebracht, dann wird
mit Kamelen der Pass nach Koptos in der Thebais überstiegen, das an einem
Nilkanal liegt, ⟨und von dort geht es mit Schiffen⟩ nach Alexandrien).

Als er mit seiner Armee wieder aus Leuke Kome aufgebrochen war, zog
Gallus infolge der Minderwertigkeit der Führer durch Gegenden die so be-
24 schaffen waren dass man sogar Wasser auf Kamelen mitführen musste; da-
her kam er erst nach vielen Tagen in das Land des Aretas, eines Verwandten
des Obodas. Zwar empfing Aretas ihn freundschaftlich und überreichte ihm
Geschenke; aber der Verrat des Syllaios machte den Durchzug auch durch
dieses Land schwer: jedenfalls brauchte er wegen der Unwegsamkeit dreißig
28 Tage um es zu durchqueren, ein Land das nur Emmer, ein wenig Datteln
und Butter statt Öl lieferte.

Das nächste Land das er durchzog war ein Land von Nomaden, das
größtenteils im wahren Sinne des Wortes öde war; es hieß Ararene (sein Kö-
nig war Sabos). Auch mit dessen Durchquerung verbrachte er wegen seiner
32 Unwegsamkeit fünfzig Tage, bis zu der Stadt Agrana und einem friedlichen
und guten Land; der König war geflohen, die Stadt wurde im Handstreich
erobert. Von dort kam er in sechs Tagen zu dem Fluss * *. Als sich dort die
Barbaren zum Kampf stellten, fielen von ihnen rund zehntausend, von den
782 Römern zwei: gebrauchten sie ihre Waffen doch ohne Erfahrung, da sie völ-
lig unkriegerisch sind (sie hatten Pfeil und Bogen, Lanzen, Schwerter und
Schleudern, die Meisten aber Doppeläxte). Unmittelbar danach nahm er
4 auch die Stadt ein; sie hieß Aska und war von ihrem König verlassen wor-
den.

Ἐντεῦθεν εἰς Ἄθρουλα πόλιν ἧκεν ⟨καὶ⟩ κρατήσας αὐτῆς ἀκονιτὶ φρου-
ρὰν ἐμβαλὼν καὶ παρασκευάσας * * σίτου καὶ φοινίκων εἰς πόλιν Μαρσίαβα
προῆλθεν ἔθνους τοῦ Ῥαμμανιτῶν, οἳ ἦσαν ὑπὸ Ἰλασάρῳ. ἓξ μὲν οὖν ἡμέρας
8 προσβαλὼν ἐπολιόρκει, λειψυδρίας δ' οὔσης ἀπέστη. δύο μὲν οὖν ἡμερῶν
ὁδὸν ἀπέσχε τῆς ἀρωματοφόρου — καθάπερ τῶν αἰχμαλώτων ἀκούειν ἦν —,
ἓξ δὲ μηνῶν χρόνον ἐν ταῖς ὁδοῖς κατέτριψε φαύλως ἀγόμενος. ἔγνω δ'
ἀναστρέφων ὀψὲ τὴν ἐπιβουλὴν καταμαθὼν καὶ καθ' ἑτέρας ὁδοὺς ἐπανελ-
12 θών. ἐνναταῖος μὲν γὰρ εἰς Ἀνάγρανα ἧκεν, ὅπου ἡ μάχη συμβεβήκει, ἑν-
δεκαταῖος δ' ἐκεῖθεν εἰς Ἑπτὰ φρέατα καλούμενα ἀπὸ τοῦ συμβεβηκότος·
ἐντεῦθεν ἤδη δι' εἰρην⟨ικ⟩ῆς εἰς Χάαλλα κώμην καὶ πάλιν ἄλλην Μαλόθαν
πρὸς ποταμῷ κειμένην ἀφικνεῖται· εἶτα δι' ἐρήμης ὀλίγα ὑδρεῖα ἐχούσης
16 ὁδὸς μέχρι Ἐγρᾶς κώμης (ἔστι δὲ τῆς Ὀβόδα, κεῖται δ' ἐπὶ θαλάττης)· τὴν
δὲ πᾶσαν ὁδὸν ἑξηκοσταῖος ἐξήνυσε κατὰ τὴν ἐπάνοδον, ἀναλώσας ἓξ μῆνας
ἐν τῇ ἐξ ἀρχῆς ὁδῷ.

Ἐντεῦθεν δ' ἐπεραίωσε τὴν στρατιὰν ἑνδεκαταῖος εἰς Μυὸς ὅρμον, εἶθ'
20 ὑπερθεὶς εἰς Κοπτὸν μετὰ τῶν ὀνηθῆναι δυναμένων κατῆρεν εἰς Ἀλεξάν-
δρειαν· τοὺς δ' ἄλλους ἀπέβαλεν οὐχ ὑπὸ πολεμίων, ἀλλὰ νόσων καὶ κόπων
καὶ λιμοῦ καὶ μοχθηρίας τῶν ὁδῶν (ἐπεὶ κατὰ πόλεμον ἑπτά γε μόνους
διαφθαρῆναι συνέβη)· δι' ἃς αἰτίας οὐδ' ἐπὶ πολὺ πρὸς τὴν γνῶσιν τῶν τό-
24 πων ὤνησεν ἡ στρατεία αὕτη, μικρὰ δ' ὅμως συνήργησεν. ὁ δ' αἴτιος τούτων

5 ἧκε q add. Korais; an κρατήσας ⟨δ'⟩? ἀκονιτὶ D^{ac}: -τεὶ CD^{pc}, -τεῖ BF **6** lacunam agnovit Agallianus, ipse h.l. τροφὰς (x) vel ἐφόδια (z) supplens vel (y) φοινίκων ⟨πλῆθος⟩ scribens Μαρσίαβα F: μαρσυαβαὶ cett.; Μαρίαβα Kramer, Μαρσύαβα Biffi **7** Ῥαμμανιτῶν D: ῥαμμανει- B, ῥαμβανει- F, ῥαμανει- C ἰλισάρῳ F ἡμέρας CF: -ραις BD **8** λειψυδρίας BF: -δρείας CD **9** ἀπεῖχε Kallenberg (1912, 184) **11** ὀψὲ Xylander (*sero* iam Tifernate): ὄψει codd. καὶ ante καταμαθὼν add. codd.: del. Korais **12** ἐνναταῖος D: ἐνναεταῖος BC, ἐναταῖος F οὖν pro γὰρ D Ἀνάγρανα BCD: νάγρανα F; τὰ νάγρανα in codd. se legisse testatur Casaubonus; Νέγρανα Korais, τὰ Νέγρανα Groskurd; τὰ Ἄγρανα? vide comm. **14** add. Korais; ἐρήμης? Casaubonus **15** ἐρήμου? **16** ἐγρὰς F; νεγρᾶς iyz, ὑγρᾶς w, Ἔγρας Korais coll. St. B. 260, 11 Ὀβόδα z, Casaubonus: ὀβάδα BCD, ὀβᾶδᾳ (sic) F **17** ἑξηκοσταῖος Casaubonus: ἑξηκοστὸς EF, ἑξηκοστὸν cett. **20** ὑπερθεὶς Korais: ὑπέρθεσις codd. ὀνηθῆναι E (coniecit Korais): ὠνη- cett.; σωθῆναι Kramer, πορευθῆναι Cobet (Misc. 201 sq.), ἀναχθῆναι Bernardakis (56), ὁρμηθῆναι Vogel (1880, 335); 'Nach p. 346, 23 ff. ⟨= 780, 26–8⟩ erwartet man eine zahl' Jacoby (ad FGrHist 677 F 6 p. 348, 15) **22** τῶν om. E γε μόνους E: γενόμενον F, γενομένων cett.; γε μόνον Xylander **24** στρατεία E: -τιὰ cett. ὁ δ' Casaubonus: ὅ τ' codd.

Von dort kam er zu der Stadt Athrula, und nachdem er sie ohne Kampf
erobert hatte, stationierte er dort eine Besatzung, schaffte * * von Getreide
und Datteln herbei und zog weiter nach Marsiaba, einer Stadt des Rham-
8 maniter-Volkes, das dem Ilasaros unterstand. Er berannte sie sechs Tage
lang und belagerte sie, musste aber wegen Wassermangels aufgeben. Er war
nur zwei Tagereisen von dem Spezereienland entfernt – wie man von den
Gefangenen hören konnte –, hatte aber eine Zeit von sechs Monaten mit
dem Umherziehen unter schlechter Führung vertan. Das wurde ihm klar als
er umkehrte, nachdem er zu spät die böse Absicht durchschaut hatte und
12 auf anderen Wegen zurückgekehrt war. Kam er doch am neunten Tag nach
Anagrana, wo die Schlacht stattgefunden hatte, am elften von dort zu den
Sieben Zisternen (so benannt nach dieser Besonderheit); von dort erreichte
er durch nunmehr friedliches Land das Dorf Chaalla und ein weiteres, Ma-
lotha, das bei einem Fluss liegt; dann ging der Weg durch eine Einöde mit
16 wenigen Wasserstellen bis zu dem Dorf Egra (es gehört zu dem Gebiet des
Obodas und liegt am Meer): den ganzen Weg hatte er zurück in sechzig Ta-
gen geschafft, während er auf dem Hinweg sechs Monate gebraucht hatte.

Von dort setzte er das Heer in zehn Tagen über nach Myos Hormos,
20 dann zog er mit denen denen geholfen werden konnte über den Pass nach
Koptos und erreichte Alexandrien zu Schiff: die Übrigen hatte er nicht
durch Feinde verloren, sondern durch Krankheiten, Mühsal, Hunger und
schlechte Beschaffenheit der Wege (denn im Kampf waren nur sieben Mann
umgekommen); aus diesen Gründen hat dieser Feldzug auch nicht viel Nut-
24 zen für die Kenntnis der Gegend gebracht, ein wenig aber trotzdem dazu

ὁ Συλλαῖος ἔτεισε δίκας ἐν Ῥώμῃ, προσποιούμενος μὲν φιλίαν, ἐλεγχθεὶς δὲ
πρὸς ταύτῃ τῇ πονηρίᾳ καὶ ἄλλα κακουργῶν καὶ ἀποτμηθεὶς τὴν κεφαλήν.

Τὴν μὲν οὖν ἀρωματοφόρον διαιροῦσιν εἰς τέτταρας μερίδας, ὥσπερ **25**
28 εἰρήκαμεν (768,7 sqq.), τῶν ἀρωμάτων δὲ λίβανον μὲν καὶ σμύρναν ἐκ
δένδρων γίνεσθαί φασι, κασίαν δὲ καὶ ἐκ λιμνῶν· τινὲς δὲ τὴν πλείω
ἐξ Ἰνδῶν εἶναι, τοῦ δὲ λιβάνου βέλτιστον τὸν πρὸς τῇ Περσίδι. κατ'
ἄλλην δὲ διαίρεσιν σύμπασαν τὴν Εὐδαίμονα πενταχῇ σχίζουσιν εἰς βασι-
32 λείας· ὧν ἡ μὲν τοὺς μαχίμους ἔχει καὶ προαγωνιστὰς ἁπάντων, ἡ δὲ
τοὺς γεωργούς — παρ' ὧν ὁ σῖτος εἰς τοὺς ἄλλους εἰσάγεται —, ἡ δὲ τοὺς
783C. βαναυσοτεχνοῦντας· καὶ ἡ μὲν σμυρνοφόρος, ἡ δὲ λιβανωτοφόρος, | αἱ δ'
αὐταὶ καὶ τὴν κασίαν καὶ τὸ κιννάμωμον καὶ τὴν νάρδον φέρουσι· παρ'
ἀλλήλων δ' οὐ μεταφοιτᾷ τὰ ἐπιτηδεύματα, ἀλλ' ἐν τοῖς πατρίοις διαμέ-
4 νουσιν ἕκαστοι.

Οἶνος δ' ἐκ φοινίκων ὁ πλείων. ἀδελφοὶ τιμιώτεροι τῶν τέκνων. κατὰ
πρεσβυτερίαν καὶ βασιλεύουσιν οἱ ἐκ τοῦ γένους καὶ ἄλλας ἀρχὰς ἄρχουσι.
κοινὴ κτῆσις ἅπασι τοῖς συγγενέσι, κύριος δὲ ὁ πρεσβύτατος. μία δὲ καὶ
8 γυνὴ πᾶσιν, ὁ δὲ φθάσας εἰσιὼν μίγνυται προθεὶς τῆς θύρας τὴν ῥάβδον
(ἑκάστῳ γὰρ δεῖν ῥαβδοφορεῖν ἔθος)· νυκτερεύει δὲ παρὰ τῷ πρεσβυτάτῳ·
διὸ καὶ πάντες ἀδελφοὶ πάντων εἰσί. μίγνυνται δὲ καὶ μητράσι, μοιχῷ δὲ
ζημία θάνατος· μοιχὸς δ' ἐστὶν ὁ ἐξ ἄλλου γένους. θυγάτηρ δὲ τῶν βασι-
12 λέων τινὸς θαυμαστὴ τὸ κάλλος ἔχουσα ἀδελφοὺς πεντεκαίδεκα ἐρῶντας
αὐτῆς πάντας καὶ διὰ τοῦτ' ἀδιαλείπτως ἄλλον ἐπ' ἄλλῳ παριόντα⟨ς⟩ ὡς
αὐτὴν κάμνουσα ἤδη παραδέδοται νοήματι χρήσασθαι τοιούτῳ. ποιησαμένη
ῥάβδους ὁμοίας ταῖς ἐκείνων ὅτ' ἐξίοι παρ' αὐτῆς τις, ἀεὶ προὐτίθει τῆς
16 θύρας τὴν ὁμοίαν ἐκείνῃ, καὶ μικρὸν ὕστερον ἄλλην, εἶτ' ἄλλην, στοχαζο-

25 ἔτεισε scripsi: ἔτι- codd. **26** ταύτῃ Casaubonus: αὐτῇ codd. ἀπετμήθη? Casaubonus **29** φασι⟨, κιννάμωμον δὲ ἐκ θάμνων⟩ Meyer (1852, 130 sq.) fort. recte: vide comm. κασίαν xy, Kramer: κασσ- codd. {καὶ} xyz, Korais θάμνων pro λιμνῶν Korais 783 **2** κασίαν F: κασσ- cett. κινά- E **3** δ' E: om. cett. **4** ἕκαστοι om. E **6** πρεσβυτερίαν BCDF: -τερείαν E; -γένειαν x[pc]yz, -γένιαν (sic) ed. pr. ἔχουσι pro ἄρχουσι E **7** ⟨ἡ⟩ κτῆσις Cobet ms. πᾶσι pro ἅπασι E ὁ E: om. cett. καὶ om. F **9** δεῖν om. q, δὴ xyz **13** add. Groskurd **14** κάμνουσα y[pc] (ut vid.), Hopper: -σαν codd. **15** τινα post ἀεί add. codd.: delevi **16** εἶτ' ἄλλην B[s] F: om. cett.

beigetragen. Der schuld hieran war, Syllaios, hat in Rom dafür gebüßt: er
täuschte zwar Freundschaft vor, wurde aber zusätzlich zu diesem bösartigen
Verhalten auch noch anderer Übeltaten überführt und enthauptet.

28 Das Spezereienland teilt man, wie wir sagten (768, 7 ff.), in vier Bezirke **25**
ein; von den Spezereien sollen Weihrauch und Myrrhe von Bäumen, Kasia
auch aus Seen kommen; nach Manchen kommt die meiste aus Indien und ist
der beste Weihrauch der bei Persien wachsende. Nach einer anderen Eintei-
32 lung teilt man das ganze Gesegnete Arabien in fünf Königreiche auf: eines
umfasst die Krieger, die für Alle kämpfen, eines die Bauern, von denen das
Getreide bei den Anderen importiert wird, eines die die ein Handwerk aus-
783 üben; dazu das Myrrhenland und das Weihrauchland, die zugleich auch
Kasia, Zimt und Narde produzieren; die Beschäftigungen wandern nicht
4 von den einen zu den anderen, sondern sie bleiben Alle bei den altererbten.

Der Wein kommt meist von Dattelpalmen. Geschwister werden höher ge-
schätzt als Kinder. Die Mitglieder des Königsgeschlechts üben die Herr-
schaft und andere Ämter nach Anciennität aus. Alle Verwandten haben ge-
8 meinsamen Besitz, Oberhaupt ist der Älteste. Auch *eine* Frau haben sie alle
zusammen; wer zuerst bei ihr eintritt, stellt seinen Stab vor die Tür und
wohnt ihr bei (ihre Sitte verlangt nämlich dass jeder einen Stab trägt); die
Nacht verbringt sie bei dem Ältesten; daher sind auch Alle Brüder voneinan-
der. Sie wohnen auch ihren Müttern bei, doch auf Ehebruch steht die To-
desstrafe; Ehebrecher ist wer aus einer anderen Familie stammt. Von einer
12 wunderschönen Tochter eines ihrer Könige, die fünfzehn Brüder hatte die
alle ihre Liebhaber waren und daher ohne Unterbrechung einer nach dem
anderen zu ihr kamen, wird erzählt, sie habe sich, als sie schließlich genug
davon hatte, Folgendes ausgedacht. Sie fertigte Stäbe an, die denen ihrer
Brüder glichen, und jedesmal wenn einer sie verließ, stellte sie den Stab der
16 seinem glich vor die Tür, etwas später einen anderen und dann wieder einen
anderen, wobei sie durch Wahrscheinlichkeitsüberlegungen dafür sorgte

μένη ὅπως μὴ ἐκείνῃ τὴν παραπλησίαν ἔχοι ὁ μέλλων προσιέναι. καὶ δὴ
πάντων ποτὲ κατ' ἀγορὰν ὄντων ἕνα προσιόντα τῇ θύρᾳ καὶ ἰδόντα τὴν
ῥάβδον ἐκ μὲν ταύτης εἰκάσαι διότι παρ' αὐτῇ τις εἴη, ἐκ δὲ τοῦ τοὺς
20 ἀδελφοὺς πάντας ἐν τῇ ἀγορᾷ καταλιπεῖν ὑπονοῆσαι μοιχόν· δραμόντα δὲ
πρὸς τὸν πατέρα καὶ ἐπαγαγόντα ἐκεῖνον ἐλεγχθῆναι καταψευσάμενον τῆς
ἀδελφῆς.

Σώφρονες δ' εἰσὶν οἱ Ναβαταῖοι καὶ κτητικοί· ὥστε καὶ δημοσίᾳ τῷ **26**
24 μὲν μειώσαντι τὴν οὐσίαν ζημία κεῖται, τῷ δ' αὐξήσαντι τιμαί. ὀλιγό-
δουλοι δ' ὄντες ὑπὸ τῶν συγγενῶν διακονοῦνται τὸ πλέον ἢ ὑπ' ἀλλήλων ἢ
αὐτοδιάκονοι, ὥστε καὶ μέχρι τῶν βασιλέων διατείνειν τὸ ἔθος. συσσίτια
δὲ ποιοῦνται κατὰ τρισκαίδεκα ἀνθρώπους, μουσουργοὶ δὲ δύο τῷ συμπο-
28 σίῳ ἑκάστῳ. ὁ δὲ βασιλεὺς ἐν οἴκῳ μεγάλῳ πολλὰ συνέχει συμπόσια· πίνει
δ' οὐδεὶς πλέον τῶν ἕνδεκα ποτηρίων ἄλλῳ καὶ ἄλλῳ χρυσῷ ἐκπώματι. οὕτω
δ' ὁ βασιλεύς ἐστι δημοτικὸς ὥστε πρὸς τῷ αὐτοδιακόνῳ καὶ ἀντιδιάκονον
τοῖς ἄλλοις καὶ αὐτὸν γίνεσθαι· πολλάκις δὲ καὶ ἐν τῷ δήμῳ δίδωσιν
32 εὐθύνας, ἔσθ' ὅτε καὶ ἐξετάζεται τὰ περὶ τὸν βίον. οἰκήσεις δὲ διὰ λίθου
πολυτελεῖς, αἱ δὲ πόλεις ἀτείχιστοι δι' εἰρήνην. εὔκαρπος ἡ πολλὴ πλὴν
784C. ἐλαίου (χρῶνται δὲ σησαμίνῳ). | πρόβατα λευκότριχα, βόες μεγάλοι· ἵππων
ἄφορος ἡ χώρα, κάμηλοι δὲ τὴν ὑπουργίαν ἀντ' ἐκείνων παρέχονται. ἀχί-
τωνες δ' ἐν περιζώμασι καὶ βλαυτίοις προΐασι καὶ οἱ βασιλεῖς (ἐν πορφυρᾷ
4 δ' οὗτοι). εἰσαγώγιμα δ' ἐστὶ τὰ μὲν τελέως, τὰ δ' οὐ παντελῶς, ἀλλ' ὥστε
καὶ ἐπιχωριάζειν, καθάπερ χρυσὸς καὶ ἄργυρος καὶ τὰ πολλὰ τῶν ἀρωμάτων·
χαλκὸς δὲ καὶ σίδηρος καὶ ἔτι πορφυρᾶ ἐσθής, στύραξ, κρόκος, κοστάρια,

23–6 *Eust. D. P. 384, 37–41 **26** *Eust. Il. 1113, 64 sq. **30** Eust.* D. P. 384, 41. *Il. 1113, 64 sq.

17 ἐκείνῃ Plan., Casaubonus: -νην codd. **19** αὐτῇ Korais: -τὴν codd. **21** ἐπαγαγόντα Korais: ἀπάγοντα B[i], ἀπαγαγόντα cett. **26** αὐτοδιάκονοί ⟨εἰσιν⟩? αὐτοὶ διακονοῦσιν? **27** τρισκαίδεκα C: τρεισ- BDF, ιγ´ E **28** οἴκῳ Tyrwhitt (45): ὄγκῳ codd. συνέχει E (coniecit x): -εχῆ cett. (unde συνεχῆ ⟨ποιεῖ⟩ z, ed. pr., ⟨ποιεῖ⟩ συνεχῆ y) **29** ⟨χρώμενος⟩ χρυσῷ? **30** καὶ E: καὶ τὸ cett.; καί ποτ' Korais **32** ὅτὲ ⟨δὲ⟩ q τὰ D[pc]E: τὰς cett. **33** ⟨ἡ δὲ χώρα⟩ (vel ⟨τῆς δὲ χώρας⟩) εὔκαρπος? **34** σησαμίνῳ DE: σισαμίνῳ BC, στησαμένῳ F 784 **2 sq.** ἀχίτωνες E (coniecit Casaubonus): χιτῶνες cett. **3** προΐασι E: προϊᾶσι BCD, προσιᾶσι F **4 sq.** ἀλλ' ὥστε Madvig (Adv. 1, 563 sq.): ἄλλως τε codd. ἐπιχωριάζει E (coniecit Casaubonus, vide infra) καὶ ἄλλα δὲ ἐπιχωριάζει Casaubonus, ἄλλως τε καὶ τὰ ἐπιχωριάζοντα Korais, ἄλλως τε καὶ ἐπιχωριάζοντα Groskurd, ἄλλως τε καὶ ὅτι ἐπιχωριάζει? Kramer **5** χρυσὸς καὶ ἄργυρος E (coniecit Casaubonus): χρυσὸν καὶ ἄργυρον cett. (def. Madvig, cf. ad 4 sq.) **6** κρόκος E: κρόκος δὲ καὶ cett.; κρόκος τε καὶ x

dass es nicht der war dessen Ebenbild der Nächstkommende trug. Da sei
einmal, als sie alle auf dem Markt waren, einer an die Tür gekommen und
habe, als er den Stab sah, daraus geschlossen dass jemand bei ihr war, auf-
20 grund der Tatsache aber dass er alle seine Brüder auf dem Markt zurückge-
lassen hatte, einen Ehebrecher vermutet; er sei zu seinem Vater gelaufen,
habe ihn herbeigeholt und den Beweis bekommen dass er seine Schwester
fälschlich beschuldigt hatte.

Die Nabatäer sind verständig und erwerbsam (so dass es sogar von Staats **26**
24 wegen eine Strafe gibt für den der seinen Besitz vermindert und Privilegien
für den der ihn vermehrt). Da sie wenig Sklaven halten, wird ihnen meist
von ihren Verwandten geholfen, oder man hilft sich gegenseitig oder ver-
richtet die Arbeit selber (so dass diese Sitte sich sogar bis zu ihren Königen
erstreckt). Sie halten gemeinsame Mahlzeiten zu dreizehn Personen, und zu
28 jedem Trinkgelage kommen zwei Musizierende. Der König veranstaltet in
einem großen Hause viele Trinkgelage; es trinkt niemand mehr als elf Be-
cher aus immer wieder anderen goldenen Trinkgefäßen. Der König ist so
volksnah dass er nicht nur selber arbeitet sondern sogar auch seinerseits den
Anderen Gegendienste leistet; oft legt er auch vor dem Volk Rechenschaft
32 ab, manchmal wird sogar sein Lebenswandel untersucht. Ihre Wohnungen
sind kostbar aus Stein gebaut, die Städte ohne Mauern, da Frieden herrscht.
Das meiste Land ist reich an Produkten außer Olivenöl (sie gebrauchen Se-
784 samöl). Die Schafe haben weißes Fell, die Rinder sind groß; Pferde hat das
Land nicht, Kamele leisten den Dienst an ihrer Stelle. Sie gehen einher ohne
Unterkleid in Lendenschurzen und Hausschuhen, auch die Könige (sie al-
4 lerdings in Purpur). Importiert wird Manches ganz und gar, Anderes nicht
vollständig, in dem Sinne dass es auch einheimisch ist, wie Gold, Silber und
die meisten Spezereien; Kupfer und Eisen dagegen und ferner Purpurge-

τόρευμα, γραφή, πλάσμα οὐκ ἐπιχώρια. ἰσόκοπρα δ' ἡγοῦνται τὰ νεκρὰ σώ-
8 ματα — καθάπερ Ἡράκλειτός φησι (22 B 96 D.-K.)· 'νέκυες κοπρίων ἐκβλητό-
τεροι' —· διὸ καὶ παρὰ τοὺς κοπρῶνας κατορύττουσι καὶ τοὺς βασιλεῖς.
ἥλιον τιμῶσιν ἐπὶ τοῦ δώματος ἱδρυσάμενοι βωμόν, σπένδοντες ἐν αὐτῷ
καθ' ἡμέραν καὶ λιβανωτίζοντες.

27

12 Τοῦ δὲ ποιητοῦ λέγοντος (δ 84)

Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους καὶ Ἐρεμβούς

διαποροῦσι καὶ περὶ τῶν Σιδονίων μὲν εἴτε τινὰς χρὴ λέγειν τῶν ἐν τῷ
Περσικῷ κόλπῳ κατοικούντων, ὧν ἄποικοι οἱ παρ' ἡμῖν Σιδώνιοι — καθάπερ
16 καὶ Τυρίους τινὰς ἐκεῖ νησιώτας ἱστοροῦσι καὶ Ἀραδίους, ὧν ἀποίκους
τοὺς παρ' ἡμῖν φασιν — εἴτ' αὐτοὺς τοὺς Σιδωνίους. ἀλλὰ μᾶλλον περὶ τῶν
Ἐρεμβῶν ἡ ζήτησις, εἴτε τοὺς Τρωγλοδύτας ὑπονοητέον λέγεσθαι — καθάπερ
οἱ τῇ ἐτυμολογίᾳ βιαζόμενοι ἀπὸ τοῦ εἰς τὴν ἔραν ἐμβαίνειν, ὅπερ ἐστὶν
20 εἰς τὴν γῆν — εἴτε τοὺς Ἄραβας. ὁ μὲν οὖν Ζήνων ὁ ἡμέτερος (fr. 275,
SVF 1, 63) μεταγράφει οὕτως 'καὶ Σιδονίους Ἄραβάς τε'. πιθανώτερον δὲ Πο-
σειδώνιος γράφει (F 281 a Ed.-Kidd) τῷ παρὰ μικρὸν ἀλλάξαι 'καὶ Σιδονίους
καὶ Ἀραμβούς', ὡς τοῦ ποιητοῦ τοὺς νῦν Ἄραβας οὕτω καλέσαντος, καθάπερ
24 καὶ ὑπὸ τῶν ἄλλων ὠνομάζοντο κατ' αὐτόν. φησὶ δὲ ταύτῃ τρία ἔθνη συνε-
χῆ ἀλλήλοις ἱδρυμένα ὁμογένειάν τινα ἐμφαίνειν πρὸς ἄλληλα καὶ διὰ
⟨τοῦ⟩το παρακειμένοις ὀνόμασι κεκλῆσθαι, τοὺς μὲν Ἀρμενίους, τοὺς δὲ
Ἀραμαίους, τοὺς δὲ Ἀραμβούς· ὥσπερ δὲ ἀπὸ ἔθνους ⟨ἑνὸς⟩ ὑπολαμβάνειν
28 ἐστὶν εἰς τρία διῃρῆσθαι κατὰ τὰς τῶν κλιμάτων διαφορὰς ἀεὶ καὶ μᾶλλον

14–7 Eust. Od. 1484, 33–5 **17–21** Eust. Od. 1484, 62 sq. **17–20** Eust. Od. 1485, 1 sq.

7 ἰσόκοπρα δ' Madvig (Adv. 1, 564): ἴσα κόπρα F, ἶσα κοπρίαις E, ἴσα κοπρίαν B^{i}CD, ἴσα κόπρῳ B^{s} **8 sq.** verba καθάπερ — ἐκβλητότεροι suspecta habuit Meineke (3, VI ad 1094, 8) **9** καταρρίπτουσι? Wright (PalEQ 101, 1969, 113); vide comm. **10** ἥλιον ⟨δὲ⟩? σπένδοντες B^{s}F: σπεύδ- cett. ἐπ' pro ἐν Cobet ms. **11** λιβανωτίζοντες C^{pc}D: λιβανο- cett. **14** σιδωνίων EF μὲν post διαποροῦσι transposuit Korais εἴτε τινὰς E (coniecit Tyrwhitt 45): τίνας cett. **15** Σιδώνιοι D^{s}E: σιδό- cett. **17** Σιδωνίους D^{s}E: σιδο- cett. περὶ Xylander: ἐπὶ codd. **18** τρωγλω- E **19** τὴν ἐτυμολογίαν Casaubonus perperam: vide comm. **23** Ἀραμβούς Kramer: ἐρεμβούς codd.; Ἀρεμβούς Tyrwhitt (45 sq.) **24** ταύτῃ scripsi: ταῦτα codd. **26** add. Groskurd **27** Ἀραμαίους Kramer: ἀρμαίους F^{mg}, ἀραβίους cett.; ἄραβας q Ἀραμβούς F^{mg}: ἐρεμβούς cett.; Ἀρεμβούς Tyrwhitt (46) add. Tyrwhitt (45); πιθανῶς pro ἀπὸ ἔθνους Korais

wänder, Styrax, Safran, Kostaria, toreutische Arbeit, Malerei und Plastik
8 sind nicht einheimisch. Die Körper der Toten setzen sie dem Mist gleich –
wie Heraklit sagt (22 B 96 D.-K.): 'Leichen soll man eher wegwerfen als
Mist' –; daher verscharren sie sogar die Könige neben den Misthaufen. Die
Sonne verehren sie indem sie auf dem Dach einen Altar errichten, auf dem
sie täglich Trankopfer darbringen und Weihrauch brennen.

27

12 Wo der Dichter sagt (Od. 4, 84)

Kam zu den Äthiopen, Sidoniern und den Erembern

wird zwar auch über die Sidonier diskutiert, ob man darunter irgendwelche
Anwohner des Persischen Golfs verstehen soll, deren Kolonisten die Sido-
16 nier bei uns wären – wie ja auch von dortigen inselbewohnenden Tyriern
und Aradiern berichtet wird, deren Kolonisten die bei uns sein sollen –
oder die Sidonier selber. Mehr aber geht es um das Problem der Erember,
ob man annehmen soll dass damit die Troglodyten bezeichnet werden –
wie diejenigen behaupten die das mit der Etymologie erzwingen wollen, in-
20 dem sie den Namen von dem Einsteigen (*embainein*) in die *era*, d. h. die Er-
de, ableiten – oder die Araber. Unser Zenon (fr. 275, SVF 1, 63) ändert den
Text zu 'Sidoniern und den Arabern'. Plausibler wegen der geringen Ände-
rung schreibt Poseidonios (F 281 a Ed.-Kidd) 'Sidoniern und den Aram-
bern', wobei er annimmt dass der Dichter die heutigen Araber so bezeichnet
24 hat, ebenso wie sie zu seiner Zeit auch von den übrigen Menschen genannt
wurden. Er sagt, es wohnten dort drei Völker nebeneinander die eine ge-
wisse Verwandtschaft miteinander erkennen ließen und deshalb mit ähnlich
klingenden Namen bezeichnet worden seien: die Armenier, die Aramäer
28 und die Aramber; ebenso wie man annehmen könne dass sie sich, entspre-
chend den Unterschieden der Breitenstriche, die immer größer wurden, aus

ἐξαλλαττομένων, οὕτως καὶ τοῖς ὀνόμασι χρήσασθαι πλείοσιν ἀνθ' ἑνός. οὐδ' οἱ ''Ἐρεμνούς' γράφοντες πιθανοί· τῶν γὰρ Αἰθιόπων μᾶλλον ἴδιον. λέγει δὲ καὶ τοὺς Ἀρίμους ὁ ποιητής (Β 783)· οὕς φησιν ὁ Ποσειδώνιος δέ-
32 χεσθαι δεῖν μὴ τόπον τινὰ τῆς Συρίας ἢ τῆς Κιλικίας ἢ ἄλλης τινὸς γῆς,
785C. ἀλλὰ τὴν Συρίαν αὐτήν· Ἀραμαῖοι γὰρ οἱ ἐν αὐτῇ, | τάχα δ' οἱ Ἕλληνες Ἀριμαίους ἐκάλουν ἢ Ἀρίμους (αἱ δὲ τῶν ὀνομάτων μεταπτώσεις, καὶ μάλιστα τῶν βαρβαρικῶν, πολλαί· καθάπερ τὸν Δαριήκην Δαρεῖον ἐκάλεσαν,
4 τὴν δὲ Φάρζιριν Παρύσατιν, Ἀτάργατιν δὲ τὴν Ἀθάραν· Δερκετὼ δ' αὐτὴν Κτησίας καλεῖ [FGrHist 688 F 1 p. 423, 23]).

Τῆς δὲ τῶν Ἀράβων εὐδαιμονίας καὶ Ἀλέξανδρον ἄν τις ποιήσαιτο μάρτυρα τὸν διανοηθέντα, ὥς φασι, καὶ βασίλειον αὐτὴν ποιήσασθαι μετὰ τὴν
8 ἐξ Ἰνδῶν ἐπάνοδον. πᾶσαι μὲν οὖν αἱ ἐπιχειρήσεις αὐτοῦ κατελύθησαν τελευτήσαντος παραχρῆμα τὸν βίον, μία δ' οὖν καὶ αὕτη τῶν ἐπιχειρήσεων ἦν. εἰ μὲν ἑκόντες παραδέχοιντο αὐτόν· εἰ δὲ μή, ὡς πολεμήσοντος· καὶ δὴ ὁρῶν μήτε πρότερον μήθ' ὕστερον πέμψαντας ὡς αὐτὸν πρέσβεις παρεσκευ-
12 άζετο πρὸς τὸν πόλεμον, ὥσπερ εἰρήκαμεν ἐν τοῖς ἔμπροσθεν (741, 10 sqq.).

30 Eust. Od. 1485, 2 sq. 31–3 Eust. Il. 347, 1 sq. 785 6–8 *Eust. D. P. 382, 33–6

29 οὕτω qxyz **31** φησι Ποσειδώνιος tacite Kramer (per errorem, ut vid.) **32** τῆς post. om. E **33** Ἀραμαῖοι Korais: ἀρι- codd., Eust. 785 **1** τάχα δὲ τότε οἱ X **2** Ἀριμαίους z: ἀρα- BCDEFX **3** δαρρίκην E; Δαριαούην Casaubonus, Δαριαύην Salmasius (Plin. exerc. 574 A) **4** φάρζηριν EF, φάρζην X Παρύσατιν D^{s} E: παροισάτιν BCF, παροισάτην D^{ac}, παρυσάτην D^{pc}, παρυσάτὴν X Ἀτάργατιν Lagarde (Ges. Abh. 183, 10): ἀταρ[ ]ὰτιν (sic) E, ἀταργάτιν cett. δὲ post. om. E Ἀθάραν D^{pc}: ἀθαρα (sic) E, ἀθάρα cett. **7** καὶ om. F **8** αὐτοῦ $q^{pc}yz^{pc}$: -ῶν BCDF **10** δέχοιντο F πολεμήσοντος Xylander: -τες codd. **11** μήθ' q: μηδ' BCDF **12** post ἔμπροσθεν verba 13 sq. Ἐπεὶ — αὐτὴν (etiam suo loco scripta) add. F (recipi iussit Birt, vide 176, 9 comm.); tum τὸ ις′ βιβλίον (om. C) περιέχει περὶ τῆς Βαβυλωνίας καὶ Ἐλυμηΐδος καὶ Παραιτακηνῆς μέχρι τῆς Ἀδιαβηνῆς καὶ Μεσοποταμίας καὶ τῆς ἐντὸς Εὐφράτου Συρίας καὶ Φοινίκης καὶ τῶν συνέθνων τῶν συναπτόντων τῇ Ἀραβίᾳ καὶ τῷ Νείλῳ BCF

einem Volk zu drei verschiedenen entwickelt haben, so auch dass mehrere Namen statt des einen gebraucht wurden. Auch die die 'Eremnern' ('den Dunklen') schreiben überzeugen nicht, denn das ist eher eine Eigenschaft der Äthiopen. Der Dichter nennt auch die Arimer (Il. 2, 783); unter ihnen,
32 sagt Poseidonios, dürfe man nicht irgendeine Gegend Syriens oder Kilikiens oder irgendeines anderen Landes verstehen, sondern Syrien selbst: heißen
785 seine Bewohner doch Aramäer, und vielleicht haben die Griechen sie Arimäer oder Arimer genannt (Umwandlungen von Namen, besonders von barba-
4 rischen, gibt es viele; so haben sie z. B. den Dariëkes 'Dareios' genannt, die Pharziris 'Parysatis' und die Athara 'Atargatis'; letztere nennt Ktesias [FGrHist 688 F 1 p. 423, 23] 'Derketo').

Als Zeugen für die Segensfülle der Araber könnte man auch Alexander anführen, der, wie man sagt, nach seiner Rückkehr aus Indien sogar beab-
8 sichtigte, das Land zu seiner Residenz zu machen. Freilich ist aus allen seinen Plänen dadurch dass er unmittelbar danach gestorben ist nichts geworden, doch war dies jedenfalls einer der Pläne. Würden sie ihn gütlich aufnehmen, umso besser; andernfalls war er entschlossen sie zu bekriegen, und angesichts der Tatsache dass sie zu keinem Zeitpunkt Gesandte zu ihm ge-
12 schickt hatten, war er auch schon dabei sich für den Krieg zu rüsten, wie wir im Vorhergehenden (741, 10 ff.) gesagt haben.

IZ

Ἐπεὶ δὲ τὴν Ἀραβίαν ἐφοδεύοντες καὶ τοὺς κόλπους συμπεριελάβομεν τοὺς σφίγγοντας αὐτὴν καὶ ποιοῦντας χερρόνησον, τὸν Περσικὸν καὶ τὸν Ἀράβιον, τούτῳ δέ τινα συμπεριωδεύθη καὶ τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας, 16 τὰ τῶν Τρωγοδυτῶν καὶ τῶν ἑξῆς μέχρι τῶν ἐσχάτων τῆς Κινναμωμοφόρου, τὰ λειπόμενα καὶ συνεχῆ τοῖς ἔθνεσι τούτοις, ταῦτα δ' ἐστὶ τὰ περὶ τὸν Νεῖλον, ἐκθετέον· μετὰ δὲ ταῦτα τὴν Λιβύην ἔπιμεν, ἥπερ ἐστὶ λοιπὴ τῆς συμπάσης γεωγραφίας. (1 1)

20 Κἀνταῦθα δ' Ἐρατοσθένους ἀποφάσεις προεκθετέον. φησὶ δὴ (fr. III B 51 Berger) τοῦ Ἀραβίου κόλπου πρὸς τὴν ἑσπέραν ἐννακοσίους ἢ χιλίους σταδίους διέχειν τὸν Νεῖλον, παραπλήσιον ὄντα κατὰ τὸ σῶμα τῷ γράμματι τῷ νῦ κειμένῳ ἀνάπαλιν· | ῥυεὶς γάρ, φησίν, ἀπὸ Μερόης ἐπὶ τὰς ἄρκτους ὡς δισχιλίους καὶ ἑπτακοσίους σταδίους πάλιν ἀναστρέφει πρὸς μεσημβρίαν καὶ τὴν χειμερινὴν δύσιν ὡς τρισχιλίους καὶ ἑπτακοσίους σταδίους, καὶ 4 σχεδὸν ἀντάρας τοῖς κατὰ Μερόην τόποις καὶ εἰς τὴν Λιβύην πολὺ προπεσὼν καὶ τὴν ἑτέραν ἐπιστροφὴν ποιησάμενος πρὸς τὰς ἄρκτους φέρεται πεντακισχιλίους μὲν καὶ τριακοσίους σταδίους ἐπὶ τὸν μέγαν καταρράκτην (μικρὸν παρεπιστρέφων πρὸς τὴν ἕω), χιλίους δὲ καὶ διακοσίους τοὺς ἐπὶ 8 τὸν ἐλάττω τὸν κατὰ Συήνην, πεντακισχιλίους δὲ ἄλλους καὶ τριακοσίους ἐπὶ τὴν θάλατταν. ἐμβάλλουσι δ' εἰς αὐτὸν δύο ποταμοὶ φερόμενοι μὲν ἐκ (2) (786C.)

786 1–793, 20 'Artemid.' fr. 90 Stiehle (vide Diller 1975, 93 sq. 1983, 65 sq.)

13 ante Strabonis verba τῶν Στράβωνος Γεωγραφικῶν τοῦ ἑπτακαιδεκάτου βιβλίου κεφάλαια. τὸ ἑπτακαιδέκατον περιέχει Αἴγυπτον πᾶσαν καὶ Λιβύην πᾶσαν BCD. Στράβωνος Γεωγραφικῶν ιζ´ (ἑπτακαιδέκατον D) BCDF 14 τόν ⟨τε⟩ Περσικὸν? 16 Τρωγοδυτῶν scripsi (cf. 318, 17 sq. comm.): τρωγλω- E, τρωγλο- cett. Κινναμωμοφόρου C^{s}F: κιναμωμοφόρου E, κινναμωφόρου BC^{i}, κινναμοφόρου D (cf. 774, 12 comm.) 18 ἔπιμεν DE: ἔπειμεν BCF μερόη supra λοιπὴ scriptum est in B 20 δ⟨ὲ τὰς⟩? 21 ἐννακοσίους ἢ χιλίους Groskurd: ͵α F^{mg}, ͵ϑ F^{t}, ͵ϑ ους E, ἐννακισχιλίους BCD; ἐννακοσίους Casaubonus, χιλίους Kramer 22 σῶμα scripsi (cf. 786, 13): στόμα codd.; σχῆμα Müller (1040 ad 668, 13), {κατὰ τὸ στόμα} Groskurd 23 νῦ C^{pc}EF: νῦ^{N} D, νῦν BC^{ac}; N̅ xyz, ν̄ ed. pr. 786 2 τὴν post πρὸς add. D 4 σχεδόν ⟨τι⟩ Meineke 4 sq. προπεσὼν DE (coniecit Groskurd): προσ- cett. 5 {καὶ}? 6 σταδίους om. B καταρράκτην iz: καταράκτην BCDEF (vide 817, 32 sq. comm.) 7 {τοὺς}?

XVII

Da wir in unsere Umwanderung Arabiens auch die Golfe, die es einschnüren und zu einer Halbinsel machen, den Persischen und den Arabischen, miteinbezogen und zusammen mit letzterem auch gewisse Teile 16 Ägyptens und Äthiopiens, nämlich das Gebiet der Trogodyten und der anschließenden Völker bis zu den Enden des Zimtlandes, umwandert haben, ist jetzt das Restliche und an diese Völker Stoßende, das heißt das Gebiet am Nil, darzustellen; danach werden wir durch Libyen ziehen, den Teil der von der gesamten Erdbeschreibung noch übrig ist. (1 1)

20 Auch hier sind zuerst Eratosthenes' Angaben vorzulegen. Er sagt denn (fr. III B 51 Berger), der Nil sei vom Arabischen Golf in westlicher Richtung neunhundert oder tausend Stadien entfernt und in der Form seines Laufes einem umgekehrten Buchstaben N ähnlich: nachdem er nämlich, sagt er, von Meroë etwa zweitausendundsiebenhundert Stadien nach Norden geflossen ist, dreht er wieder etwa dreitausendundsiebenhundert Stadien nach 4 Süden und Südwesten um, und wenn er fast auf der Höhe von Meroë angelangt und weit in Libyen eingedrungen ist, macht er die andere Biegung und läuft nach Norden, erst fünftausendunddreihundert Stadien zu dem Großen Katarakt (wobei er etwas nach Osten abbiegt), dann eintausendundzweihundert zu dem Kleinen bei Syene und dann weitere fünftausendunddrei8 hundert zum Meer. Es münden in ihn zwei Flüsse, die von Osten aus irgend- (2) (786)

τινων λιμνῶν ἀπὸ τῆς ἕω, περιλαμβάνοντες δὲ νῆσον εὐμεγέθη τὴν Μερόην·
ὧν ὁ μὲν Ἀσταβόρας καλεῖται κατὰ τὸ πρὸς ἕω πλευρὸν ῥέων, ἅτερος δ'
12 Ἀστάπους (οἱ δ' Ἀστασόβαν καλοῦσι, τὸν δ' Ἀστάπουν ἄλλον εἶναι ῥέοντα
ἔκ τινων λιμνῶν ἀπὸ μεσημβρίας, καὶ σχεδὸν τὸ κατ' εὐθεῖαν σῶμα τοῦ
Νείλου τοῦτον ποιεῖν· τὴν δὲ πλήρωσιν αὐτοῦ τοὺς θερινοὺς ὄμβρους πα-
ρασκευάζειν). ὑπὲρ δὲ τὰς συμβολὰς τοῦ Ἀσταβόρα καὶ τοῦ Νείλου σταδίοις
16 ἑπτακοσίοις Μερόην εἶναι πόλιν ὁμώνυμον τῇ νήσῳ. ἄλλην δ' εἶναι νῆσον
ὑπὲρ τῆς Μερόης, ἣν ἔχουσιν οἱ Αἰγυπτίων φυγάδες οἱ ἀποστάντες ἐπὶ
Ψαμμητίχου· καλοῦνται δὲ Σεμβρῖται (ὡς ἂν 'ἐπήλυδες'), βασιλεύονται δ'
ὑπὸ γυναικός, ὑπακούουσι δὲ τῶν ἐν Μερόῃ. τὰ δὲ κατωτέρω ἑκατέρωθεν
20 Μερόης παρὰ μὲν τὸν Νεῖλον πρὸς τὴν Ἐρυθρὰν Μεγάβαροι καὶ Βλέμμυες,
Αἰθιόπων ὑπακούοντες, Αἰγυπτίοις δ' ὅμοροι, παρὰ θάλατταν δὲ Τρωγοδύται
(διεστᾶσι δὲ εἰς δέκα ἢ δώδεκα ἡμερῶν ὁδὸν οἱ κατὰ τὴν Μερόην Τρωγο-
δύται τοῦ Νείλου)· ἐξ ἀριστερῶν δὲ τῆς ῥύσεως τοῦ Νείλου Νοῦβαι κατ-
24 οικοῦσιν ἐν τῇ Λιβύῃ, μέγα ἔθνος, ἀπὸ τῆς Μερόης ἀρξάμενοι μέχρι τῶν
ἀγκώνων, οὐχ ὑποταττόμενοι τοῖς Αἰθίοψιν, ἀλλ' ἰδίᾳ κατὰ πλείους βασι-
λείας διειλημμένοι. τῆς δ' Αἰγύπτου τὸ παρὰ τὴν θάλαττάν ἐστιν ἀπὸ τοῦ
Πηλουσιακοῦ στόματος πρὸς τὸ Κανωβικὸν στάδιοι χίλιοι τριακόσιοι.

28 Ἐρατοσθένης μὲν οὖν οὕτως. δεῖ δ' ἐπὶ πλέον εἰπεῖν, καὶ πρῶτον τὰ **3**
περὶ τὴν Αἴγυπτον, ὅπως ἀπὸ τῶν γνωριμωτέρων ἐπὶ τὰ ἑξῆς προΐωμεν.

Κοινὰ μὲν γάρ τινα καὶ ταύτῃ τῇ χώρᾳ καὶ τῇ συνεχεῖ καὶ ὑπὲρ
αὐτὴν τῇ τῶν Αἰθιόπων ὁ Νεῖλος παρασκευάζει ποτίζων τε αὐτὰς κατὰ τὰς
32 ἀναβάσεις καὶ τοῦτ' οἰκήσιμον αὐτῶν τὸ μέρος ἀπολείπων μόνον, τὸ καλυπ-
τόμενον ἐν ταῖς πλημμυρίσι, τὸ δ' ὑπερδέξιον καὶ μετεωρότερον τοῦ ῥεύ-
ματος πᾶν ἀοίκητον διεξιὼν ἑκατέρωθεν καὶ ἔρημον διὰ τὴν αὐτὴν ἀνυ-

12 Ἀστασόβαν Korais: ἀστόβαν F, ἀστοσάβαν cett. **13** σχεδόν ⟨τι⟩ Meineke στόμα pro σῶμα C (cf. 785, 22) **15 sq.** σταδίους ἑπτακοσίους D **17** ἀπὸ pro ἐπὶ Korais **18** ψαμμι- q **19** ἐπαρχούσης καὶ pro ὑπακούουσι δὲ Korais τῶν F: τῷ cett. **21** θάλασσαν E δ' οἱ pro δὲ F Τρωγοδύται scripsi (cf. 318, 17 sq. comm.): τρωγλω- E, τρωγλο- cett. **22** τὴν om. E **22 sq.** Τρωγοδύται scripsi: τρωγλω- E, τρωγλο- cett. **24** ἀρξάμενον D^{ac} **27** Κανωβικὸν DE: κανωπ- cett. χίλιοι Gossellin (Géogr. 13[3]): τρισχίλιοι (vel ,γ) codd. **28** πλέον DE: πλεῖον cett. πρῶτον ⟨μὲν⟩? **29** τὴν om. E **32** αὐτῶν Korais: αὐτῆς E^{i}, αὐτῷ cett.; αὐτὸ hiz ἀπολείπων E: -λιπὼν cett. **34** {αὐτὴν} v. Herwerden (456)

welchen Seen kommen und eine stattliche Insel, Meroë, umschließen; der
12 eine, der an ihrer Ostseite fließt, heißt Astaboras, der andere Astapus (Andere nennen ihn Astasobas und behaupten, der Astapus sei ein anderer Fluss, der von Süden aus irgendwelchen Seen fließe, und dieser sei es der ungefähr das gerade Stück des Nils bilde; sein Anschwellen besorgten die sommerlichen Regengüsse). Siebenhundert Stadien oberhalb des Zusammenflus-
16 ses von Astaboras und Nil liege die mit der Insel gleichnamige Stadt Meroë. Es gebe noch eine weitere Insel oberhalb Meroës, die bewohnt wird von den ägyptischen Flüchtlingen die sich zur Zeit des Psammetichos abgesetzt haben; sie werden Sembriter (soviel wie 'Zuwanderer') genannt, werden von einer Frau regiert und unterstehen denen in Meroë. Das Gebiet weiter unter-
20 halb zu beiden Seiten Meroës wird auf der Seite zum Roten Meer am Nil entlang von den Megabarern und den Blemmyern bewohnt, die den Äthiopen unterstehen und an die Ägypter grenzen, am Meer entlang von den Trogodyten (die Trogodyten auf der Höhe von Meroë sind etwa zehn oder zwölf Tagereisen vom Nil entfernt); auf der linken Seite des Nilstromes
24 wohnen die Nubier in Libyen, ein großes Volk, angefangen bei Meroë bis zu den Kurven; sie stehen nicht unter den Äthiopen sondern sind in mehrere selbständige Königreiche unterteilt. Der sich am Meer entlang erstreckende Teil Ägyptens misst von der Pelusischen Mündung bis zur Kanobischen eintausenddreihundert Stadien.

28 So Eratosthenes. Es bedarf aber einer ausführlicheren Darlegung, und **3** zwar zuerst über Ägypten, damit wir von dem mehr Bekannten zu dem Nächsten fortschreiten.

Einerseits nämlich macht der Nil dass dieses Land und das anschließende über ihm liegende Land der Äthiopen gewisse Gemeinsamkeiten haben: er
32 bewässert sie während seines Anstiegs und lässt nur diesen ihren Teil, der bei Hochwasser bedeckt wird, bewohnbar zurück, während der zu beiden Seiten sich höher über seinen Strom erhebende Teil, den er durchläuft, we-

787C. δρίαν. | ἀλλὰ τὴν μὲν Αἰθιοπίαν οὔτε πᾶσαν διέξεισιν ὁ Νεῖλος οὔτε μόνος
οὔτ' ἐπ' εὐθείας οὔτ' οἰκουμένην καλῶς, τὴν δ' Αἴγυπτον καὶ μόνος καὶ πᾶ-
σαν καὶ ἐπ' εὐθείας ἀπὸ τοῦ μικροῦ καταρράκτου ὑπὲρ Συήνης καὶ Ἐλεφαν-
4 τίνης ἀρξάμενος — οἵπερ εἰσὶν ὅροι τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας —
ἕως τῶν εἰς θάλατταν ἐκβολῶν. καὶ μὴν οἵ γε Αἰθίοπες τὸ πλέον νομαδι-
κῶς ζῶσι καὶ ἀπόρως διά τε τὴν λυπρότητα τῆς χώρας καὶ τὴν τῶν ἀέρων
ἀσυμμετρίαν καὶ τὸν ἀφ' ἡμῶν ἐκτοπισμόν, τοῖς δ' Αἰγυπτίοις ἅπαντα τἀ-
8 ναντία συμβέβηκε· καὶ γὰρ πολιτικῶς καὶ ἡμέρως ἐξ ἀρχῆς ζῶσι καὶ ἐν
γνωρίμοις ἵδρυνται τόποις, ὥστε καὶ αἱ διατάξεις αὐτῶν μνημονεύονται
καὶ ἐπαινοῦνταί γε δοκοῦντες ἀξίως χρήσασθαι τῇ τῆς χώρας εὐδαιμονίᾳ
μερίσαντές τε εὖ καὶ ἐπιμεληθέντες.

12 Βασιλέα γὰρ ἀποδείξαντες τριχῇ τὸ πλῆθος διεῖλον καὶ τοὺς μὲν στρα-
τιώτας ἐκάλεσαν, τοὺς δὲ γεωργούς, τοὺς δὲ ἱερέας· καὶ τοὺς μὲν τῶν
ἱερῶν ἐπιμελητάς, τοὺς δ' ἄλλους τῶν περὶ τὸν ἄνθρωπον· καὶ τοὺς μὲν
⟨τὰ⟩ ἐν τῷ πολέμῳ, τοὺς δ' ὅσα ἐν εἰρήνῃ, γῆν τε καὶ τέχνας, ἐργαζο-
16 μένους (ἀφ' ὧνπερ καὶ αἱ πρόσοδοι συνήγοντο τῷ βασιλεῖ)· οἱ δ' ἱερεῖς
καὶ φιλοσοφίαν ἤσκουν καὶ ἀστρονομίαν ὁμιληταί τε τῶν βασιλέων ἦσαν.
ἡ δὲ χώρα τὴν μὲν πρώτην διαίρεσιν εἰς νομοὺς ἔσχε· δέκα μὲν ἡ Θηβαΐς,
δέκα δ' ἡ ἐν τῷ Δέλτα, ἑκκαίδεκα δ' ἡ μεταξύ (ὡς δέ τινες, τοσοῦτοι ἦσαν
20 οἱ σύμπαντες νομοὶ ὅσαι αἱ ἐν τῷ Λαβυρίνθῳ αὐλαί· αὗται δ' ἐλάττους
τῶν τριάκοντα). πάλιν δ' οἱ νομοὶ τομὰς ἄλλας ἔσχον· εἰς γὰρ τοπαρχίας
οἱ πλεῖστοι διῄρηντο, καὶ αὗται δ' εἰς ἄλλας τομάς· ἐλάχισται δ' αἱ ἄρου-
ραι μερίδες. ἐδέησε δὲ τῆς ἐπ' ἀκριβὲς καὶ κατὰ λεπτὸν διαιρέσεως διὰ
24 τὰς συνεχεῖς τῶν ὅρων συγχύσεις ἃς ὁ Νεῖλος ἀπεργάζεται κατὰ τὰς αὐ-
ξήσεις ἀφαιρῶν καὶ προστιθεὶς καὶ ἐναλλάττων τὰ σχήματα καὶ τἆλλα ση-
μεῖα ἀποκρύπτων οἷς διακρίνεται τό τε ἀλλότριον καὶ τὸ ἴδιον· ἀνάγκη δὴ
ἀναμετρεῖσθαι πάλιν καὶ πάλιν (ἐντεῦθεν δὲ καὶ τὴν γεωμετρίαν συστῆναί
28 φασιν, ὡς τὴν λογιστικὴν καὶ ἀριθμητικὴν παρὰ Φοινίκων διὰ τὰς ἐμπο-

3 καὶ ante ἐπ' om. E καταρράκτου iz: καταράκτου BCDEF (vide 817, 32 sq. comm.) ⟨τοῦ⟩ ὑπὲρ? 5 εἰς scripsi: ἐπὶ codd. τοῦ νείλου post ἐκβολῶν add. codd.: del. Groskurd πλεῖον E 8 γὰρ om. BC τε post πολιτικῶς add. D[s] 10 δοκοῦσί τε pro δοκοῦντες EF 11 τε om. E 15 add. Letronne (cf. X) 15 sq. ἐργαζομένους q: -μένων BCDEF 20 αὐταὶ pro αὗται ed. pr. 21 τρίακοντα ⟨καὶ ἕξ⟩ Groskurd 25 ἐναλλάσσ- E

787 gen ein und desselben Wassermangels ganz unbewohnt und öde ist. Ande-
rerseits aber durchläuft der Nil Äthiopien weder ganz noch als einziger
Fluss noch in gerader Linie, und wird auch das Land nicht gut bewohnt,
Ägypten dagegen durchläuft er nicht nur als einziger Fluss sondern auch
ganz und in gerader Linie, angefangen bei dem Kleinen Katarakt oberhalb
4 von Syene und Elephantine – der die Grenze zwischen Ägypten und Äthio-
pien bildet – bis zu seiner Mündung ins Meer. Ferner leben die Äthiopen
zumeist als Nomaden und in Armut wegen der Kargheit ihres Landes, der
Ungemäßigtheit des Klimas und der Abgelegenheit von uns, bei den Ägyp-
8 tern dagegen ist genau das Gegenteil der Fall: leben sie doch seit Anbeginn
in einer staatlichen Ordnung und kultiviert, und wohnen in einer bekannten
Gegend, so dass auch von ihren Einrichtungen berichtet wird und man sie
zudem lobt, weil man findet dass sie den Segen des Landes durch gute Ein-
teilung und Fürsorge richtig gebraucht haben.

12 Sie haben nämlich nach Einsetzung eines Königs den großen Haufen
dreigeteilt: die einen nannten sie Soldaten, die anderen Bauern und die
dritte Gruppe Priester; letztere bestimmten sie zu Besorgern der heiligen,
die übrigen zu Besorgern der menschlichen Geschäfte: die einen beschäftig-
ten sich mit den Dingen des Krieges, die anderen mit denen des Friedens,
16 dem Land und den Gewerben (von ihnen kamen auch die Einkünfte die man
für den König eintrieb); die Priester beschäftigten sich auch mit Philosophie
und Astronomie und waren Gesellschafter der Könige. Das Land erhielt als
erste Einteilung die in Distrikte: zehn für die Thebais, zehn für das Land im
Delta und sechzehn für das dazwischenliegende (nach Manchen gab es im
20 Ganzen soviele Distrikte wie es Höfe in dem Labyrinth gibt; das sind aber
weniger als dreißig). Die Distrikte wiederum bekamen weitere Unterteilun-
gen: die meisten waren in Bezirke eingeteilt und auch diese wieder in kleine-
re Einheiten; die kleinsten sind die Aruren. Die genaue und bis ins kleinste
24 gehende Einteilung war nötig wegen der ständigen Verwischung der Gren-
zen die der Nil bei Hochwasser anrichtet, indem er Land wegnimmt und
hinzufügt, die Formen ändert und die übrigen Zeichen, durch die man den
eigenen und den fremden Besitz unterscheidet, verschwinden lässt: so wird
es nötig, immer wieder Landvermessungen vorzunehmen (daraus soll sich
28 auch die Geometrie entwickelt haben, wie die Rechenkunst und die Zahlen-
lehre bei den Phöniziern durch ihren Handel). Dreigeteilt wie der gesamte

ρίας). τριχῇ δὲ διῄρητο, ὥσπερ τὸ σύμπαν, καὶ τὸ ἐν ἑκάστῳ τῷ νομῷ
πλῆθος, εἰς τρία ἴσα μερισθείσης τῆς χώρας.

Ἡ δὲ περὶ τὸν ποταμὸν πραγματεία διαφέρει τοσοῦτον ὅσον τῇ ἐπιμε-
32 λείᾳ νικᾶν τὴν φύσιν. φύσει γὰρ πλείονα φέρει καρπὸν καὶ ποτισθεῖσα
788C. μᾶλλον, | φύσει δὲ καὶ ἡ μείζων ἀνάβασις τοῦ ποταμοῦ πλείω ποτίζει γῆν·
ἀλλ' ἡ ἐπιμέλεια πολλάκις καὶ τῆς φύσεως ἐξίσχυσεν ἐπιλιπούσης, ὥστε
καὶ κατὰ τὰς ἐλάττους ἀναβάσεις τοσαύτην ποτισθῆναι γῆν ὅσην ἐν ταῖς
4 μείζοσι διά τε τῶν διωρύγων καὶ τῶν παραχωμάτων. ἐπὶ γοῦν τῶν πρὸ Πε-
τρωνίου χρόνων ἡ μεγίστη μὲν ἦν φορὰ καὶ ἀνάβασις ἡνίκα ἐπὶ τετταρεσ-
καίδεκα πήχεις ἀνέβαινεν ὁ Νεῖλος· ἡνίκα δ' ἐπ' ὀκτώ, συνέβαινε λιμός·
ἐπ' ἐκείνου δὲ ἄρξαντος τῆς χώρας καὶ δώδεκα μόνον πληρώσαντος πήχεις
8 τοῦ Νειλομετρίου μεγίστη ἦν ἡ φορά, καὶ ὀκτώ ποτε μόνον πληρώσαντος
λιμοῦ οὐδεὶς ᾔσθετο.

4 Τοιαύτη μὲν ἡ διάταξις· τὰ δ' ἑξῆς λέγωμεν νυνί. ἀπὸ γὰρ τῶν Αἰθιο-
πικῶν τερμόνων ῥεῖ ἐπ' εὐθείας ὁ Νεῖλος πρὸς ἄρκτους ἕως τοῦ καλουμέ-
12 νου χωρίου Δέλτα, εἶτ' ἐπὶ κορυφὴν σχιζόμενος, ὥς φησιν ὁ Πλάτων (Tim.
21 e 2), ὡς ἂν τριγώνου κορυφὴν ἀποτελεῖ τὸν τόπον τοῦτον, πλευρὰς δὲ
τοῦ τριγώνου τὰ σχιζόμενα ἐφ' ἑκάτερα ῥεῖθρα καθήκοντα μέχρι τῆς θαλάτ-
της — τὸ μὲν ἐν δεξιᾷ τῆς κατὰ Πηλούσιον, τὸ δ' ἐν ἀριστερᾷ τῆς κατὰ
16 Κάνωβον καὶ τὸ πλησίον Ἡράκλειον προσαγορευόμενον —, βάσιν δὲ τὴν
παραλίαν τὴν μεταξὺ τοῦ Πηλουσίου καὶ τοῦ Ἡρακλείου. γέγονε δὴ νῆσος
ἔκ τε τῆς θαλάττης καὶ τῶν ῥευμάτων ἀμφοῖν τοῦ ποταμοῦ, καὶ καλεῖται
Δέλτα διὰ τὴν ὁμοιότητα τοῦ σχήματος· τὸ δ' ἐπὶ τῇ κορυφῇ χωρίον ὁμω-
20 νύμως κέκληται διὰ τὸ ἀρχὴν εἶναι τοῦ λεχθέντος σχήματος· καὶ ἡ κώμη
δὲ ἡ ἐπ' αὐτῷ καλεῖται Δέλτα.

Δύο μὲν οὖν ταῦτα τοῦ Νείλου στόματα — ὧν τὸ μὲν Πηλουσιακὸν κα-
λεῖται, τὸ δὲ Κανωβικὸν καὶ Ἡρακλεωτικόν —, μεταξὺ δὲ τούτων ἄλλαι
24 πέντε εἰσὶν ἐκβολαὶ αἵ γε ἀξιόλογοι, λεπτότεραι δὲ πλείους· ἀπὸ γὰρ

788 **11–7** *Eust. D. P. 259, 30–6 **19–21** *Eust. D. P. 259, 36 sq.

32 γὰρ ⟨ἡ γῆ⟩? {καὶ}? 788 **2** ἐπιλιπούσης EF: ἐπιλει- BCD **4** τε E: τε τὴν cett. **5** φορὰ D[pc]E: φθορὰ cett. τεσσαρεσ- qxyz **6** πήχεις om. E ἀνέβαινεν z, Xylander: ἀναβαίνει BCDF (necnon E, ubi tamen tota Strabonis oratio in praesens tempus mutata est) **8** Νειλομετρίου Korais: νείλου μέτρου codd.; νείλου xyz ἡ om. F **10** λέγωμεν DF: λέγομεν BCE νῦν E **12** ὁ νεῖλος post σχιζόμενος add. codd.: del. Korais **14 sq.** θαλάσσης EX **17** δὴ Kramer (duce Groskurd): δὲ ἡ codd. **22** πηλουσιωτικὸν E **23** Ἡρακλεωτικόν X (ις′): ἡρακλειω- cett. καὶ ante ἄλλαι add. D

war der große Haufen auch in jedem Distrikt, indem das Land in drei glei-
che Stücke aufgeteilt worden war.

32 Die Arbeiten am Fluss sind so hervorragend dass sie durch die Fürsorge
die Natur übertreffen. Von Natur nämlich trägt das Land mehr Frucht wenn
788 es auch mehr bewässert wird, von Natur auch bewässert ein höherer Anstieg
des Flusses mehr Land; die Fürsorge jedoch überbietet oft die Natur wenn
sie zurückbleibt, so dass auch bei kleineren Anstiegen mit Hilfe der Kanäle
4 und der Eindämmungen ebensoviel Land bewässert wird wie bei den größe-
ren. In den Zeiten vor Petronius jedenfalls gab es den größten Ertrag und
Anstieg wenn der Nil vierzehn Ellen anstieg, und wenn es nur acht waren,
trat Hungersnot ein; zu der Zeit dagegen als er das Land regierte war der
8 Ertrag enorm auch wenn der Nilmesser nur auf zwölf Ellen stieg, und als er
einmal nur auf acht stieg, verspürte niemand Hunger.

So steht es mit der Einrichtung des Landes. Jetzt wollen wir von dem 4
Nächsten sprechen. Von den Grenzen Äthiopiens nämlich fließt der Nil in
12 gerader Linie nach Norden bis zu der Stelle die Delta genannt wird, dann
teilt er sich am Scheitel, wie Platon sagt (Tim. 21 e 2), und macht diese Stelle
gleichsam zum Scheitel eines Dreiecks, dessen Seiten gebildet werden von
den sich nach links und rechts teilenden Flussbetten, die bis zum Meer lau-
16 fen – das rechte zum Meer bei Pelusion, das linke zu dem bei Kanobos und
dem nahegelegenen sogenannten Herakleion – und dessen Grundlinie die
Küste zwischen Pelusion und Herakleion ist. Es ist somit eine vom Meer
und den beiden Strömen des Flusses gebildete Insel, und sie wird wegen der
20 Ähnlichkeit ihrer Form Delta genannt; die Stelle am Scheitel trägt denselben
Namen, weil sie den Anfang besagter Form bildet; auch das daran gelegene
Dorf heißt Delta.

Dies sind also zwei Mündungen des Nils (die eine heißt die Pelusische,
die andere die Kanobische oder Herakleotische); zwischen ihnen gibt es
24 fünf weitere, d. h. fünf bedeutende; kleinere gibt es mehr: von den ersten

τῶν πρώτων μερῶν ἀπορρῶγες πολλαὶ καθ' ὅλην μερισθεῖσαι τὴν νῆσον
πολλὰ καὶ ῥεῖθρα καὶ νήσους ἐποίησαν, ὥσθ' ὅλην γενέσθαι πλωτὴν διω-
ρύγων ἐπὶ διώρυξι τμηθεισῶν, αἳ κατὰ ῥᾳστώνην πλέονται τοσαύτην ὥστε
28 καὶ ὀστράκινα ἐνίοις εἶναι πορθμεῖα. τὴν μὲν οὖν περίμετρον ὅσον τρισ-
χιλίων σταδίων ἐστὶν ἡ σύμπασα νῆσος (καλοῦσι δ' αὐτὴν καὶ τὴν Κάτω
χώραν σὺν ταῖς ἀπαντικρὺ ποταμίαις τοῦ Δέλτα). ἐν δὲ ταῖς ἀναβάσεσι
τοῦ Νείλου καλύπτεται πᾶσα καὶ πελαγίζει πλὴν τῶν οἰκήσεων· αὗται δ'
32 ἐπὶ λόφων αὐτοφυῶν ἢ χωμάτων ἵδρυνται, πόλεις τε ἀξιόλογοι καὶ κῶμαι,
789C. νησίζουσαι κατὰ τὴν πόρρωθεν ὄψιν. | πλείους δὲ τετταράκοντα ἡμέρας
τοῦ θέρους διαμεῖναν τὸ ὕδωρ ἔπειθ' ὑπόβασιν λαμβάνει κατ' ὀλίγον, καθ-
άπερ καὶ τὴν αὔξησιν ἔσχεν, ἐν ἑξήκοντα δὲ ἡμέραις τελέως γυμνοῦται
4 καὶ ἀναψύχεται τὸ πεδίον· ὅσῳ δὲ θᾶττον ἡ ἀνάψυξις, τοσῷδε θᾶττον ὁ
ἄροτος καὶ ὁ σπόρος, θᾶττον δὲ παρ' οἷς τὰ μείζω θάλπη.

Τὸν ⟨δ'⟩ αὐτὸν τρόπον καὶ τὰ ἐπάνω τοῦ Δέλτα ποτίζεται πλὴν ὅτι ἐπ' εὐ-
θείας ὅσον τετρακισχιλίους σταδίους δι' ἑνὸς ῥείθρου τοῦ ποταμοῦ φερο-
8 μένου (πλὴν εἴ πού τις ἐντρέχει νῆσος — ὧν ἀξιολογωτάτη ἡ τὸν Ἡρακλε-
ωτικὸν νομὸν περιέχουσα — ἢ εἴ πού τις ἐκτροπὴ διώρυγι ἐπὶ πλέον εἰς
λίμνην μεγάλην καὶ χώραν ἣν ποτίζειν δύναται, καθάπερ ἐπὶ τῆς τὸν Ἀρ-
σινοΐτην νομὸν ποτιζούσης καὶ τὴν Μοίριδος λίμνην καὶ τῶν εἰς τὴν Μα-
12 ρεῶτιν ἀναχεομένων).

Συλλήβδην δ' εἰπεῖν ἡ ποταμία μόνον ἐστὶν Αἴγυπτος ἡ ἑκατέρωθεν
τοῦ Νείλου σπάνιον εἴ που τριακοσίων σταδίων ἐπέχουσα συνεχῶς πλάτος
τὸ οἰκήσιμον, ἀρξαμένη ἀπὸ τῶν ὅρων τῆς Αἰθιοπίας μέχρι τῆς κορυφῆς

30–3 *Eust. D. P. 257, 44–258, 2   789 1–3 *Eust. D. P. 257, 42–4

29 καλοῦσι Bréquigny (teste Letronne $319^3/320^0$): κολποῦσι codd.; κατοικοῦσι Korais   31 καὶ πελαγίζει om. E   789 1 δὲ ἢ pro δὲ E^s xy, δ' ἢ q, Madvig (Adv. 1, 564)   4 τοσῷδε qz: τόσῳ δὲ BDF, τόσῳ δὴ C   5 ἄροτος Kramer: ἀροτὸς codd.   6 addidi   7 τετρακισχιλίους σταδίους scripsi: -χιλίοις σταδίοις codd.; ⟨ἐν⟩ -χιλίοις σταδίοις Kallenberg (1912, 177)   8 εἴ που EF^t: εἰ μή που cett.   8 sq. Ἡρακλεωτικὸν Cobet ms.: ἡρακλειω- codd.   10 sq. Ἀρσινοΐτην D^{pc}E: -ήτην cett.   11 ποτιζούσης Letronne: ποιούσης codd.   11 sq. Μαρεῶτιν E: μαραιῶτιν BDF, μαραιώτιν C   13 {ἡ} ποταμία Cascorbi (31)   ἐσχάτη post ἑκατέρωθεν add. codd.: del. Kramer; ἐσχατία Casaubonus, ἐπιχώστη Müller (1040 ad 671, 16), συνεχεστάτη Cascorbi, ἐχομένη? Vogel (1882, 324)   15 ὅρων Korais: ὀρῶν codd.

Teilen des Deltas an nämlich haben zahlreiche Abzweigungen, die sich
durch die ganze Insel verästeln, viele Betten und Inseln geschaffen, so dass
sie ganz zu beschiffen ist, da immer wieder neue Kanäle gezogen worden
28 sind, auf denen man so gemächlich schiffen kann dass Manche sogar irdene
Boote haben. Der Umfang der gesamten Insel beträgt etwa dreitausend Sta-
dien (man nennt sie zusammen mit den dem Delta gegenüberliegenden
Flusstälern auch das Untere Land). Beim Anstieg des Nils wird sie ganz und
32 gar bedeckt und bildet ein Meer, die Wohnungen ausgenommen: diese lie-
gen auf natürlichen oder aufgeworfenen Anhöhen, stattliche Städte sowohl
789 als Dörfer, die aus der Ferne gesehen Inseln bilden. Mehr als vierzig Tage
des Sommers bleibt das Wasser stehen; dann senkt es sich ebenso allmählich
4 wie es angestiegen ist, und in sechzig Tagen wird die Ebene völlig bloßgelegt
und fällt trocken; je schneller die Trocknung, desto schneller kann gepflügt
und gesät werden, schneller dort wo größere Hitze herrscht.

Auf dieselbe Art wird auch das Gebiet oberhalb des Deltas bewässert, mit
dem Unterschied dass dort der Fluss etwa viertausend Stadien in gerader Li-
8 nie durch *ein* Bett läuft (es sei denn er trifft auf eine Insel – wovon das
wichtigste Beispiel die Insel ist die den Herakleotischen Distrikt umfasst –
oder es gibt eine Abzweigung durch einen Kanal weiter zu einem großen See
und zu einem Gebiet das er bewässern kann, wie bei dem Kanal der den Ar-
sinoitischen Distrikt und den Moiris-See bewässert und den Kanälen die
12 sich in den Mareotis-See ergießen).

Zusammenfassend kann man sagen dass nur das Stromgebiet auf beiden
Seiten des Nils Ägypten ist; es hat, angefangen bei den Grenzen Äthiopiens
bis zum Scheitel des Deltas, nur selten eine ununterbrochen bewohnbare

16 τοῦ Δέλτα. ἔοικεν οὖν κειρίᾳ †ψυχομένῃ† ἐπὶ μῆκος ὑπεξαιρουμένων τῶν
ἐπὶ πλέον ἐκτροπῶν. πιοεῖ δὲ τὸ σχῆμα τοῦτο τῆς ποταμίας ἧς λέγω καὶ
τῆς χώρας τὰ ὄρη τὰ ἑκατέρωθεν ἀπὸ τῶν περὶ Συήνην τόπων καταγόμενα
μέχρι τοῦ Αἰγυπτίου πελάγους· ἐφ' ὅσον γὰρ ταῦτα παρατείνει καὶ διέστη-
20 κεν ἀπ' ἀλλήλων, ἐπὶ τοσοῦτον καὶ ὁ ποταμὸς συνάγεταί τε καὶ διαχεῖται
καὶ διασχηματίζει τὴν χώραν διαφόρως τὴν οἰκήσιμον· ἡ δ' ὑπὲρ τῶν ὀρῶν
ἐπὶ συχνὸν ἀοίκητός ἐστιν.

Οἱ μὲν οὖν ἀρχαῖοι στοχασμῷ τὸ πλέον, οἱ δ' ὕστερον αὐτόπται γενη- 5
24 θέντες ᾔσθοντο ὑπὸ ὄμβρων θερινῶν πληρούμενον τὸν Νεῖλον, τῆς Αἰθιο-
πίας τῆς ἄνω κλυζομένης, καὶ μάλιστα ἐν τοῖς ἐσχάτοις ὄρεσι, παυσαμέ-
νων δὲ τῶν ὄμβρων παυομένην κατ' ὀλίγον τὴν πλημμυρίδα. τοῦτο δ' ὑπῆρξε
μάλιστα δῆλον τοῖς πλέουσι τὸν Ἀράβιον κόλπον μέχρι τῆς Κινναμωμοφόρου
28 καὶ τοῖς ἐκπεμπομένοις ἐπὶ τὴν τῶν ἐλεφάντων θήραν καὶ εἴ τινες ἄλλαι
χρεῖαι παρώξυνον ἐκεῖσε ἄνδρας προχειρίζεσθαι τοὺς τῆς Αἰγύπτου βασι-
λέας τοὺς Πτολεμαϊκούς. οὗτοι γὰρ ἐφρόντισαν τῶν τοιούτων, διαφερόντως
δ' ὁ Φιλάδελφος ἐπικληθείς, φιλιστορῶν καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος
32 διαγωγὰς ἀεί τινας καὶ τέρψεις ζητῶν καινοτέρας. οἱ πάλαι δὲ βασιλεῖς
οὐ πάνυ ἐφρόντισαν τῶν τοιούτων καίπερ οἰκεῖοι σοφίας γεγονότες καὶ
790C. αὐτοὶ | καὶ οἱ ἱερεῖς, μεθ' ὧν ἦν αὐτοῖς ὁ πλείων βίος. ὥστε καὶ θαυ-
μάζειν ἄξιον καὶ διὰ τοῦτο καὶ διότι Σέσωστρις τὴν Αἰθιοπίαν ἐπῆλθεν
ἅπασαν μέχρι τῆς Κινναμωμοφόρου καὶ ὑπομνήματα τῆς στρατείας αὐτοῦ
4 καὶ νῦν ἔτι δείκνυνται στῆλαι καὶ ἐπιγραφαί. Καμβύσης τε τὴν Αἴγυπτον
κατασχὼν προῆλθε καὶ μέχρι τῆς Μερόης μετὰ τῶν Αἰγυπτίων, καὶ δὴ καὶ
τοὔνομα τῇ τε νήσῳ καὶ τῇ πόλει τοῦτο παρ' ἐκείνου τεθῆναί φασιν, ἐκεῖ
τῆς ἀδελφῆς ἀποθανούσης αὐτῷ Μερόης (οἱ δὲ γυναῖκά φασι)· τὴν ἐπωνυ-
8 μίαν οὖν ἐχαρίσατο αὐτῇ τιμῶν τὴν ἄνθρωπον.

23 sq. *Eust. D. P. 257, 41 sq.

16 κειρίᾳ $C^{pc}D^{pc}$ (coniecit Xylander): κη- cett. τεταμένῃ Casaubonus (Xylandro hanc coniecturam adscribens *fasciae in longum explicatae* vertenti; unde potius ἐκπτυσσομένῃ vel ἐκπεπτυγμένῃ eum voluisse coniecit Korais), ψηχομένῃ ('dont la largeur va en diminuant') Letronne (quamquam σφηκομένῃ vel σφιγγομένῃ aptius fuisse concedens), ψυχομένῃ Korais, αὐξομένῃ ('immer breiter werdenden') Groskurd, ἀναπτυσσομένῃ vel ἀνεπτυγμένῃ? Kramer 17 τοῦτο om. E 21 δὲ pro δ' Casaubonus 23 οὖν om. C 26 ⟨καὶ⟩ τὴν? Kassel 31 ἐπικληθεὶς om. E 32 ἀεί τινας om. C 33 περὶ ante τῶν add. E 790 1 ὥστε {καὶ} Jacoby 4 δείκνυται Casaubonus

16 Breite von dreihundert Stadien. Es ähnelt also, wenn man die weiterführenden Abzweigungen fortlässt, einem in die Länge * * Gurt. Diese Form des Stromgebietes, das ich meine, und des Landes schaffen die Bergzüge die sich zu beiden Seiten von der Gegend bei Syene bis zum Ägyptischen Meer
20 herabziehen: je nachdem diese nämlich nebeneinander her laufen oder sich voneinander entfernen, verengert sich der Fluss oder breitet sich aus und gestaltet das bewohnbare Land in verschiedener Weise; das Gebiet jenseits der Bergzüge ist auf weite Strecken unbewohnt.

Die Alten haben meist vermutungsweise, die Späteren dagegen aus eige- 5
24 ner Anschauung erkannt dass der Nil von den sommerlichen Regengüssen gefüllt wird, die im oberen Äthiopien, besonders in den Randgebirgen, niedergehen, und dass wenn die Regengüsse aufhören, auch das Hochwasser allmählich aufhört. Das wurde besonders denen klar die den Arabischen
28 Golf bis zum Zimtland befuhren oder ausgesandt wurden zur Elefantenjagd oder zu anderen Zwecken die die Ptolemäischen Könige Ägyptens reizten, Leute dorthin zu entsenden. Diese Könige nämlich kümmerten sich um dergleichen, ganz besonders der 'Philadelphos' zubenannte, der forschungs-
32 freudig und wegen der Schwäche seines Körpers immer auf der Suche nach neuartigen Zeitvertreiben und Vergnügungen war. Die alten Könige hatten sich überhaupt nicht um dergleichen gekümmert, obwohl sie nicht nur selber
790 mit Wissenschaft vertraut waren sondern auch die Priester, in deren Gesellschaft sie ihre meiste Zeit verbrachten. Man kann sich also mit Recht wundern, nicht nur aus diesem Grunde, sondern auch weil Sesostris durch ganz Äthiopien bis zum Zimtland gezogen ist und als Erinnerung an seinen Feld-
4 zug noch heute Steintafeln und Inschriften gezeigt werden. Außerdem ist Kambyses, nachdem er Ägypten besetzt hatte, zusammen mit den Ägyptern bis ganz nach Meroë vorgedrungen, und die Insel und die Stadt sollen diesen Namen sogar von ihm bekommen haben, weil seine Schwester Meroë
8 dort gestorben war (nach Anderen war sie seine Frau); er schenkte ihr daher diese Benennung um die Frau zu ehren.

Θαυμαστὸν οὖν πῶς ἐκ τῶν τοιούτων ἀφορμῶν οὐ τελέως ἐναργὴς ἦν ἡ
περὶ τῶν ὄμβρων ἱστορία τοῖς τότε, καὶ ταῦτα τῶν ἱερέων φιλοπραγμονέσ-
τερον ἀναφερόντων εἰς τὰ ἱερὰ γράμματα καὶ ἀποτιθεμένων ὅσα μάθησιν
12 περιττὴν ἐπιφαίνει. εἰ γὰρ ἄρα, τοῦτ' ἐχρῆν ζητεῖν — ὅπερ καὶ νῦν ἔτι
ζητεῖται — τί δή ποτε θέρους, χειμῶνος δὲ οὔ, καὶ ἐν τοῖς νοτιωτάτοις,
ἐν δὲ τῇ Θηβαΐδι καὶ τῇ περὶ Συήνην οὔ, συμπίπτουσιν ὄμβροι, τὸ δ' ὅτι
ἐξ ὄμβρων αἱ ἀναβάσεις μὴ ζητεῖν μηδὲ τοιούτων δεῖσθαι μαρτύρων οἵους
16 Ποσειδώνιος εἴρηκε (F 222 Ed.-Kidd)· φησὶ γὰρ Καλλισθένη (FGrHist 124
F 12) λέγειν τὴν ἐκ τῶν ὄμβρων αἰτίαν τῶν θερινῶν παρὰ Ἀριστοτέλους
(fr. 246–8 Rose) λαβόντα, ἐκεῖνον δὲ παρὰ Θρασυάλκου τοῦ Θασίου (35
fr. 1 D.-K.) — τῶν ἀρχαίων δὲ φυσικῶν εἷς οὗτος —, ἐκεῖνον δὲ παρ'
20 ἄλλου, τὸν δὲ παρ' Ὁμήρου διιπετέα φάσκοντος τὸν Νεῖλον·

ἂψ δ' εἰς Αἰγύπτοιο διιπετέος ποταμοῖο (δ 581).

ἀλλ' ἐῶ ταῦτα πολλῶν εἰρηκότων (ὧν ἀρκέσει δύο μηνῦσαι τοὺς ποιήσαντας
καθ' ἡμᾶς τὸ περὶ τοῦ Νείλου βιβλίον, Εὔδωρόν τε καὶ Ἀρίστωνα τὸν ἐκ
24 τῶν Περιπάτων· πλὴν γὰρ τῆς τάξεως τά γε ἄλλα καὶ τῇ φράσει καὶ τῇ
ἐπιχειρήσει ταὐτά ἐστι κείμενα παρ' ἀμφοτέροις· ἐγὼ γοῦν ἀπορούμενος
ἀντιγράφων εἰς τὴν ἀντιβολὴν ἐκ θατέρου θάτερον ἀντέβαλον. πότερος δ'
ἦν ὁ τἀλλότρια ὑποβαλλόμενος, ἐν Ἄμμωνος εὕροι τις ἄν· Εὔδωρος δ' ᾐτι-
28 ᾶτο τὸν Ἀρίστωνα, ἡ μέντοι φράσις Ἀριστώνειος μᾶλλόν ἐστιν).

Οἱ μὲν οὖν ἀρχαῖοι τὸ οἰκούμενον αὐτὸ καὶ ποτιζόμενον ὑπὸ τοῦ Νεί-
λου μόνον Αἴγυπτον ἐκάλουν ἀπὸ τῶν περὶ Συήνην τόπων ἀρξάμενοι μέχρι
τῆς θαλάττης. οἱ δ' ὕστερον μέχρι νῦν προσέλαβον ἐκ μὲν τῶν πρὸς ἕω
32 μερῶν ⟨τὰ⟩ μεταξὺ τοῦ Ἀραβίου κόλπου καὶ τοῦ Νείλου σχεδόν τι πάντα
(οἱ δ' Αἰθίοπες οὐ πάνυ χρῶνται τῇ Ἐρυθρᾷ θαλάττῃ), ἐκ δὲ τῶν ἑσπερίων
791C. τὰ μέχρι τῶν | αὐάσεων καὶ ἐν τῇ παραλίᾳ τὰ ἀπὸ τοῦ Κανωβικοῦ στόματος
μέχρι Καταβαθμοῦ καὶ τῆς Κυρηναίων ἐπικρατείας· οἵ τε γὰρ ἀπὸ τοῦ Πτο-

12 ἐπιτείνει pro ἐπιφαίνει $C^{mg}D^{ac}D^{mg}$E εἴπερ pro εἰ γὰρ E **13** συμπίπτουσιν ὄμβροι post θέρους add. E (cf. ad 14) {καὶ} v. Herwerden (456) ἐν om. E **14** {συμ}πίπτουσιν v. Herwerden (456) ὄμβροι om. E (cf. ad 13) **16** φησὶ C: φασὶ cett. **19 sq.** παρὰ Θαλοῦ pro παρ' ἄλλου Müller (1040 ad 672, 14), παρ' Ἀλκαίου? Jacoby **23** τῶν pro τὸν BCD^{ac} **24** γε DF (coniecit Korais): τε BC **25** ταὐτά Korais: ταῦτά codd. παρ' om. D^{i} ἔγωγ' οὖν v. Herwerden (457) **26** ἀντέβαλον qxz^{pc}: -βαλλον BCDF **27** τὰ ἀλλότρια BC ὑποβαλόμενος Korais **28** Ἀριστώνειος CD: -νιος BF **29** παλαιοὶ pro ἀρχαῖοι X (ι') **31** τῆς om. E θαλάσσ- X **32** add. Korais κόλπου om. E

Man wundert sich also wie es bei solchen Voraussetzungen kommen
konnte dass die Tatsache der Regengüsse als Grund den Leuten von damals
nicht vollkommen klar war, zumal die Priester alles was ungewöhnliche Be-
lehrung bietet besonders eifrig den heiligen Schriftzeichen anvertrauen und
12 aufbewahren. Wenn nämlich überhaupt, hätte man sich die Frage stellen sol-
len — über die auch jetzt noch diskutiert wird — warum Regengüsse denn
im Sommer (und nicht im Winter) und in den südlichsten Gegenden (und
nicht in der Thebais und dem Gebiet um Syene) eintreten; über die Tatsache
dagegen dass der Anstieg durch Regengüsse entsteht, hätte man nicht disku-
16 tieren sollen und auch keine solche Zeugen gebraucht wie Poseidonios
(F 222 Ed.-Kidd) sie aufführt; sagt er doch, Kallisthenes (FGrHist
124 F 12) spreche von der Ursache der sommerlichen Regengüsse, die er
von Aristoteles (fr. 246–8 Rose) habe; der hätte sie von Thrasyalkes aus
Thasos (35 fr. 1 D.-K.) — das war einer der alten Naturphilosophen —, der
20 von einem Anderen, und dieser von Homer, der den Nil 'himmelentfallen'
nennt:

Und ich fuhr zum Strome des himmelentfall'nen Aigyptos
(Od. 4, 581).

Aber ich lasse das auf sich beruhen, da Viele darüber gesprochen haben
(von denen es reichen wird, die zwei zu nennen die zu unserer Zeit das Buch
24 über den Nil geschrieben haben, Eudoros und Ariston, den Peripatetiker;
abgesehen nämlich von der Anordnung steht bei Beiden, sowohl was den
Ausdruck als was die Behandlung betrifft, dasselbe: ich wenigstens habe, da
mir Abschriften zum Kollationieren fehlten, den einen mit Hilfe des ande-
ren kollationiert. Wer von beiden sich das Fremde untergeschoben hat, ließe
28 sich wohl nur bei Ammon herausfinden; Eudoros hat Ariston beschuldigt,
aber die Ausdrucksweise ist eher Aristonisch).

Die Alten haben nur den bewohnten und vom Nil bewässerten Teil, ange-
fangen bei der Gegend um Syene bis zum Meer, Ägypten genannt. Die Spä-
teren bis auf heute haben an der östlichen Seite noch fast das ganze Gebiet
32 zwischen dem Arabischen Golf und dem Nil hinzugenommen (die Äthiopen
machen überhaupt keinen Gebrauch von dem Roten Meer), an der westli-
791 chen das Gebiet bis zu den Oasen und an der Küste das Gebiet von der Ka-
nobischen Mündung bis nach Katabathmos und dem Hoheitsgebiet der Ky-

λεμαίου βασιλεῖς ἴσχυσαν τοσοῦτον — οἵ γε καὶ τὴν Κυρηναίαν αὐτὴν κατέσχον καὶ διενείμαντο πρὸς τὴν Αἴγυπτον καὶ τὴν Κύπρον — Ῥωμαῖοί τε οἱ διαδεξάμενοι τὴν ἐκείνων ἐπαρχίαν κρίναντες τὴν Αἴγυπτον ἐν τοῖς αὐτοῖς ὅροις διεφύλαξαν. ('αὐάσεις' δ' οἱ Αἰγύπτιοι καλοῦσι τὰς οἰκουμένας χώρας ⟨τὰς⟩ περιεχομένας κύκλῳ μεγάλαις ἐρημίαις ὡς ἂν νήσους πελαγίας· πολὺ δὲ τοῦτ' ἐστὶ κατὰ τὴν Λιβύην, τρεῖς δ' εἰσὶν αἱ πρόσχωροι τῇ Αἰγύπτῳ καὶ ὑπ' αὐτῇ τεταγμέναι).

Τὰ μὲν οὖν καθόλου καὶ ἀνωτάτω περὶ τῆς Αἰγύπτου ταῦτα λέγομεν. τὰ καθ' ἕκαστα δὲ καὶ τὰς ἀρετὰς αὐτῆς νῦν διέξιμεν. 6 ἐπεὶ δὲ τὸ πλεῖστον τοῦ ἔργου τούτου καὶ τὸ κυριώτατον ἡ Ἀλεξάνδρειά ἐστι καὶ τὰ περὶ αὐτήν, ἐντεῦθεν ἀρκτέον.

Ἔστι τοίνυν ἡ ἀπὸ Πηλουσίου παραλία πρὸς τὴν ἑσπέραν πλέουσι μέχρι μὲν τοῦ Κανωβικοῦ στόματος χιλίων που καὶ τριακοσίων σταδίων (ὃ δὴ καὶ βάσιν τοῦ Δέλτα ἔφαμεν [788, 16 sq.])· ἐντεῦθεν δ' ἐπὶ Φάρον τὴν νῆσον ἄλλοι στάδιοι πεντήκοντα πρὸς τοῖς ἑκατόν. ἡ δὲ Φάρος νησίον ἐστὶ παράμηκες προσεχέστατον τῇ ἠπείρῳ λιμένα πρὸς αὐτὴν ποιοῦν ἀμφίστομον. ἠϊὼν γάρ ἐστι κολπώδης ἄκρας εἰς τὸ πέλαγος προβεβλημένη δύο, τούτων δὲ μεταξὺ ἡ νῆσος ἵδρυται κλείουσα τὸν κόλπον· παραβέβληται γὰρ αὐτῷ κατὰ μῆκος. τῶν δ' ἄκρων τῆς Φάρου τὸ μὲν ἑῷον μᾶλλόν ἐστι προσεχὲς τῇ ἠπείρῳ καὶ τῇ κατ' αὐτὸ ἄκρᾳ (καλεῖται δ' ἡ ἄκρα Λοχιάς) καὶ ποιεῖ τὸν λιμένα ἀρτίστομον· πρὸς δὲ τῇ στενότητι τοῦ μεταξὺ πόρου καὶ πέτραι εἰσίν, αἱ μὲν ὕφαλοι, αἱ δὲ καὶ ἐξέχουσαι, τραχύνουσαι πᾶσαν ὥραν τὸ προσπῖπτον ἐκ τοῦ πελάγους κλυδώνιον. ἔστι δὲ καὶ αὐτὸ τὸ τῆς νησῖδος ἄκρον πέτρα περίκλυστος, ἔχουσα πύργον θαυμαστῶς κατεσκευασμένον λευκοῦ λίθου πολυώροφον, ὁμώνυμον τῇ νήσῳ. τοῦτον δ' ἀνέθηκε Σώστρατος Κνίδιος, φίλος τῶν βασιλέων, τῆς τῶν πλωϊζομένων σωτηρίας χάριν, ὥς φησιν ἡ ἐπιγραφή. ἀλιμένου γὰρ οὔσης καὶ ταπεινῆς τῆς ἑκατέ-

16–8 Eust. D. P. 262, 23–6. *Od. 1500, 15 sq.

3 ἐπὶ ante τοσοῦτον add. q ὥστε pro οἵ γε Groskurd **7** addidi **9** ὑπ' yz^{pc}, Korais: ἐπ' codd. **11** post ἀρετὰς usque ad 796, 23 Πτολεμαῖος deest F (duobus foliis deperditis, cf. Diller 1975, 63) διέξιμεν C^{s} D^{pc}E: -ειμεν cett. **14** τοῦ ante Πηλουσίου add. E **15** μὲν om. B **18** προσεχέστατον Casaubonus: προσέσχατον D, πρὸς ἔσχατον cett., Eust. Od., πρὸς ἔσχατα Eust. D. P. **19** ἠϊὼν Meineke **22** αὐτὸ scripsi: -τὴν codd. δ' ἡ ἄκρα Λοχιάς Korais: δ' ἡ ἀκρολοχιάς BC, δὲ ἀκρολοχιάς D, δ' ἀκρολοχιάς E **27** πολυόροφον q **28** πλωϊζομένων DE: πλο- BC **28 sq.** πλ. χάριν σωτηρίας E **29** ὡς — ἐπιγραφὴ om. C ἐπίγραμμα. σώστρατος κνίδιος (κνη- D^{ac}) δεξιφάνους θεοῖς σωτῆρσιν ὑπὲρ τῶν πλωϊζομένων (πλο- B) post ἐπιγραφή add. BD (quae verba in C in margine scripta sunt)

renäer: denn soweit reichte die Macht der von Ptolemaios stammenden Könige – hatten sie doch sogar das Kyrenäische selber besetzt und auch Zypern als Teil Ägyptens unter sich verteilt – und die Römer, die ihr Gebiet übernahmen und Ägypten zu einer Provinz erklärten, haben es in denselben Grenzen gehalten. ('Oasen' nennen die Ägypter die bewohnten Stellen die, wie Inseln im Meer, ringsum von großen Einöden umgeben sind; das kommt in Libyen viel vor, und drei davon sind es die Ägypten benachbart und ihm unterstellt sind).

Dies ist was wir im allgemeinen und auf oberster Stufe über Ägypten zu sagen haben. Das Einzelne und die Vorzüge des Landes werden wir jetzt behandeln. 6 Da der größte und wichtigste Teil dieser Aufgabe von Alexandrien und seiner Umgebung gebildet wird, müssen wir dort anfangen.

Die Küste denn misst von Pelusion, wenn man nach Westen schifft, bis zur Kanobischen Mündung etwa eintausendunddreihundert Stadien (das Stück das wir auch die Grundlinie des Deltas genannt haben [788, 16 f.]); von dort sind es zur Insel Pharos noch einmal hundertundfünfzig Stadien. Pharos ist eine kleine längliche Insel ganz nah am Festland, die mit ihm einen Hafen mit zwei Eingängen bildet. Es ist hier nämlich eine ausgebuchtete Küste, die zwei Landspitzen ins Meer vorstreckt, und zwischen diesen liegt die Insel, die somit die Bucht abschließt (denn sie ist ihr der Länge nach vorgelagert). Von den Enden von Pharos ist das östliche dem Festland und der ihm gegenüberliegenden Landspitze näher (die Landspitze heißt Lochias) und macht dass der Hafen eine schmale Einfahrt hat; abgesehen von der Enge des dazwischenliegenden Fahrwassers gibt es auch noch Felsen, teils unter Wasser, teils auch darüber hinausragend, die unausgesetzt die vom Meer anlaufenden Wellen branden lassen. Auch das Ende der Insel selber ist ein umspülter Felsen; er trägt einen Turm, der wunderbar aus weißem Marmor hergestellt ist, viele Stockwerke hat und denselben Namen trägt wie die Insel. Ihn hat Sostratos aus Knidos, ein Freund der Könige, zum Heil der Seefahrenden geweiht, wie die Inschrift sagt. Da nämlich die Küste zu bei-

ρωθεν παραλίας, ἐχούσης δὲ καὶ χοιράδας καὶ βράχη τινά, ἔδει σημείου
τινὸς ὑψηλοῦ καὶ λαμπροῦ τοῖς ἀπὸ τοῦ πελάγους προσπλέουσιν, ὥστ' εὐ-
792C. στοχεῖν τῆς εἰσβολῆς τοῦ λιμένος. | καὶ τὸ ἑσπέριον δὲ στόμα οὐκ εὐείσ-
βολόν ἐστιν· οὐ μὴν τοσαύτης γε δεῖται προνοίας. ποιεῖ δὲ καὶ τοῦτο
ἄλλον λιμένα, τὸν τοῦ Εὐνόστου καλούμενον· πρόκειται δ' οὗτος τοῦ ὀρυκ-
4 τοῦ καὶ κλειστοῦ λιμένος. ὁ μὲν γὰρ ἐκ τοῦ λεχθέντος πύργου τῆς Φάρου
τὸν εἴσπλουν ἔχων ὁ Μέγας ἐστὶ λιμήν, οὗτοι δὲ συνεχεῖς ἐν βάθει ἐκεί-
νῳ, τῷ 'Επτασταδίῳ καλουμένῳ χώματι διειργόμενοι ἀπ' αὐτοῦ, παράκειν-
ται. τὸ δὲ χῶμά ἐστιν ἀπὸ τῆς ἠπείρου γέφυρα ἐπὶ τὴν νῆσον κατὰ τὸ
8 ἑσπέριον αὐτῆς μέρος ἐκτεταμένη, δύο διάπλους ἀπολείπουσα μόνον εἰς
τὸν Εὐνόστου λιμένα καὶ αὐτοὺς γεγεφυρωμένους. ἦν δ' οὐ γέφυρα μόνον
ἐπὶ τὴν νῆσον τὸ ἔργον τοῦτο ἀλλὰ καὶ ὑδραγώγιον, ὅτε γε ᾠκεῖτο· νῦν
δ' ἠρήμωσεν αὐτὴν ὁ Θεὸς Καῖσαρ ἐν τῷ πρὸς 'Αλεξανδρέας πολέμῳ τεταγ-
12 μένους μετὰ τῶν βασιλέων, ὀλίγοι δ' οἰκοῦσι πρὸς τῷ πύργῳ ναυτικοὶ ἄν-
δρες. ὁ δ' οὖν Μέγας λιμὴν πρὸς τῷ κεκλεῖσθαι καλῶς τῷ τε χώματι καὶ
τῇ φύσει ἀγχιβαθής τέ ἐστιν — ὥστε τὴν μεγίστην ναῦν ἐπὶ κλίμακος ὁρ-
μεῖν — καὶ εἰς πλείους σχίζεται λιμένας.

τε τὰς ἀναβάσεις τὴν πλημμυρίδα φέρειν καὶ μὴ ὑπερπολάζειν εἰς τὰ οἰ-
32 κούμενα καὶ πεφυτευμένα, εἶτα ἐν τῇ ἀποβάσει τὸ πλεονάζον ἀποδοῦσα τῇ

9 πολλοῦ pro πολλοῖς tacite Tzschucke (vide comm.) **12** ἀποκρύπτουσαν xz, ed. pr.: -κρῦπτον D, -κρύπτον BCFq; -κρύπτειν y **17** μηδὲ P (coniecit Meineke): μήτε cett. δὴ P: om. cett. **21** καὶ fort. om. P καθ' ἣν αὐτὴν Groskurd, κατ' αὐτήν ⟨τε⟩ Korais **23** γὰρ q: om. BCDF (inde a 21 τῇ deest P) **29** ⟨δ'⟩ εἰρήσθω Cobet ms., ⟨ταῦτα⟩ εἰρήσθω? **30** Μοίριδος E: μουρίδος cett. **30 sq.** κατά τε τὰς BCDF: κατὰ E; κατὰ τὰς Korais **31** πλημυ- F εἰς om. F τὰ om. E

de, die äußersten Teile der Welt (die äußersten Enden der Kugel sind ihr
Zentrum und ihre Außenseite). Da aber um die Erde das Wasser liegt und
8 der Mensch kein im Wasser sondern ein auf dem Land und in der Luft le-
bendes und mit Vielen am Licht teilhabendes Wesen ist, schuf sie in der Er-
de viele Aus- und Einbuchtungen, so dass sich in diesen das gesamte oder
doch das meiste Wasser absonderte und die unter ihm liegende Erde ver-
12 barg, an jenen die Erde hervorragte und das unter ihr liegende Wasser ver-
barg (ausgenommen das was für das Geschlecht der Menschen und die es
umgebenden Lebewesen und Pflanzen von Nutzen war). Und da Alles sich
in ständiger Bewegung und großen Veränderungen befindet – denn sonst
lassen die Dinge in der Welt, die von solcher Beschaffenheit, solcher Zahl
16 und solchen Ausmaßen sind, sich nicht lenken –, muss man annehmen dass
weder die Erde immer so bleibt dass sie immer diesen Umfang hat, ohne
sich etwas hinzuzufügen oder wegzunehmen, noch das Wasser, und dass
beide auch nicht immer denselben Platz einnehmen (zumal sie sich ja von
Natur so nahe stehen dass sie ganz leicht ineinander übergehen), sondern
20 dass zum einen viel Erde in Wasser übergeht, zum anderen viele Gewässer
zu Land werden, in derselben Weise wie es auch bei der Erde allein soviele
Unterschiede gibt: die eine ist locker, die andere fest, steinig, eisenhaltig
und so weiter (ebenso auch bei der flüssigen Substanz: die eine ist salzig, die
24 andere süß und trinkbar, wieder eine andere heilkräftig, lebenrettend, töd-
lich, kalt, warm). Was Wunder also wenn manche Teile der Erde, die heute
bewohnt sind, ehemals vom Meer bedeckt und die heutigen Meere ehemals
bewohnt waren, wie es ja auch vorgekommen ist dass ehemalige Quellen
28 versiegten, andere hervorbrachen, ebenso wie Flüsse und Seen, und so auch
Gebirge und Ebenen ineinander übergingen? Darüber haben wir schon frü-
her ausführlich gesprochen (49, 10 ff.) und sei auch jetzt dieses gesagt.

Der Moiris-See indessen ist durch seine Größe und Tiefe imstande nicht **37**
32 nur bei den Anstiegen die Flut zu fassen und nicht in das bewohnte und be-
pflanzte Gebiet überzutreten, sondern auch beim Abfluss nach Abgabe des

811C. αὐτῇ διώρυγι (κατὰ θάτερον τῶν στομάτων) | ἔχειν ὑπολειπόμενον τὸ χρή-
σιμον πρὸς τὰς ἐποχετείας καὶ αὐτὴ καὶ ἡ διῶρυξ. ταῦτα μὲν φυσικά· ἐπί-
κειται δὲ τοῖς στόμασιν ἀμφοτέροις τῆς διώρυγος κλεῖθρα, οἷς ταμιεύ-
4 ουσιν οἱ ἀρχιτέκτονες τό τε εἰσρέον ὕδωρ καὶ τὸ ἐκρέον.

Πρὸς δὲ τούτοις ἡ τοῦ λαβυρίνθου κατασκευὴ πάρισον ταῖς πυραμίσιν
ἐστὶν ἔργον καὶ ὁ παρακείμενος τάφος τοῦ κατασκευάσαντος βασιλέως τὸν
λαβύρινθον. ἔστι δὲ κατὰ τὸν πρῶτον εἴσπλουν τὸν εἰς τὴν διώρυγα προ-
8 ελθόντι ὅσον τριάκοντα ἢ τετταράκοντα σταδίους ἐπίπεδόν τι τραπεζῶδες
χωρίον ἔχον κώμην τε καὶ βασίλειον μέγα ἐκ πολλῶν βασιλείων, ὅσοι πρό-
τερον ἦσαν νομοί· τοσαῦται γάρ εἰσιν αὐλαὶ περίστυλοι συνεχεῖς ἀλλήλαις
ἐφ' ἕνα στίχον πᾶσαι καὶ ἐφ' ἑνὸς τοίχου ὡς ἂν τείχους μακροῦ προκει-
12 μένας ἔχοντος τὰς αὐλάς. αἱ δ' εἰς αὐτὰς ὁδοὶ κατάντικρὺ τοῦ τείχους
εἰσί, πρόκεινται δὲ τῶν εἰσόδων κρυπταί τινες μακραὶ καὶ πολλαὶ δι' ἀλ-
λήλων ἔχουσαι σκολιὰς τὰς ὁδούς, ὥστε χωρὶς ἡγεμόνος μηδενὶ τῶν ξένων
εἶναι δυνατὴν τὴν εἰς ἑκάστην αὐλὴν πάροδόν τε καὶ ἔξοδον. τὸ δὲ θαυ-
16 μαστόν, ὅτι καὶ αἱ στέγαι τῶν οἴκων ἑκάστου μονόλιθοι καὶ τῶν κρυπτῶν
τὰ πλάτη μονολίθοις ὡσαύτως ἐστέγασται πλαξὶν ὑπερβαλλούσαις τὸ μέ-
γεθος (ξύλων οὐδαμοῦ καταμεμιγμένων οὐδ' ἄλλης ὕλης οὐδεμιᾶς) ἀναβάντα
τε ἐπὶ τὸ στέγος — οὐ μεγάλῳ ὕψει ἅτε μονοστέγῳ — ἔστιν ἰδεῖν πεδίον
20 λίθινον ἐκ τηλικούτων λίθων, ἐντεῦθεν δὲ πάλιν εἰς τὰς αὐλὰς ἐκπίπ-
τοντα ἑξῆς ὁρᾶν κειμένας ὑπὸ μονολίθων κιόνων ὑπηρεισμένας ἑπτὰ καὶ
εἴκοσι· καὶ οἱ τοῖχοι δὲ οὐκ ἐξ ἐλαττόνων τῷ μεγέθει λίθων σύγκεινται.
ἐπὶ τέλει δὲ τῆς οἰκοδομίας ταύτης (πλέον ἢ στάδιον ἐπεχούσης) ὁ τάφος
24 ἐστί, πυραμὶς τετράγωνος ἑκάστην τετράπλεθρόν πως ἔχουσα τὴν πλευρὰν
καὶ τὸ ἴσον ὕψος· Ἰμάνδης δ' ὄνομα ὁ ταφείς. πεποιῆσθαι δέ φασι τὰς

33 αὐτῇ om. E 811 1 ἔχει E (coniecit Korais [aut ἀποδοῦσαν … ἔχειν … καὶ αὐτὴν καὶ τὴν διώρυγα]) 2 διῶρυξ D: διώ- cett. 3 δὲ D: δὴ cett. 6 sq. {τὸν λαβύρινθον}? 7 κατὰ E: τὸ κατὰ cett.; τῷ κατὰ q, τὰ κατὰ Korais 8 τεσσα- F 9 τε om. E βασιλείων Tyrwhitt (46): βα( )ων E, βασιλέων cett. 10 ἀλλήλαις E: -οις cett. 11 στοῖχον D^{s}E ἀφ'? Meineke (3, VI ad 1131, 14) μακροῦ Korais: μι- codd. 12 ἔχοντος Korais: -τες codd. 14 ἡγεμόνων E 15 δυνατὴν εἶναι E ⟨τὴν⟩ αὐλὴν? 15 sq. θαυμαστό⟨τατο⟩ν? Kramer 16 καὶ prius F: om. cett. μονόλιθοι Xylander: μονολίθου F, μονολίθῳ cett. (-ῳ e corr. D) 18 ἀναβάντι E 19 τε E: τέ ἐστιν cett. τέγος οὐ μέγα τῷ Meineke (Vind. 236) ⟨ἐν⟩ οὐ? Kramer 20 sq. εἰσβλέποντα pro ἐκπίπτοντα Kramer, ἐκκύπτοντα Müller (1041 ad 689, 22) 22 ἐξ om. D 23 ἐπεχούσης Schweighaeuser (Herodoti Musae … 5, Argentorati – Parisiis 1816, 383), Korais: ἀπ- codd. 25 Μαΐνδης X; Ἰσμάνδης Korais coll. 813, 18

811 Überschüssigen durch denselben Kanal (über die andere Mündung) noch
das für die Bewässerung Nützliche übrig zu behalten (das gilt auch für den
Kanal). Das sind die natürlichen Vorgänge; vor den beiden Mündungen des
4 Kanals liegen außerdem noch Sperren, mit denen die Baumeister das herein-
und hinausfließende Wasser dosieren.

Hinzu kommen die Anlage des Labyrinths, ein den Pyramiden vergleich-
bares Werk, und das daneben liegende Grab des Königs der das Labyrinth
8 angelegt hat. Geht man auf der Höhe der ersten Einfahrt in den Kanal etwa
dreißig oder vierzig Stadien landeinwärts, dann ist dort ein flacher, tafel-
ähnlicher Ort mit einem Dorf und einem großen Königssitz, der sich aus
vielen Palästen zusammensetzt, ebensovielen wie es früher Distrikte gab: so
viele mit Säulen umgebene Höfe gibt es nämlich, die alle in *einer* Reihe an-
12 einander stoßen und an *einer* Wand liegen, gleichsam einer langen Mauer,
der die Höfe vorgelagert sind. Die Zugänge zu ihnen sind gerade gegenüber
der Mauer, aber vor den Eingängen liegen zahlreiche lange überdeckte
Gänge, die miteinander durch gewundene Wege verbunden sind, so dass es
ohne Führer keinem Fremden möglich ist in die einzelnen Höfe hinein- und
16 hinauszugelangen. Das Erstaunliche ist dass nicht nur die Dächer der ein-
zelnen Räume von einem einzigen Stein gebildet werden sondern auch die
Gänge in der Breite ebenso von riesengroßen Steinplatten überdeckt sind
(Holz findet sich nirgends dazwischen und auch kein anderes Material) und
wenn man auf das Dach steigt – keine große Höhe, da es ja nur ein Stock-
20 werk ist – man eine aus Steinen dieser Größe gebildete Steinebene erblickt,
und wenn man von dort wieder in die Höfe hinausgelangt ist, ihre Fortset-
zung zu sehen bekommt, die von siebenundzwanzig Säulen aus einem Stück
getragen wird; und auch die Wände sind aus nicht weniger großen Steinen
zusammengesetzt. Am Ende dieses Gebäudes (das sich über mehr als ein
24 Stadion erstreckt) ist das Grab, eine quadratische Pyramide mit Seiten von
je etwa vier Plethren und der gleichen Höhe; der Name des dort Begrabenen
ist Imandes. Es sollen so viele Höfe gebaut worden sein weil es Brauch war

αὐλὰς τοσαύτας ὅτι τοὺς νομοὺς ἔθος ἦν ἐκεῖσε συνέρχεσθαι πάντας
ἀριστίνδην μετὰ τῶν οἰκείων ἱερέων καὶ ἱερειῶν θυσίας τε καὶ θεοδο-
28 σίας καὶ δικαιοδοσίας περὶ τῶν μεγίστων χάριν· κατήγετο δὲ τῶν νομῶν
ἕκαστος εἰς τὴν ἀποδειχθεῖσαν αὐλὴν αὐτῷ.

Παραπλεύσαντι δὲ ταῦτα ἐφ' ἑκατὸν σταδίους πόλις ἐστὶν Ἀρσινόη· 38
Κροκοδείλων δὲ πόλις ἐκαλεῖτο πρότερον. σφόδρα γὰρ ἐν τῷ νομῷ τούτῳ
32 τιμῶσι τὸν κροκόδειλον, καὶ ἔστιν ἱερὸς παρ' αὐτοῖς, ἐν λίμνῃ καθ' αὑτὸν
τρεφόμενος χειροήθης τοῖς ἱερεῦσι. καλεῖται δὲ Σοῦχος, τρέφεται δὲ σι-
τίοις καὶ κρέασι καὶ οἴνῳ, προσφερόντων ἀεὶ τῶν ξένων τῶν ἐπὶ τὴν
812C. θέαν ἀφικνουμένων. | ὁ γοῦν ἡμέτερος ξένος, ἀνὴρ τῶν ἐντίμων αὐτόθι
μυσταγωγῶν ἡμᾶς, συνῆλθεν ἐπὶ τὴν λίμνην κομίζων ἀπὸ τοῦ δείπνου
πλακουντάριόν τι καὶ κρέας ὀπτὸν καὶ προχοΐδιόν τι μελικράτου· εὕρομεν
4 δὲ ἐπὶ τῷ χείλει κείμενον τὸ θηρίον, προσιόντες δὲ οἱ ἱερεῖς οἱ μὲν
διέστησαν αὐτοῦ τὸ στόμα, ὁ δὲ ἐνέθηκε τὸ πέμμα καὶ πάλιν τὸ κρέας,
εἶτα τὸ μελίκρατον κατήρασε· καθαλόμενος δὲ εἰς τὴν λίμνην διῇξεν εἰς
τὸ πέραν· ἐπελθόντος δὲ καὶ ἄλλου τῶν ξένων κομίζοντος ὁμοίως ἀπαρχὴν
8 λαβόντες περιῆλθον δρόμῳ καὶ καταλαβόντες προσήνεγκαν ὁμοίως τὰ ἐνεχ-
θέντα.

Μετὰ δὲ τὸν Ἀρσινοΐτην καὶ τὸν Ἡρακλεωτικὸν νομὸν Ἡρακλέους πόλις, 39
ἐν ᾗ ὁ ἰχνεύμων τιμᾶται ὑπεναντίως τοῖς Ἀρσινοΐταις. οἱ μὲν γὰρ τοὺς
12 κροκοδείλους τιμῶσι — καὶ διὰ τοῦτο ἥ τε διῶρυξ αὐτῶν ἐστι μεστὴ τῶν
κροκοδείλων καὶ ἡ τοῦ Μοίριδος λίμνη· σέβονται γὰρ καὶ ἀπέχονται αὐ-
τῶν —, οἱ δὲ τοὺς ἰχνεύμονας, τοὺς ὀλεθριωτάτους τοῖς κροκοδείλοις,
καθάπερ καὶ ταῖς ἀσπίσι· καὶ γὰρ τὰ ᾠὰ διαφθείρουσιν αὐτῶν καὶ αὐτὰ
16 τὰ θηρία τῷ πηλῷ θωρακισθέντες· κυλισθέντες γὰρ ἐν αὐτῷ ξηραίνονται
πρὸς τὸν ἥλιον, εἶτα τὰς ἀσπίδας μὲν ἢ τῆς κεφαλῆς ἢ τῆς οὐρᾶς λαβό-
μενοι κατασπῶσιν εἰς τὸν ποταμὸν καὶ διαφθείρουσι, τοὺς δὲ κροκοδεί-
λους ἐνεδρεύσαντες, ἡνίκ' ἂν ἡλιάζωνται κεχηνότες, ἐμπίπτουσιν εἰς τὰ

27 ἀριστίνδην Tyrwhitt (47): ἄριστον δ' ἦν codd. ἱερέων καὶ ἱερειῶν Korais: ἱερῶν καὶ ἱερείων codd. **27 sq.** {καὶ θεοδοσίας} aut καὶ θεοδικίας Korais, καὶ θεοδαισίας Aly (1957, 82–5. 513), καὶ θεοδοχίας? Holwerda **29** αὐτῷ om. E **31** δὲ om. E **32** ἑαυτὸν E **33** δὲ post. om. E 812 **3** πλακούντιον E προχοΐδιόν Meineke **7** ἀπαρχὰς E **8 sq.** ἐνεχθέντα scripsi: προσενεχθέντα codd.; προενεχθέντα Holwerda **10** κατὰ pro καὶ Letronne, καὶ ⟨κατὰ⟩ Groskurd τὸν post. om. E **12** διῶρυξ DE: διώ- cett. {τῶν}? **13** Μοίριδος E[i] (coniecit Xylander): μού- cett. **19** ἐνε-δρεύοντες E

dass sämtliche Distrikte, vertreten von ihrer Prominenz in Begleitung ihrer
eigenen Priester und Priesterinnen, hier zusammenkamen um Opfer zu brin-
28 gen, den Göttern Geschenke zu weihen und in den wichtigsten Angelegen-
heiten Recht zu sprechen; jeder einzelne Distrikt stieg in dem ihm zugewie-
senen Hof ab.

Ist man hieran vorbei hundert Stadien weiter geschifft, dann kommt die 38
Stadt Arsinoë; sie hieß früher Krokodeilon Polis ('Stadt der Krokodile'). In
32 diesem Distrikt wird nämlich das Krokodil höchlich verehrt, und es gibt bei
ihnen ein heiliges, in einem See für sich gehaltenes Exemplar, das zahm zu
den Priestern ist. Es wird Suchos genannt und gefüttert mit Brot, Fleisch
und Wein, was ihm ständig die Fremden bringen die zu seiner Besichtigung
812 kommen. Unser Gastgeber jedenfalls, einer der Honoratioren, der uns dort
in die Geheimnisse einweihte, begleitete uns zu dem See und brachte von
der Mahlzeit etwas Kuchen, gebratenes Fleisch und ein Kännchen Honig-
4 mischtrank mit; wir fanden das Tier am Rande liegen; die Priester kamen
herbei, und während die einen ihm das Maul aufsperrten, warf der andere
das Gebäck und darauf das Fleisch hinein und goss dann den Honigmisch-
trank dazu, worauf das Tier in den See sprang und zur gegenüberliegenden
Seite schoss; als noch ein weiterer Besucher kam, der ebenfalls eine Opfer-
8 gabe brachte, nahmen die Priester sie in Empfang, liefen um den See, pack-
ten das Tier und verabreichten ihm auf dieselbe Art das Gebrachte.

Nach dem Arsinoitischen und dem Herakleotischen Distrikt kommt die 39
Stadt des Herakles (Heraklëus Polis), in der, im Gegensatz zu den Arsinoi-
12 tern, der Ichneumon verehrt wird. Verehren jene doch die Krokodile – und
daher ist nicht nur ihr Kanal sondern auch der Moiris-See voller Krokodile;
denn sie haben Ehrfurcht vor ihnen und schonen sie –, diese dagegen die
Ichneumone, die den Krokodilen besonders verderblich sind, ebenso wie
16 den Brillenschlangen; denn sie vernichten ihre Eier und auch die Tiere sel-
ber, wenn sie sich mit Schlamm gepanzert haben: sie wälzen sich nämlich
darin und lassen sich an der Sonne trocknen, dann packen sie die Brillen-
schlangen entweder am Kopf oder am Schwanz, ziehen sie in den Fluss hin-
ab und töten sie; und die Krokodile belauern sie, und wenn sie sich mit auf-

20 χάσματα καὶ διαφαγόντες τὰ σπλάγχνα καὶ τὰς γαστέρας ἐκδύνουσιν ἐκ νεκρῶν τῶν σωμάτων.

Ἑξῆς δ' ἐστὶν ὁ Κυνοπολίτης νομὸς καὶ Κυνῶν πόλις, ἐν ᾗ ὁ Ἄνουβις 40 τιμᾶται καὶ τοῖς κυσὶ τιμὴ καὶ σίτησις τέτακταί τις ἱερά. ἐν δὲ τῇ
24 περαίᾳ Ὀξύρυγχος πόλις καὶ νομὸς ὁμώνυμος· τιμῶσι δὲ τὸν ὀξύρυγχον, καὶ ἔστιν αὐτοῖς ἱερὸν ὀξυρύγχου, καίτοι καὶ τῶν ἄλλων Αἰγυπτίων κοινῇ τιμώντων τὸν ὀξύρυγχον. τινὰ μὲν γὰρ τῶν ζῴων ἅπαντες κοινῇ τιμῶσιν Αἰγύπτιοι — καθάπερ τῶν μὲν πεζῶν τρία, βοῦν, κύνα, αἴλουρον, τῶν δὲ
28 πτηνῶν δύο, ἱέρακα καὶ ἶβιν, τῶν δ' ἐνύδρων δύο, λεπιδωτὸν ἰχθὺν καὶ ὀξύρυγχον —, ἄλλα δ' ἐστὶν ἃ τιμῶσι καθ' ἑαυτοὺς ἕκαστοι, καθάπερ Σαΐται πρόβατον καὶ Θηβαῖται, λάτον δὲ (τῶν ἐν τῷ Νείλῳ τινὰ ἰχθύν) Λατοπολῖται, λύκον δὲ Λυκοπολῖται, κυνοκέφαλον δὲ Ἑρμοπολῖται, κῆβον δὲ Βα-
32 βυλώνιοι οἱ κατὰ Μέμφιν (ἔστι δ' ὁ κῆβος τὸ μὲν πρόσωπον ἐοικὼς σατύρῳ, τἆλλα δὲ κυνὸς καὶ ἄρκτου μεταξύ· γεννᾶται δ' ἐν Αἰθιοπίᾳ), ἀετὸν δὲ Θηβαῖοι, λέοντα δὲ Λεοντοπολῖται, αἶγα δὲ καὶ τράγον Μενδήσιοι, μυγα-
813C. λῆν δὲ Ἀθριβῖται, ἄλλοι δ' ἄλλο τι (τὰς δ' αἰτίας οὐχ ὁμολογουμένας λέγουσιν).

Ἑξῆς δ' ἐστὶν ⟨ἡ⟩ Ἑρμοπολιτικὴ φυλακή, τελώνιόν τι τῶν ἐκ τῆς Θη- 41
4 βαΐδος καταφερομένων (ἐντεῦθεν ἀρχὴ τῶν ἑξηκοντασταδίων σχοίνων ἕως Συήνης καὶ Ἐλεφαντίνης). εἶτα ἡ Θηβαϊκὴ φυλακὴ καὶ διῶρυξ φέρουσα ἐπὶ Τάνιν, εἶτα Λύκων πόλις καὶ Ἀφροδίτης καὶ Πανῶν πόλις, λινουργῶν καὶ λιθουργῶν κατοικία παλαιά. ἔπειτα Πτολεμαῒς πόλις, μεγίστη τῶν ἐν τῇ 42
8 Θηβαΐδι καὶ οὐκ ἐλάττων Μέμφεως, ἔχουσα καὶ σύστημα πολιτικὸν ἐν τῷ Ἑλληνικῷ τρόπῳ.

Ὑπὲρ δὲ ταύτης ἡ Ἄβυδος, ἐν ᾗ τὸ Μεμνόνειον, βασίλειον θαυμαστῶς κατεσκευασμένον ὁλόλιθον τῇ αὐτῇ κατασκευῇ ᾗπερ τὸν λαβύρινθον ἔφα-

22 sq. *St. B. 394, 20 sq.? 813 9–17 *Eust. D. P. 315, 11–3

22 Κυνοπόλει X in paraphrasi 23 σίτησις CD: σίτισις cett. τις τέτακται D 25 καὶ post. om. F 27 τρία E: γ' F, τριῶν BCD 29 αὐτοὺς X 30 λᾶτον F τῶν iyz: τ.. E, τὸν CDF, τὸν τὸν B 31 δὲ primum X: τε cett. τε pro δὲ secundo E κῆβον BC^{ac}DE: κῆπον C^{pc}FX 32 κῆβος DE: κῆπος cett. 34 sq. μυγαλῆν D^{pc}EX: μυγάλην cett. 813 3 addidi τῆς om. E 5 διῶρυξ E: διώ- cett. 6 τᾶνιν F 7 Πτολεμαῒς X: πολεμικὴ F, πτολεμαϊκὴ cett. τῇ om. EX 10 Μεμνόνειον E^{pc}X^{i}, Eust.: -νώνειον E^{ac}, -νόνιον cett.; vide 45, 35 comm. 11 ὁλόλιθον om. E; aut deleri aut post 10 βασίλειον transponi iussit Kramer

20 gesperrtem Rachen sonnen, springen sie in den Schlund, zerfressen die Eingeweide und die Bäuche, und wenn sie wieder herauskommen, sind die Körper tot.

Anschließend kommt der Kynopolitische Distrikt und Kynon Polis 40 ('Stadt der Hunde'), wo Anubis verehrt wird und für die Hunde Ehrung
24 und eine heilige Fütterung festgesetzt ist. Auf der gegenüberliegenden Seite ist die Stadt Oxyrhynchos und der gleichnamige Distrikt; dort verehren sie den Oxyrhynchos und haben sie ein Oxyrhynchos-Heiligtum – wenngleich auch die übrigen Ägypter allgemein den Oxyrhynchos verehren. Manche Tiere nämlich verehren alle Ägypter gemeinsam – z. B. von den Landtieren
28 drei: das Rind, den Hund und die Katze, von den Vögeln zwei: den Falken und den Ibis, und von den Wassertieren zwei: den Schuppenfisch und den Oxyrhynchos –, doch gibt es andere die sie je für sich verehren, z. B. die Saïter und Thebaïter das Schaf, die Latopoliter den Latos (einen der Fische im Nil), die Lykopoliter den Wolf, die Hermopoliter den Hundskopf, die
32 Babylonier bei Memphis den Kebos (der Kebos ähnelt in seinem Gesicht einem Satyr, im übrigen ist er ein Mittelding zwischen Hund und Bär; er kommt aus Äthiopien), die Thebaner den Adler, die Leontopoliter den Lö-
813 wen, die Mendesier die Ziege und den Bock, die Athribiter die Spitzmaus, und Andere irgendein anderes Tier (bei der Angabe der Gründe gibt es keine Einstimmigkeit).

Als nächstes kommt die Hermopolitische Wache, eine Zollstation für die 41
4 Waren die aus der Thebais herabgebracht werden (dort ist der Anfang der Schoinen von sechzig Stadien, die bis Syene und Elephantine gebraucht werden). Dann kommt die Thebanische Wache und ein Kanal, der nach Tanis führt, dann Lykon Polis, Aphrodites und Panon Polis, eine alte Siedlung von Leinwebern und Steinmetzen. Dann die Stadt Ptolemaïs, die größte der 42
8 Thebais und nicht hinter Memphis zurückstehend; sie hat auch einen politischen Verband nach griechischer Weise.

Oberhalb von ihr liegt Abydos, wo das Memnoneion ist, ein wunderbar ganz aus Stein hergestellter Königssitz – genau so gebaut wie wir das bei

12 μεν (811, 15 sqq.), οὐ πολλαπλοῦν δέ, καὶ κρήνη ἐν βάθει κειμένη, ὥστε καταβαίνειν εἰς αὐτήν, κατακαμφθεισῶν ψαλίδων διὰ μονολίθων ὑπερβαλλόντων τῷ μεγέθει καὶ τῇ κατασκευῇ· ἔστι δὲ διῶρυξ ἡ ἄγουσα ἐπὶ τὸν τόπον ἀπὸ τοῦ μεγάλου ποταμοῦ, περὶ δὲ τὴν διώρυγα ἀκανθῶν τῶν Αἰγυπ-
16 τίων ἄλσος ἐστὶν ἱερὸν τοῦ Ἀπόλλωνος. ἔοικε δὲ ὑπάρξαι ποτὲ ἡ Ἄβυδος πόλις μεγάλη δευτερεύουσα μετὰ τὰς Θήβας· νυνὶ δ' ἐστὶ κατοικία μικρά. (εἰ δ', ὥς φασιν, ὁ Μέμνων ὑπὸ τῶν Αἰγυπτίων Ἰσμάνδης λέγεται, καὶ ὁ λαβύρινθος Μεμνόνειον ἂν εἴη καὶ τοῦ αὐτοῦ ἔργον οὗπερ καὶ τὸ ἐν Ἀβύδῳ
20 καὶ τὰ ἐν Θήβαις· καὶ γὰρ ἐκεῖ λέγεταί τινα Μεμνόνεια). κατὰ δὲ τὴν Ἄβυδόν ἐστιν ἡ πρώτη αὔασις ἐκ τῶν λεχθεισῶν (791, 8 sq.) τριῶν ἐν τῇ Λιβύῃ, διέχουσα ὁδὸν ἡμερῶν ἑπτὰ ἐνθένδε δι' ἐρημίας, εὔυδρός τε κατοικία καὶ εὔοινος καὶ τοῖς ἄλλοις ἱκανή· δευτέρα δ' ἡ κατὰ τὴν Μοίριδος
24 λίμνην, τρίτη δὲ ἡ κατὰ τὸ μαντεῖον τὸ ἐν Ἄμμωνι (καὶ αὗται δὲ κατοικίαι εἰσὶν ἀξιόλογοι).

43 Πολλὰ δ' εἰρηκότες περὶ τοῦ Ἄμμωνος (49, 10 sqq.) τοσοῦτον ⟨ἐπ⟩ειπεῖν βουλόμεθα ὅτι τοῖς ἀρχαίοις μᾶλλον ἦν ἐν τιμῇ καὶ ἡ μαντικὴ καθόλου
28 καὶ τὰ χρηστήρια· νυνὶ δ' ὀλιγωρία κατέχει πολλή, τῶν Ῥωμαίων ἀρκουμένων τοῖς τῆς Σιβύλλης χρησμοῖς καὶ τοῖς Τυρρηνικοῖς θεοπροπίοις διά τε σπλάγχνων καὶ ὀρνιθείας καὶ διοσημιῶν. διόπερ καὶ τὸ ἐν Ἄμμωνι σχεδόν τι ἐκλέλειπται χρηστήριον, πρότερον δ' ἐτετίμητο. δηλοῦσι δὲ μάλιστα
32 τοῦτο οἱ τὰς Ἀλεξάνδρου πράξεις ἀναγράψαντες προστιθέντες μὲν πολὺ καὶ τὸ τῆς κολακείας εἶδος, ἐμφαίνοντες δέ τι καὶ πίστεως ἄξιον. ὁ γοῦν
814 C. Καλλισθένης (FGrHist 124 F 14) φησὶ τὸν Ἀλέξανδρον | φιλοδοξῆσαι μάλιστα ἀνελθεῖν ἐπὶ τὸ χρηστήριον, ἐπειδὴ καὶ Περσέα ἤκουε πρότερον

12 καὶ κρήνη ... κειμένη Kramer: καὶ κρήνην ... κειμένην codd.; ⟨ἔχον⟩ καὶ κρήνην ... κειμένην Letronne 13 κατὰ καμφθεισῶν Wesseling (Diod. 1, 122[4]) λίθων post διὰ add. E^{ac} διὰ συννόμων λίθων Müller (1041 ad 690, 45) 13 sq. διὰ κατακαμφθεισῶν ψ. μονολίθων ὑπερβαλλουσῶν Groskurd 14 διῶρυξ D: διώ- cett. {ἡ} Kramer 16 ποτὲ om. E 18 σμάνδης F; Ἰμάνδης x 19 Μεμνόνειον E: -νιον cett. οὗ E τὸ scripsi: τὰ codd. 20 Μεμνόνεια E: -νια cett. 22 τε om. E 23 Μοίριδος E: μούριδος C, μουρίδος cett. 24 τὸ prius om. E 26 add. Cobet (Misc. 203) 28 πολλὴ κατέχει X 29 τῆς D^{s}xy: om. cett. 30 ὀρνιθείας X: -θίας cett. διοσημιῶν Korais: -μείων codd.; -μειῶν Kramer 31 ἐκλέλοιπε X δὲ D: δὴ cett. 32 συγγράψαντες D^{ac} καὶ om. F^{i} 33 δέ τι xy: δ' ὅτι BCF, δὲ ὅτι D 814 2 καὶ om. F ἤκουε CD: ἤκουεν BF; ἤκουσε qz

12 dem Labyrinth beschrieben haben (811, 15 ff.), nur nicht viele Male wiederholt –, und ein Brunnen der in der Tiefe liegt, so dass man zu ihm herabsteigen muss, wozu Gewölbe aus gewaltigen, überaus kunstvoll bearbeiteten Steinblöcken herabgezogen sind; es gibt einen Kanal der von dem großen Fluss zu dem Ort führt, und der Kanal ist umgeben von einem Hain Ägypti-
16 scher Akazien, der dem Apollon geweiht ist. Abydos scheint einst eine große Stadt, die zweite nach Theben, gewesen zu sein; heute ist es eine kleine Siedlung. (Wenn, wie man sagt, Memnon von den Ägyptern Ismandes genannt wird, dürfte auch das Labyrinth ein Memnoneion und das Werk des-
20 selben Mannes sein von dem auch das in Abydos und die in Theben stammen; auch dort nämlich gibt es Bauten die Memnoneia genannt werden). Auf der Höhe von Abydos liegt in Libyen die erste der drei genannten (791, 8 f.) Oasen, sieben Tagereisen durch die Einöde von hier entfernt, eine reich mit Wasser versehene, viel Wein hervorbringende und für die übrigen
24 Gewächse geeignete Siedlung; die zweite ist die bei dem Moiris-See, die dritte die bei dem Orakel in Ammon (auch dies sind stattliche Siedlungen).

43 Da wir bereits viel von Ammon gesprochen haben (49, 10 ff.), wollen wir nur hinzufügen dass bei den Alten nicht nur die Wahrsagekunst überhaupt
28 sondern auch die Orakel in höherem Ansehen standen; heute sind sie großer Geringschätzung anheimgefallen, da die Römer sich begnügen mit den Sprüchen der Sibylle und den Tyrrhenischen Prophezeiungen durch Eingeweide, Vogelschau und Himmelszeichen. Daher ist auch das Orakel in Ammon so gut wie verlassen, während es früher in Ehren stand. Das zeigen vor
32 allem die Autoren die die Taten Alexanders aufgezeichnet haben; sie fügen zwar auch viel obligate Schmeichelei hinzu, lassen aber doch auch manches
814 Glaubwürdige erkennen. Kallisthenes jedenfalls (FGrHist 124 F 14) sagt, Alexander habe besonderen Ehrgeiz gehabt, das Orakel aufzusuchen, weil

ἀναβῆναι καὶ Ἡρακλέα, ὁρμήσαντα δ' ἐκ Παραιτονίου καίπερ νότων ἐπιπε-
4 σόντων βιάσασθαι, πλανώμενον δ' ὑπὸ τοῦ κονιορτοῦ σωθῆναι γενομένων
ὄμβρων καὶ δυεῖν κοράκων ἡγησαμένων τὴν ὁδόν — ἤδη τούτων κολακικῶς
λεγομένων. τοιαῦτα δὲ καὶ τὰ ἑξῆς· μόνῳ γὰρ δὴ τῷ βασιλεῖ τὸν ἱερέα
ἐπιτρέψαι παρελθεῖν εἰς τὸν νεὼ μετὰ τῆς συνήθους στολῆς (τοὺς δ' ἄλ-
8 λους μετενδῦναι τὴν ἐσθῆτα) ἔξωθέν τε τῆς θεμιστείας ἀκροάσασθαι πάν-
τας πλὴν Ἀλεξάνδρου, τοῦτον δ' ἔνθοθεν. εἶναι ⟨δ'⟩ οὐχ ὥσπερ ἐν Δελφοῖς
καὶ Βραγχίδαις τὰς ἀποθεσπίσεις διὰ λόγων, ἀλλὰ νεύμασι καὶ συμβόλοις
τὸ πλέον, ὡς καὶ παρ' Ὁμήρῳ (A 528)

12 ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων,

τοῦ προφήτου τὸν Δία ὑποκρινομένου· τοῦτο μέντοι ῥητῶς εἰπεῖν τὸν ἄν-
θρωπον πρὸς τὸν βασιλέα, ὅτι εἴη Διὸς υἱός. προστραγῳδεῖ δὲ τούτοις ὁ
Καλλισθένης ὅτι τοῦ Ἀπόλλωνος τὸ ἐν Βραγχίδαις μαντεῖον ἐκλελοιπότος
16 ἐξ ὅτου τὸ ἱερὸν ὑπὸ τῶν Βραγχιδῶν σεσύλητο ἐπὶ Ξέρξου περσισάντων,
ἐκλελοιπυίας δὲ καὶ τῆς κρήνης, τότε ἥ τε κρήνη ἀνάσχοι καὶ μαντεῖα
πολλὰ οἱ Μιλησίων πρέσβεις κομίσαιεν εἰς Μέμφιν περὶ τῆς ἐκ Διὸς γενέ-
σεως τοῦ Ἀλεξάνδρου καὶ τῆς ἐσομένης περὶ Ἄρβηλα νίκης καὶ τοῦ Δαρείου
20 θανάτου καὶ τῶν ἐν Λακεδαίμονι νεωτερισμῶν· περὶ δὲ τῆς εὐγενείας καὶ
τὴν Ἐρυθραίαν Ἀθηναΐδα φησὶν ἀνειπεῖν· καὶ γὰρ ταύτην ὁμοίαν γενέσθαι
τῇ παλαιᾷ Σιβύλλῃ τῇ Ἐρυθραίᾳ.

Τὰ μὲν δὴ τῶν συγγραφέων τοιαῦτα. ἐν δὲ τῇ Ἀβύδῳ τιμῶσι τὸν Ὄσιριν· 44
24 ἐν δὲ τῷ ἱερῷ τοῦ Ὀσίριδος οὐκ ἔξεστιν οὔτε ᾠδὸν οὔτε αὐλητὴν οὔτε
ψάλτην ἀπάρχεσθαι τῷ θεῷ, καθάπερ τοῖς ἄλλοις θεοῖς ἔθος.

Μετὰ δὲ τὴν Ἄβυδον Διὸς πόλις ἡ μικρά, εἶτα Τέντυρα πόλις. ἐνταῦθα
δὲ διαφερόντως παρὰ τοὺς ἄλλους Αἰγυπτίους ὁ κροκόδειλος ἠτίμωται καὶ
28 ἔχθιστος τῶν ἁπάντων θηρίων νενόμισται. οἱ μὲν γὰρ ἄλλοι καίπερ εἰδότες
τὴν κακίαν τοῦ ζῴου καὶ ὡς ὀλέθριον τῷ ἀνθρωπίνῳ γένει σέβονται ὅμως

3 Παραιτονίου D^{pc}F: -τωνίου cett. **3 sq.** ἐμπεσόντων z **4** ἀπὸ Korais **5** κο-
λακευτικῶς ed. pr. **7** νεὼν D **9** add. Meineke; ἔνδοθεν εἶναι. ⟨καὶ εἶναι vel εἶναι
δ'⟩ Groskurd (⟨γενέσθαι δὲ⟩ maluit Cobet [Misc. 203]) **11 sq.** {ὡς — Κρονίων}? Mei-
neke (Vind. 237) **13** ὑποκρινομένου ed. pr.: -ναμένου codd. **13 sq.** προφήτην
φασὶν pro ἄνθρωπον X **16** Βραγχιδῶν Korais: βραγχίδων BD, βραχιδῶν F, βραγ-
χύδων C **18** Μιλησίων F: μη- cett. κομίσαιεν Casaubonus: κομισθέντες codd.
20 θεογενείας? διογενείας? Meineke (Vind. 237) **23** Ὄσιριν DF: ὅσει- BCX
24 Ὀσίριδος DFX: ὀσεί- BC **26** Διὸς πόλις Kramer: διόσπολις codd. **27** δὲ om.
E **28** τῶν om. E **29** ἀνθρωπίῳ B; ἀνθρωπείῳ h^{i}

er hörte dass auch Perseus und Herakles es ehedem besucht hätten; er sei
aus Paraitonion aufgebrochen, habe, obwohl Südwinde hereinbrachen, den
4 Marsch durchgesetzt und sei, als er durch den Sandsturm vom Weg abge-
kommen war, dadurch gerettet worden dass Regengüsse niedergingen und
zwei Raben ihm den Weg wiesen — das ist bereits schmeichlerisches Gerede.
Ebenso auch die Fortsetzung: nur dem König nämlich habe der Priester er-
8 laubt den Tempel in seiner gewöhnlichen Kleidung zu betreten (die Übrigen
hätten die Kleider gewechselt) und alle außer Alexander hätten die Orakel-
verkündung draußen angehört, er drinnen. Die Orakel würden nicht wie in
Delphi und Branchidai durch Worte sondern hauptsächlich durch Winke
und Zeichen gegeben, wie auch bei Homer (Il. 1, 528)

12 Also sprach und winkte mit schwärzlichen Brauen Kronion,

indem der Orakelpriester die Rolle des Zeus spiele; dies jedoch habe der
Mann wörtlich zu dem König gesagt, dass er ein Sohn des Zeus sei. Dem
fügt Kallisthenes noch die nach Tragödie schmeckende Geschichte hinzu
16 dass, obwohl Apollon das Orakel in Branchidai verlassen hatte seitdem das
Heiligtum von den Branchiden beraubt worden war, die zu Xerxes' Zeit mit
den Persern kollaboriert hatten, und auch der Brunnen versiegt war, damals
nicht nur der Brunnen aufsprudelte, sondern auch die Gesandten der Mile-
sier viele Orakelsprüche nach Memphis brachten die von Alexanders Erzeu-
20 gung durch Zeus, von dem künftigen Sieg bei Arbela, dem Tod des Dareios
und den Aufständen in Sparta sprachen; über die hohe Abstammung, sagt
er, habe auch die Erythräische Athenaïs ein Orakel verkündet (diese sei ja
der alten Erythräischen Sibylle vergleichbar gewesen).

So die Erzählungen der Geschichtsschreiber. In Abydos verehrt man Osi- 44
24 ris; in dem Heiligtum des Osiris darf kein Sänger, Flöten- oder Leierspieler
das Opfer für den Gott einleiten, wie das für die anderen Götter üblich ist.

Nach Abydos kommt das Kleine Dios Polis, dann die Stadt Tentyra.
Dort ist, anders als bei den übrigen Ägyptern, das Krokodil verfemt und gilt
28 als das verhassteste sämtlicher Tiere. Denn die übrigen Ägypter, obwohl sie
die Bösartigkeit des Tieres kennen und wissen wie verderblich es dem Men-

καὶ ἀπέχονται, οὗτοι δὲ πάντα τρόπον ἀνιχνεύουσι καὶ ἐκφθείρουσιν αὐτούς. ἔνιοι δ' ὥσπερ τοὺς Ψύλλους φασὶ τοὺς πρὸς τῇ Κυρηναίᾳ φυσικήν
32 τινα ἀντιπάθειαν ἔχειν πρὸς τὰ ἑρπετά, οὕτω καὶ τοὺς Τεντυρίτας πρὸς τοὺς κροκοδείλους, ὥστε μηδὲν ὑπ' αὐτῶν πάσχειν, ἀλλὰ καὶ κολυμβᾶν ἀδεῶς καὶ διαπερᾶν μηδενὸς ἄλλου θαρροῦντος. εἴς τε τὴν 'Ρώμην κομισθεῖσι τοῖς
815C. κροκοδείλοις ἐπι|δείξεως χάριν συνηκολούθουν οἱ Τεντυρῖται· γενομένης τε δεξαμενῆς καὶ πήγματός τινος ὑπὲρ μιᾶς τῶν πλευρῶν, ὥστε τοῖς θηρίοις ἐκβᾶσι τοῦ ὕδατος ἡλιαστήριον εἶναι, ἐκεῖνοι ἦσαν οἱ τοτὲ μὲν
4 ἐξέλκοντες δικτύῳ πρὸς τὸ ἡλιαστήριον — ὡς καὶ ὑπὸ τῶν θεατῶν ὁραθῆναι — ἐμβαίνοντες ἅμα εἰς τὸ ὕδωρ, τοτὲ δὲ πάλιν εἰς τὴν δεξαμενὴν κατασπῶντες. τιμῶσι δὲ 'Αφροδίτην· ὄπισθεν δὲ τοῦ νεὼ τῆς 'Αφροδίτης "Ισιδός ἐστιν ἱερόν.

8 Εἶτα τὰ Τυφώνια καλούμενα καὶ ἡ εἰς Κοπτὸν διῶρυξ, πόλιν κοινὴν Αἰγυπτίων τε καὶ 'Αράβων. ἐντεῦθέν ἐστιν ἰσθμὸς εἰς τὴν 'Ερυθρὰν κατὰ 45 πόλιν Βερενίκην ἀλίμενον μέν, τῇ δ' εὐκαιρίᾳ τοῦ ἰσθμοῦ καταγωγὰς ἐπιτηδείους ἔχουσαν. λέγεται δ' ὁ Φιλάδελφος πρῶτος στρατοπέδῳ τεμεῖν τὴν
12 ὁδὸν ταύτην ἄνυδρον οὖσαν καὶ κατασκευάσαι σταθμοὺς †ὥσπερ τοῖς ἐμπορίοις ὁδεύμασι καὶ διὰ τῶν καμήλων†, τοῦτο δὲ πρᾶξαι διὰ τὸ τὴν 'Ερυθρὰν δύσπλουν εἶναι, καὶ μάλιστα τοῖς ἐκ τοῦ μυχοῦ πλωϊζομένοις. ἐφάνη δὴ τῇ πείρᾳ πολὺ τὸ χρήσιμον, καὶ νῦν ὁ 'Ινδικὸς φόρτος ἅπας καὶ ὁ 'Αράβιος
16 καὶ τοῦ Αἰθιοπικοῦ ὁ τῷ 'Αραβίῳ κόλπῳ κατακομιζόμενος εἰς Κοπτὸν φέρεται καὶ τοῦτ' ἔστιν ἐμπόριον τῶν τοιούτων φορτίων. οὐκ ἄπωθεν δὲ τῆς Βερενίκης ἐστὶ Μυὸς ὅρμος, πόλις ἔχουσα τὸ ναύσταθμον τῶν πλωϊζομένων, καὶ τῆς Κοπτοῦ οὐ πολὺ ἀφέστηκεν ἡ καλουμένη 'Απόλλωνος πόλις,

30 ἐκφθείρουσιν EF: διαφθ- cett. 31 τοὺς post. om. D ἐν pro πρὸς X 33 καὶ om. D^{i} 34 τοῖς om. E, fort. recte 815 1 ἔνιοι pro οἱ v. Herwerden (457) 6 ὄπισθεν D: -θε cett. 8 τὰ E: om. cett. τιφώνια E διῶρυξ E: διώ- cett. 9 τε om. C ἐστιν om. E ⟨ὁ⟩ ἰσθμὸς Casaubonus 12 sq. verba ὥσπερ — καμήλων corrupta esse vidit Groskurd, ipse προσφόρους τοῖς ἐμπόροις ὁδεύουσι καὶ πεζῇ καὶ διὰ καμήλων scribi iubens; ἐν οἷσπερ (vel οὗπερ) τοῖς ἐμπόροις ὑδρεύματα καὶ αὔλια τῶν καμήλων Müller (1041 ad 692, 25), ὡς παρεῖναι τοῖς ἐμπόροις ἐδώδιμα καὶ δίαιταν καμήλων? Holwerda; del. Meineke ἐμπορείοις C 13 πρᾶξαι E: πράξιν B, πράξειν cett. 14 τοῦ om. E πλωϊζομένοις $CD^{pc}E$: πλο- cett. δὴ BCF: δὲ DE 15 νῦν om. B φόρτος z^{s}, Xylander: φόρος BCDEF 17 ἐμπόριον x: ἐμπορεῖον BCD, ἐμπορίον F ἄπωθεν $D^{pc}EF$: ἄπο- cett. 18 καὶ pro ἐστὶ E τὸν pro τὸ B πλοϊζ- BF 19 τῆς δὲ pro καὶ τῆς E

schen ist, verehren und schonen es trotzdem, diese dagegen spüren die Tiere mit allen Mitteln auf und vertilgen sie. Manche behaupten, ebenso wie die
32 Psyller beim Kyrenäischen eine angeborene Immunität gegen Schlangen haben, so hätten die Tentyriter das gegen Krokodile, so dass sie nichts von ihnen zu erleiden haben sondern ohne Furcht baden und über den Fluss schwimmen, was sonst keiner wagt. Und als Krokodile zur Schau nach Rom
815 gebracht wurden, kamen die Tentyriter mit; und nachdem man ein Bassin und auf einer der Seiten einen Steg angelegt hatte, zum Sonnen für die Tiere, wenn sie aus dem Wasser kämen, waren sie es die sie bald mit einem
4 Netz auf den Steg hoben — damit auch die Zuschauer sie sehen konnten —, wobei sie in das Wasser stiegen, bald sie wieder in das Bassin herabzogen. Sie verehren Aphrodite; hinter dem Tempel der Aphrodite ist ein Heiligtum der Isis.

8 Dann kommen die sogenannten Typhonien und der Kanal nach Koptos, einer gemeinsamen Stadt von Ägyptern und Arabern. Dort ist der Anfang ei- 45 ner Landenge zum Roten Meer bei der Stadt Berenike, die zwar keinen Hafen, aber wegen der günstigen Lage an der Landenge angemessene Lande-
12 plätze hat. Philadelphos soll zuerst mit einer Armee diese Straße, die kein Wasser hatte, gebaut und Rastplätze angelegt haben * * *; das habe er getan wegen der schlechten Beschiffbarkeit des Roten Meeres, besonders für die vom inneren Winkel aus Fahrenden. Im Gebrauch erwies der Nutzen sich als groß, und heute wird der gesamte indische Import sowie der arabische,
16 und von dem äthiopischen der Teil der über den Arabischen Golf kommt, nach Koptos gebracht und ist dieses der Umschlageplatz für diese Waren. Nicht weit von Berenike ist Myos Hormos, eine Stadt wo die Schiffsstation für die Seefahrer ist, und von Koptos ist das sogenannte Apollonos Polis

20 ὥστε καὶ αἱ διορίζουσαι τὸν ἰσθμὸν δύο πόλεις ἑκατέρωθέν εἰσιν· ἀλλὰ νῦν ἡ Κοπτὸς καὶ ὁ Μυὸς ὅρμος εὐδοκιμεῖ, καὶ χρῶνται τοῖς τόποις τούτοις. πρότερον μὲν οὖν ἐνυκτοπόρουν πρὸς τὰ ἄστρα βλέποντες οἱ καμηλέμποροι καὶ καθάπερ οἱ πλέοντες ὥδευον κομίζοντες καὶ ὕδωρ· νυνὶ δὲ καὶ
24 ὑδρεῖα κατεσκευάκασιν ὀρύξαντες πολὺ βάθος καὶ τῶν οὐρανίων καίπερ ὄντων σπανίων ὅμως δεξαμενὰς πεποίηνται· ἡ δ' ὁδός ἐστιν ἓξ ἢ ἑπτὰ ἡμερῶν. ἐπὶ δὲ τῷ ἰσθμῷ τούτῳ καὶ τὰ τῆς σμαράγδου μέταλλά ἐστι — τῶν Ἀράβων ὀρυττόντων βαθεῖς τινας ὑπονόμους — καὶ ἄλλων λίθων πολυτελῶν.

28 Μετὰ δὲ τὴν Ἀπόλλωνος πόλιν αἱ Θῆβαι (καλεῖται δὲ νῦν Διὸς πόλις), **46**

αἵ θ' ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ' ἀν' ἑκάστην
ἀνέρες ἐξοιχνεῦσι σὺν ἵπποισιν καὶ ὄχεσφιν (Hom. I 383 sq.).

Ὅμηρος μὲν οὕτω (λέγει δὲ καὶ τὸν πλοῦτον [I 381 sq.]·

32 οὐδ' ὅσα Θήβας
Αἰγυπτίας, ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται).

816C. καὶ ἄλλοι δὲ τοιαῦτα λέγουσι μητρόπολιν τιθέντες τῆς Αἰγύπτου ταύτην· καὶ νῦν δ' ἴχνη δείκνυται τοῦ μεγέθους αὐτῆς ἐπὶ ὀγδοήκοντα σταδίους τὸ μῆκος (ἔστι δ' ἱερὰ ⟨τὰ⟩ πλείω· καὶ τούτων δὲ τὰ πολλὰ ἠκρωτηρίασε
4 Καμβύσης). νυνὶ δὲ κωμηδὸν συνοικεῖται, μέρος μέν τι ἐν τῇ Ἀραβίᾳ, ἐν ᾗπερ ἡ πόλις, μέρος δέ τι καὶ ἐν τῇ περαίᾳ, ὅπου τὸ Μεμνόνειον. ἐνταῦθα δὲ δυεῖν κολοσσῶν ὄντων μονολίθων ἀλλήλων πλησίον ὁ μὲν σῴζεται, τοῦ δ' ἑτέρου τὰ ἄνω μέρη τὰ ἀπὸ τῆς καθέδρας πέπτωκε σεισμοῦ
8 γενηθέντος, ὥς φασι. πεπίστευται δ' ὅτι ἅπαξ καθ' ἡμέραν ἑκάστην ψόφος ὡς ἂν πληγῆς οὐ μεγάλης ἀποτελεῖται ἀπὸ τοῦ μένοντος ἐν τῷ θρόνῳ καὶ τῇ βάσει μέρους· κἀγὼ δὲ παρὼν ἐπὶ τῶν τόπων μετὰ Γάλλου Αἰλίου καὶ τοῦ πλήθους τῶν συνόντων αὐτῷ φίλων τε καὶ στρατιωτῶν περὶ ὥραν
12 πρώτην ἤκουσα τοῦ ψόφου, εἴτε δ' ἀπὸ τῆς βάσεως εἴτ' ἀπὸ τοῦ κολοσσοῦ εἴτ' ἐπίτηδες τῶν κύκλῳ καὶ περὶ τὴν βάσιν ἱδρυμένων τινὸς ποιήσαντος

28–816, 4 Eust. Il. 758, 18–20 816 4 Anon. Scor. 298ᵛ 29

20 {αἱ} Kramer 23 καὶ secundum om. F 24 καὶ Holwerda: καὶ ἐκ codd. 25 δεξαμενὰς ὅμως E 27 verba καὶ — πολυτελῶν post 26 ἐστι collocat q, post 26 μέταλλα y[mg] z[mg] 28 Διὸς πόλις D: διόσπολις cett., Eust. 30 ἐξοιχνεῦσι D[s] E[pc]: ἐξοιχνεῦσιν E[ac], ἐξιχνευσι (sic) B, ἐξιχνεῦσι cett. ἵπποισιν Falconer: -σι codd. ὄχεσφι E[i] 32 Θήβας Xylander: -ης codd. 33 ἐν BC: ἓν F, ἐνὶ D 816 1 δὲ om. E 3 add. Kramer δὲ om. E 4 οἰκεῖται X μέν Korais: δέ codd. 5 δέ τι Korais: δ' ἐστὶ BCD, δὲ ἐστὶ F, δὲ καὶ E Μεμνόνειον yz: -νιον BCDEF (vide 45, 35 comm.) 10 δὴ pro δὲ D 12 εἴτε pro εἴτ' q 13 {καὶ}?

20 nicht weit entfernt, so dass es auf beiden Seiten sogar zwei Städte gibt die die Landenge begrenzen; heute aber haben Koptos und Myos Hormos den besten Ruf und werden diese Orte benutzt. Früher wanderten die Karawanenhändler nachts, wobei sie sich an den Sternen orientierten, und reisten wie die Schiffenden, indem sie auch Wasser mit sich führten; heute hat man,
24 bis in große Tiefe grabend, Wasserstellen eingerichtet und für das Regenwasser, wenn es auch spärlich ist, trotzdem Sammelbecken angelegt; die Reise dauert sechs oder sieben Tage. Auf dieser Landenge liegen auch die Smaragdgruben – wo die Araber tiefe Schächte graben – und die Gruben anderer kostbarer Steine.

28 Nach Apollonos Polis kommt Theben (es heißt jetzt Dios Polis): **46**

Hundert hat sie der Tor', und es ziehn zweihundert aus jedem
Rüstige Männer zum Streit mit Rossen daher und Geschirren
(Hom. Il. 9, 383 f.).

So Homer (er nennt auch den Reichtum [ebd. 381 f.]:

32 oder was Thebe
Hegt, Aigyptos' Stadt, wo reich sind die Häuser an Schätzen).

816 Auch Andere sagen dergleichen und machen Theben zur Hauptstadt Ägyptens; und auch jetzt zeigt man noch Spuren ihrer Größe, die sich über eine Länge von achtzig Stadien erstrecken (es sind hauptsächlich Heiligtümer;
4 auch von ihnen hat Kambyses die meisten verstümmelt). Heute leben ihre Bewohner in Dörfern, teils in Arabien, wo auch die Stadt liegt, teils auch auf dem gegenüberliegenden Ufer, wo das Memnoneion ist. Dort stehen zwei aus je einem Stück gehauene Kolosse nah beieinander, von denen der eine erhalten ist, während von dem anderen der Oberteil vom Sitz an infolge
8 eines Erdbebens, wie man sagt, am Boden liegt. Es herrscht der Glaube dass einmal an jedem Tag ein Ton wie von einem leichten Schlag aus dem noch auf dem Thron und dem Sockel gebliebenen Teil ertönt, und auch ich habe, als ich mit Aelius Gallus und der großen Gesellschaft der ihn begleitenden
12 Freunde und Soldaten um die erste Stunde an Ort und Stelle war, den Ton gehört; aber ob er von dem Sockel kam oder von dem Koloss oder ob einer von denen die ringsherum und um den Sockel standen absichtlich den Ton

τὸν ψόφον οὐκ ἔχω διισχυρίσασθαι (διὰ γὰρ τὸ ἄδηλον τῆς αἰτίας πᾶν μᾶλλον ἐπέρχεται πιστεύειν ἢ τὸ ἐκ τῶν λίθων οὕτω τεταγμένως ἐκπέμ-
16 πεσθαι τὸν ἦχον). ὑπὲρ δὲ τοῦ Μεμνονείου θῆκαι βασιλέων ἐν σπηλαίοις λατομηταὶ περὶ τετταράκοντα θαυμαστῶς κατεσκευασμέναι καὶ θέας ἄξιαι. ἐν δὲ ταῖς Θήβαις ἐπί τινων ὀβελίσκων ἀναγραφαὶ δηλοῦσι τὸν πλοῦτον τῶν τότε βασιλέων καὶ τὴν ἐπικράτειαν (ὡς μέχρι Σκυθῶν καὶ Βακτρίων
20 καὶ Ἰνδῶν καὶ τῆς νῦν Ἰωνίας διατείνασαν) καὶ φόρων πλῆθος καὶ στρατιᾶς περὶ ἑκατὸν μυριάδας.

Λέγονται δὲ καὶ ἀστρονόμοι καὶ φιλόσοφοι μάλιστα οἱ ἐνταῦθα ἱερεῖς. τούτων δ' ἐστὶ καὶ τὸ τὰς ἡμέρας μὴ κατὰ σελήνην ἄγειν ἀλλὰ κατὰ ἥλιον,
24 τοῖς τριακονθημέροις δώδεκα μησὶν ἐπαγόντων πέντε ἡμέρας κατ' ἐνιαυτὸν ἕκαστον· εἰς δὲ τὴν ἐκπλήρωσιν τοῦ ὅλου ἐνιαυτοῦ ἐπιτρέχοντος μορίου τινὸς τῆς ἡμέρας περίοδόν τινα συντιθέασιν ἐξ ὅλων ἡμερῶν καὶ ὅλων ἐνιαυτῶν τοσούτων ὅσα μόρια τὰ ἐπιτρέχοντα συνελθόντα ποιεῖ ἡμέραν.
28 ἀνατιθέασι δὲ τῷ Ἑρμῇ πᾶσαν τὴν τοιαύτην σοφίαν. τῷ δὲ Διί, ὃν μάλιστα τιμῶσιν, εὐειδεστάτη καὶ γένους λαμπροτάτου παρθένος ἱερᾶται (ἃς καλοῦσιν οἱ Ἕλληνες παλλάδας), αὕτη δὲ καὶ παλλακεύει καὶ σύνεστιν οἷς βούλεται, μέχρι ἂν ἡ φυσικὴ γένηται κάθαρσις τοῦ σώματος· μετὰ δὲ
32 τὴν κάθαρσιν δίδοται πρὸς ἄνδρα, πρὶν δὲ δοθῆναι πένθος αὐτῆς ἄγεται μετὰ τὸν τῆς παλλακείας καιρόν.

817C. Μετὰ δὲ Θήβας Ἑρμωνθὶς πόλις, | ἐν ᾗ ὅ τε Ἀπόλλων τιμᾶται καὶ ὁ 47 Ζεύς· τρέφεται δὲ καὶ ἐνταῦθα βοῦς. ἔπειτα Κροκοδείλων πόλις τιμῶσα τὸ θηρίον, εἶτα Ἀφροδίτης πόλις καὶ μετὰ ταῦτα Λάτων πόλις τιμῶσα Ἀθηνᾶν

29 sq. Eust.*Il. 84, 39 sq. (vide comm.). *Od. 1742, 36 sq. 34–817, 2 St. B. 278, 17–9

15 τεταγμένως scripsi: -μένων codd. 16 Μεμνονείου yz: -νίου BCDF ⟨εἰσὶ⟩ θῆκαι? θῆκαί ⟨εἰσι⟩? 17 καὶ EF: om. BCD 18 Θήβαις G. Zoega (De origine et usu obeliscorum …, Romae 1797, CXLVI') (*Thebis* iam vertit Tifernate): θήκαις codd. δηλοῦσι F: -σαι cett. 20 στρατιᾶς DF: -τιὰς BC^s, -τειὰς C^i 22 καὶ prius om. E 23 τὰς D^{pc}E: τῆς cett. τὴν ante σελήνην add. F 24 ἐπαγαγόντων E 26 ἐξ post καὶ add. D 27 συνελθόντα om. E 28 ἀνατιθέασι yz, ed. pr.: -τίθησι BCDFq μάλιστα post τοιαύτην add. codd.: del. ed. pr. 30 'pallacas' vertit Xylander; παλλακίδας G. Dindorf (ThGL 6, 103 D), πελειάδας? Stephanie West (CQ 36, 1986, 542 sq.) 31 μέχρις qxyz τοῦ σώματος κάθαρσις D 32 εἰς pro πρὸς F ἄνδρα z: -ας BCDF 33 παλλακίας F 817 1 ὁ post. om. C 2 καὶ om. F δὲ post ἔπειτα add. E 3 Λάτων πόλις scripsi (vide comm.): λατῶ πόλις BC, λατὼ πόλις D, λατόπολις EF 3 sq. Ἀθηνᾶν καὶ om. E

hervorgebracht hat, kann ich nicht mit Sicherheit sagen (wegen der Unklarheit der Ursache hat man ja die Neigung alles eher zu glauben als dass das
16 Geräusch so regelmäßig von den Steinen erzeugt werde). Oberhalb des Memnoneions sind etwa vierzig in Höhlen ausgehauene Königsgrüfte, wunderbar gearbeitet und sehenswürdig. Und in Theben gibt es auf einigen Obelisken Verzeichnisse die den Reichtum der damaligen Könige und den
20 Bereich ihrer Macht zeigen (die sich bis zu den Skythen, den Baktriern, den Indern und dem heutigen Ionien erstreckte), sowie den Umfang der Tribute und den ihrer Armee: etwa eine Million Mann.

Die dortigen Priester sollen sich auch besonders mit Astronomie und Philosophie befassen. Von ihnen stammt auch dass man die Tage nicht nach
24 dem Mond sondern nach der Sonne rechnet, wobei sie den zwölf dreißigtägigen Monaten jedes Jahr fünf Tage hinzufügen; und da, um das ganze Jahr voll zu machen, noch ein Tagesteil hinzukommt, bilden sie eine Periode aus ganzen Tagen und soviel ganzen Jahren wie die Zahl der hinzukommenden
28 Tagesteile ist die zusammen einen Tag machen. Das gesamte Wissen dieser Art führen sie auf Hermes zurück. Das Priesteramt des Zeus, den sie besonders verehren, wird von einer besonders schönen und durchlauchtigstem Geschlecht angehörenden Jungfrau versehen (die Griechen nennen solche Mädchen *pallades*); sie gibt sich her als Konkubine und wohnt wem sie will
32 bei bis die natürliche Reinigung ihres Körpers eintritt; nach der Reinigung wird sie an einen Mann verheiratet, doch wird davor, nach der Zeit des Konkubinats, Trauer für sie gehalten.

817 Nach Theben kommt die Stadt Hermonthis, in der Apollon und Zeus ver- 47 ehrt werden; auch dort wird ein Rind gehalten. Dann Krokodeilon Polis ('Stadt der Krokodile'), Verehrer des Tieres, dann Aphrodites Polis und da-

4 καὶ τὸν λάτον. εἶτ' Εἰλειθυίας πόλις καὶ ἱερόν, ἐν δὲ τῇ περαίᾳ Ἱεράκων
πόλις τὸν ἱέρακα τιμῶσα. εἶτ' Ἀπόλλωνος πόλις, καὶ αὕτη πολεμοῦσα τοῖς
κροκοδείλοις.

Ἡ δὲ Συήνη καὶ ⟨ἡ⟩ Ἐλεφαντίνη, ἡ μὲν ἐπὶ τῶν ὅρων τῆς Αἰθιοπίας **48**
8 καὶ τῆς Αἰγύπτου πόλις, ἡ δ' ἐν τῷ Νείλῳ προκειμένη τῆς Συήνης νῆσος
ἐν ἡμισταδίῳ καὶ ἐν ταύτῃ πόλις ἔχουσα ἱερὸν Κνούφιδος καὶ Νειλομέτριον,
καθάπερ Μέμφις. ἔστι δὲ τὸ Νειλομέτριον συννόμῳ λίθῳ κατεσκευασμένον
ἐπὶ τῇ ὄχθῃ τοῦ Νείλου φρέαρ, ἐν ᾧ τὰς ἀναβάσεις τοῦ Νείλου σημειοῦν-
12 ται τὰς μεγίστας τε καὶ ἐλαχίστας καὶ τὰς μέσας. συναναβαίνει γὰρ καὶ
συνταπεινοῦται τῷ ποταμῷ τὸ ἐν τῷ φρέατι ὕδωρ· εἰσὶν οὖν ἐν τῷ τοίχῳ
τοῦ φρέατος παραγραφαί, μέτρα τῶν τελείων καὶ τῶν ἄλλων ἀναβάσεων.
ἐπισκοποῦντες οὖν ταύτας διασημαίνουσι τοῖς ἄλλοις, ὅπως εἰδεῖεν· πρὸ
16 πολλοῦ γὰρ ἴσασιν ἐκ τῶν τοιούτων σημείων καὶ τῶν ἡμερῶν τὴν ἐσομέ-
νην ἀνάβασιν καὶ προδηλοῦσι. τοῦτο δὲ καὶ τοῖς γεωργοῖς χρήσιμον (τῆς
τῶν ὑδάτων ταμιείας χάριν καὶ παραχωμάτων καὶ διωρύγων καὶ ἄλλων τοι-
ούτων) καὶ τοῖς ἡγεμόσι τῶν προσόδων χάριν· αἱ γὰρ μείζους ἀναβάσεις
20 μείζους καὶ τὰς προσόδους ὑπαγορεύουσιν. ἐν δὲ τῇ Συήνῃ καὶ τὸ φρέαρ
ἐστὶ τὸ διασημαῖνον τὰς θερινὰς τροπάς, διότι τῷ τροπικῷ κύκλῳ ὑπό-
κεινται οἱ τόποι οὗτοι. ἀπὸ γὰρ τῶν ἡμετέρων τόπων — λέγω δὲ τῶν Ἑλ-
λαδικῶν — προϊοῦσιν ἐπὶ τὴν μεσημβρίαν ἐνταῦθα πρῶτον ὁ ἥλιος κατὰ
24 κορυφὴν ἡμῖν γίνεται καὶ ποιεῖ τοὺς γνώμονας ἀσκίους κατὰ μεσημβρίαν·
ἀνάγκη δὲ κατὰ κορυφὴν ἡμῖν γινομένου καὶ εἰς τὰ φρέατα βάλλειν μέχρι
τοῦ ὕδατος τὰς αὐγάς, κἂν βαθύτατα ᾖ· κατὰ κάθετον γὰρ ἡμεῖς τε ἕστα-
μεν καὶ τὰ ὀρύγματα τῶν φρεάτων κατεσκεύασται. εἰσὶ δ' ἐνταῦθα τρεῖς
28 σπεῖραι Ῥωμαίων ἱδρυμέναι φρουρᾶς χάριν.

9–14 *Hld. 9, 22, 3 **20–4** *Eust. D. P. 256, 10–4

4 λᾶτον C Εἰλειθυίας E: εἰλυ- D^{ac} (ut vid.), εἰλι- cett. καὶ ἱερόν om. E **5** αὐτὴ F **7** add. ed. pr. **10** συννόμῳ λίθῳ Casaubonus: συνόμῳ λίθῳ F, σὺν μονολίθῳ cett. **13 sq.** ἐν τῷ τοῦ φρέατος τοίχῳ X **16** τεκμηρίων pro τῶν ἡμερῶν? Casaubonus, μέτρων Korais **16 sq.** τὴν ἡμέραν τῶν ἐσομένων ἀναβάσεων? Müller (1041 ad 694, 10) **21** διότι z: καὶ διότι BCDEF **22** καὶ ποιοῦσιν ἀσκίους τοὺς γνώμονας κατὰ μεσημβρίαν post οὗτοι add. codd. (⟦ἀνάγκη δὲ κατὰ κορυφὴν ἡμῖν γινομένου⟧ post μεσημβρίαν add. D): del. Kramer **24** ἀσκίους τοὺς γνώμονας E **25** δὴ pro δὲ? **26** βαθύτατον D τε Xylander: om. E, γε cett.

4 nach Laton Polis, wo Athena und der Latos verehrt werden. Dann die Stadt
und das Heiligtum der Eileithyia und auf dem anderen Ufer Hierakon Polis
('Stadt der Falken'), die den Falken verehrt. Dann Apollonos Polis, eben-
falls ein Feind der Krokodile.

Syene und Elephantine, jenes eine Stadt an der Grenze zwischen Äthio- **48**
8 pien und Ägypten, dieses eine Insel, die ein halbes Stadion vor Syene im Nil
liegt, und auf ihr eine Stadt mit einem Heiligtum des Knuphis und einem
Nilmesser, ebenso wie in Memphis. Der Nilmesser ist ein aus regelmäßigen
Steinen gebauter Brunnen am Nilufer, in dem die Leute die Anstiege des
12 Nils – die größten, die kleinsten und die mittleren – vermerken. Das Was-
ser in dem Brunnen steigt und sinkt nämlich gleichzeitig mit dem Fluss, und
so sind an der Wand des Brunnens Striche angebracht die die Maße der
vollständigen und der übrigen Anstiege bezeichnen. Diese nun beobachten
16 sie und melden es den Anderen, damit sie es wissen: aufgrund dieser Merk-
zeichen und der Tage wissen sie nämlich schon lange vorher die Höhe des
zu erwartenden Anstiegs und zeigen sie vorher an. Das ist nicht nur für die
Bauern nützlich (wegen der Verteilung des Wassers, der Dämme, der Grä-
ben und dergleichen) sondern auch für die Statthalter wegen der Einkünfte:
20 denn größere Anstiege deuten darauf dass auch die Einkünfte größer sein
werden. In Syene ist auch der Brunnen der die Sommersonnenwende angibt,
da diese Gegenden unter dem Wendekreis liegen. Geht man nämlich von un-
seren Gegenden – ich meine: den griechischen – immer weiter nach Süden,
24 dann kommt dort zuerst die Sonne genau über uns zu stehen und macht dass
die Gnomone mittags keine Schatten werfen; wenn sie aber genau über uns
steht, müssen ihre Strahlen auch in die Brunnen bis zum Wasser reichen,
auch wenn sie noch so tief sind: denn ebenso wie wir senkrecht stehen sind
28 auch die Brunnen senkrecht gegraben. Es sind dort drei Kohorten der Rö-
mer zur Bewachung stationiert.

49 Μικρὸν δ' ὑπὲρ τῆς Ἐλεφαντίνης ἐστὶν ὁ μικρὸς καταρράκτης, ἐφ' ᾧ καὶ θέαν τινὰ οἱ σκαφῖται τοῖς ἡγεμόσιν ἐπιδείκνυνται. ὁ μὲν γὰρ καταρράκτης ἐστὶ κατὰ μέσον τὸν ποταμόν, πετρώδης τις ὀφρὺς ἐπίπεδος μὲν ἄνωθεν ὥστε δέχεσθαι τὸν ποταμόν, τελευτῶσα δ' εἰς κρημνόν, καθ' οὗ καταρρήγνυται τὸ ὕδωρ, ἑκατέρωθεν δὲ πρὸς τῇ γῇ ῥεῖθρον, ὃ μάλιστα καὶ ἀνάπλουν ἔχει· | (818C.) ἀναπλεύσαντες οὖν ταύτῃ καταρρέουσιν ἐπὶ τὸν καταρράκτην καὶ ὠθοῦνται μετὰ τῆς σκάφης ἐπὶ τὸν κρημνὸν καὶ σῴζονται σὺν αὐτῇ ἀπαθεῖς. τοῦ δὲ καταρράκτου μικρὸν ἐπάνω τὰς Φιλὰς εἶναι συμβαίνει, κοινὴν κατοικίαν Αἰθιόπων τε καὶ Αἰγυπτίων κατεσκευασμένην ὥσπερ καὶ τὴν Ἐλεφαντίνην καὶ τὸ μέγεθος ἴσην, ἱερὰ ἔχουσαν Αἰγύπτια· ὅπου καὶ ὄρνεον τιμᾶται ὃ καλοῦσι μὲν ἱέρακα, οὐδὲν δὲ ὅμοιον ἔμοιγε ἐφαίνετο ἔχειν τοῖς παρ' ἡμῖν καὶ ἐν Αἰγύπτῳ ἱέραξιν, ἀλλὰ καὶ τῷ μεγέθει μεῖζον ἦν καὶ τῇ ποικιλίᾳ πολὺ ἐξηλλαγμένον· Αἰθιοπικὸν δ' ἔφασαν εἶναι κἀκεῖθεν κομίζεσθαι ὅταν ἐκλίπῃ τὸ πρότερον (καὶ δὴ καὶ τότε ἐδείχθη ἡμῖν πρὸς ἐκλείψει ὂν διὰ νόσον).

50 Ἤλθομεν δ' εἰς Φιλὰς ἐκ Συήνης ἀπήνῃ δι' ὁμαλοῦ σφόδρα πεδίου σταδίους ὁμοῦ τι ἑκατόν. παρ' ὅλην δὲ τὴν ὁδὸν ἦν ἰδεῖν ἑκατέρωθεν πολλαχοῦ ὥσπερ ἑρμαῖα· πέτρον ἠλίβατον στρογγύλον, λεῖον ἱκανῶς, ἐγγὺς σφαιροειδοῦς, τοῦ μέλανος καὶ σκληροῦ λίθου ἐξ οὗ αἱ θυεῖαι γίνονται, ἐπὶ πέτρῳ κείμενον μείζονι καὶ ὑπ' ἐκείνῳ πάλιν ἄλλον· ἔστι δ' ὅτε αὐτοὶ καθ' αὑτοὺς ἔκειντο οἱ πέτροι· ἦν δ' ὁ μὲν μέγιστος τὴν διάμετρον ποδῶν οὐκ ἐλαττόνων ἢ δώδεκα, ἅπαντες δὲ μείζους ἢ ἡμίσεις τούτων. διέβημεν δὲ εἰς τὴν νῆσον ἐπὶ πάκτωνος· ὁ δὲ πάκτων διὰ σκυταλίδων πεπηγός ἐστι

29–33 *Eust. D. P. 257, 38–41   30 *Demetr. Eloc. 97?

29 τὴν ἐλεφαντίνην X   καταράκτης D^{ac}EX; vide 32 sq. comm.   30 σκαφῖται E^{s}: -εῖται cett.   30 sq. καταράκτης D^{pc}EF   31 sq. ἐπίπεδος ἄνω E, Eust.   818 1 sq. καταράκτην E   3 αὐτῇ E: -αῖς cett.   καταράκτου E   Φιλὰς BCE^{s}: φίλας D^{pc}F, φυλὰς D^{ac}E^{i} 9 τὸ Letronne: καὶ codd. (καὶ πρότερον om. F); ⟨ἢ⟩ καὶ Meineke (Vind. 237)   ἐκλείπῃ C   καὶ post. om. E   10 ἐκλείψει E: ἐκλίψει F, ἐλείψει D, ἐλλίψει BC   11 φίλας F   12 πεντήκοντα pro ἑκατόν G. Parthey (De Philis insula eiusque monumentis commentatio, Berolini 1830, 83)   ἰδεῖν om. E   14 αἱ θυεῖαι yz: αἱ θύειαι D^{pc}, αἱ θυῖαι D^{ac}EF, ἐθυῖαι BC; αἱ θυῖαι Meineke (Vind. 237), αἱ θυΐαι Müller   15 ὑπ' scripsi (vide comm.): ἐπ' codd.   ⟨καὶ⟩ αὐτοί?   αὐτοὶ om. C^{i} 16 ἑαυτοὺς E

49 Etwas oberhalb von Elephantine ist der Kleine Katarakt, auf dem die Bootsmannschaften den Statthaltern auch eine Vorführung geben. Der Katarakt nämlich befindet sich in der Mitte des Flusses: eine Felsenstufe, die oberhalb eben ist, so dass der Fluss über sie hinwegfließen kann, aber mit einem jähen Rand endet, an dem sich das Wasser bricht; zu beiden Seiten ist bei den Ufern ein Flussbett, das besonders auch die Stromaufwärtsfahrt erlaubt; (818) durch dieses fahren sie nun stromaufwärts, folgen dann dem Strom zum Katarakt, werden mit ihrem Boot zu dem Rand getrieben und bleiben samt ihm unversehrt. Etwas oberhalb des Katarakts ist Philai, eine gemeinsame Siedlung von Äthiopen und Ägyptern, ebenso angelegt wie Elephantine und von gleicher Größe, mit ägyptischen Heiligtümern; dort wird auch ein Vogel verehrt, den sie zwar 'Falken' nennen, der mir aber den Falken bei uns und in Ägypten gar nicht ähnlich schien, sondern nicht nur größer sondern auch in seiner Zeichnung sehr abweichend war; sie sagten, es sei ein äthiopischer Vogel und er werde von dort geholt wenn der vorige gestorben sei (und der den man uns damals zeigte stand durch Krankheit auch tatsächlich kurz vor seinem Ende).

50 Nach Philai waren wir von Syene etwa hundert Stadien mit dem Mauleselwagen durch sehr ebenes Gelände gefahren. Während der ganzen Fahrt war zu beiden Seiten an vielen Stellen etwas wie Steinmarken zu sehen: ein mächtiger Felsblock, rund, recht glatt, nahezu kugelförmig, von dem dunklen harten Stein aus dem Mörser hergestellt werden, auf einem größeren Felsblock liegend und unter diesem wieder ein anderer; manchmal lagen die Felsblöcke auch allein für sich; der größte hatte einen Durchmesser von nicht weniger als zwölf Fuß, alle waren größer als die Hälfte davon. Übergesetzt sind wir zu der Insel auf einem Pakton; der Pakton ist ein kleines

σκάφιον, ὥστ' ἐοικέναι διαπλοκίνῳ, ἑστῶτες δ' ἐν ὕδατι ἢ καὶ σανιδίοις
20 τισὶ προσκαθήμενοι ῥᾳδίως ἐπεραιώθημεν δεδιότες μάτην· ἀκίνδυνα γάρ
ἐστιν, ἂν μή τις ὑπέργομον ποιήσῃ τὸ πορθμεῖον.

Καθ' ὅλην δὲ τὴν Αἴγυπτον τοῦ φοίνικος ἀγεννοῦς ὄντος καὶ ἐκφέρον- **51**
τος καρπὸν οὐκ εὔβρωτον ἐν τοῖς περὶ τὸ Δέλτα τόποις καὶ τοῖς περὶ
24 'Αλεξάνδρειαν ὁ ἐν τῇ Θηβαΐδι φοῖνιξ ἄριστος τῶν ἄλλων φύεται. θαυμά-
ζειν οὖν ἄξιον πῶς ταὐτὸ κλίμα οἰκοῦντες τῇ 'Ιουδαίᾳ καὶ ὅμοροι οἱ περὶ
τὸ Δέλτα καὶ τὴν 'Αλεξάνδρειαν τοσοῦτο διαλλάττουσιν, ἐκείνης πρὸς τῷ
ἄλλῳ φοίνικι καὶ τὸν καρυωτὸν γεννώσης πολὺ κρείττονα τοῦ Βαβυλωνίου.
28 διττὸς δ' ἐστὶν ὅ τε ἐν τῇ Θηβαΐδι καὶ ὁ ἐν τῇ 'Ιουδαίᾳ, ὅ τε ἄλλος
καὶ ὁ καρυωτός· σκληρότερος δ' ὁ Θηβαϊκός, ἀλλὰ τῇ γεύσει εὐστομώτερος.
ἔστι δὲ καὶ νῆσος ἡ μάλιστα ἐκφέρουσα τὸν ἄριστον, μεγίστην τελοῦσα
πρόσοδον τοῖς ἡγεμόσι· βασιλικὴ γὰρ ἦν — ἰδιώτῃ δ' οὐ μετῆν — καὶ νῦν
32 τῶν ἡγεμόνων ἐστί.

Πολλὰ δ' 'Ηρόδοτός τε καὶ ἄλλοι φλυαροῦσιν, ὥσπερ μέλος ἢ ῥυθμὸν **52**
819C. ἥδυσμά τι τῷ λόγῳ τὴν τερατείαν προσφέροντες. | οἷον καὶ τὸ φάσκειν
(Hdt. 2, 28. FGrHist 665 F 56) περὶ τὰς νήσους τὰς πρὸς τῇ Συήνῃ καὶ τῇ
'Ελεφαντίνῃ — πλείους δ' εἰσί — τὰς πηγὰς τοῦ Νείλου εἶναι, καὶ βάθος
4 ἄβυσσον ἔχειν τὸν πόρον κατὰ τοῦτον τὸν τόπον (νήσους δ' ὁ Νεῖλος κατ-
εσπαρμένας ἔχει παμπόλλας, τὰς μὲν καλυπτομένας ὅλας ἐν ταῖς ἀναβά-
σεσι, τὰς δ' ἐκ μέρους· ἐποχετεύεται δὲ τοῖς κοχλίαις τὰ λίαν ἔξαλα).

Ἦν μὲν οὖν ἡ Αἴγυπτος εἰρηνικὴ τὸ πλέον ἐξ ἀρχῆς διὰ τὸ αὔταρκες **53**
8 τῆς χώρας καὶ τὸ δυσείσβολον τοῖς ἔξωθεν, ἀπὸ μὲν τῶν ἄρκτων ἀλιμένῳ
παραλίᾳ καὶ πελάγει τῷ Αἰγυπτίῳ φρουρουμένη, ἀπὸ δὲ τῆς ἕω καὶ τῆς
ἑσπέρας ἐρήμοις ὄρεσι τοῖς τε Λιβυκοῖς καὶ τοῖς 'Αραβίοις, ὥσπερ ἔφαμεν
(789, 17 sqq.). λοιπὰ δὲ τὰ πρὸς νότον, Τρωγοδύται ⟨καὶ⟩ Βλέμμυες καὶ

21 Anon. Scor. 298^v 29   **23** Anon. Scor. 298^v 29   **29** Anon. Scor. 298^v 29   **33 sq.** Anon. Scor. 298^v 30 sq.   819 **7 sq.** Anon. Scor. 298^v 31   **8–11** *Eust. D. P. 259, 8–11

